This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Digitized by Google

Asc. 2440 8°
Horologium
Digitized by Google

<36623745200019
S
33
<36623745200019
Bayer. Staatsbibliothek
Digitized by Google

Digitized by Google

# ΤΟ ΠΑΡΟΝ ΩΡΟΛΟΓΙΟΝ

Ἐτυπώθη ἐν Ἐνετίαις ἐν οἰκίᾳ Ἀνδρέου τοῦ Σπινέλλου μονεταρείου τ' ἐλαμπροτάτης ἀρχῆς τῶν Ἐνετῶν· ἐπιμελείᾳ τε καὶ ἐπιδιορθώσει Ζαχαρίου ἱερέως σκορδυλίου κρητὸς τοῦ ἐπιλεγομένου μαραφαρᾶ, καὶ ἐπιτρόπου τοῦ τῆς Κωνσταντινουπόλεως οἰκουμενικοῦ πατριάρχου κυρίου Ἰωάσαφ. Ἔτει τῷ ἀπὸ τῆς ἐν σάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, αφξγ΄. Ἰουλλίῳ ς΄.




Bayerische
Staatsbibliothek
München

Digitized by Google

# ΩΡΟΛΟΓΙΟΝ ΣΥΝ ΘΕΩ

ἁγίω. περιέχον τὰ καθεξῆς
ἐγγεγραμμένα.

Τὸ κατὰ Ἰωάννην εὐαγγέλιον τῆς λαμπρᾶς κυριακῆς.

Σταύρωσις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου.

Αἱ μετὰ τὸ ἐγερθῆναι εὐχαριστήριοι εὐχαί.

Τὸ καθ᾽ ἡμέραν μεσονυκτικόν.

Ἕτερον μεσονυκτικὸν τοῦ σαββάτου.

Ἕτερον μεσονυκτικὸν τῆς κυριακῆς.

Ἡ ἀκολουθία τοῦ ὄρθρου.

Οἱ κατ᾽ ἦχον τριαδικοὶ ὕμνοι.

Αἱ ἐννέα ᾠδαί.

Τὰ κατ᾽ ἦχον φωταγωγικά.

Ἐξαποστειλάρια τῆς ὅλης ἑβδομάδος, καὶ οἱ αἶνοι.

Ἡ πρώτη ὥρα. τρίτη τε καὶ ἕκτη, σὺν τοῖς μεσωρίοις αὐτῶν.

Τὰ τυπικὰ μετὰ τῆς προσκυνήσεως αὐτῶν ἑρμηνείας.

Ἡ ἀκολουθία τῆς ὑψώσεως τῆς παναγίας, καὶ πῶς δεῖ ὑψοῦσθαι αὐτήν, καὶ διατί λέγομεν.



Digitized by Google

Ἡ ἐννάτη ὥρα μετὰ τοῦ μεσωρίου αὐτῆς.

Ἡ ἀκολουθία τοῦ ἑσπερινοῦ.

Ἡ μετὰ τὸν ἑσπερινὸν εὐλογία τῆς τραπέζης, καὶ πῶς δεῖ ποιεῖν.

Ἡ ἀκολουθία τοῦ μεγάλου ἀποδείπνου.

Τὸ μικρὸν ἀπόδειπνον.

Τὸ μηνολόγιον τοῦ ὅλου ἐνιαυτοῦ πλουσιώτατον.

Αἱ ὧραι τῆς λαμπρᾶς κυριακῆς. καὶ τὸ μεσονυκτικόν. καὶ τὸ ἀπόδειπνον.

Ἡ ἀκολουθία τῶν ἀπολυτικίων καὶ κοντακίων τῆς μεγάλης τεσσαρακοστῆς, καὶ ὅλης τῆς ἁγίας πεντηκοστῆς.

Τὰ τῶν ὀκτὼ ἤχων ἀπολυτίκια, σὺν τοῖς θεοτοκίοις καὶ ταῖς ὑπακοαῖς αὐτῶν.

Τὰ ἐν ταῖς κυριακαῖς ψαλλόμενα μετὰ τὸν ἄμωμον ἀναστάσιμα τροπάρια. ἤγουν τὰ εὐλογητάρια.

Ὁμοίως τὰ ἐν τῷ σαββάτῳ ψαλλόμενα νεκρώσιμα τροπάρια μετὰ τὸν ἄμωμον.

Θεοτοκία ἀπολυτίκια ψαλλόμενα ὅλῳ τῷ ἐνιαυτῷ, ἔν τε τῷ ἑσπερινῷ, καὶ εἰς τὸ θεὸς κύριος ἐν τῷ ὄρθρῳ. καὶ ἐπὶ τῷ τέλει τοῦ ὄρθρου.

Τὰ ἀπολυτίκια τῆς ὅλης ἑβδομάδος.

Ἡ ἀκολουθία τοῦ εἰς τὴν ὑπεραγίαν θεοτόκον, ἀκαθίστου ὕμνου, σὺν τοῖς οἴκοις αὐτῆς.

Στιχηρὰ καὶ κανὼν κατανυκτικὸς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἤγουν τὸ Ἰησοῦ γλυκύτατε.

Ὁ εἰς τὴν ὑπεραγίαν θεοτόκον παρακλητικὸς καὶ κατανυκτικὸς κανών. ἤγουν τό.

Digitized by Google

Πολλοῖς συνεχόμενος πειρασμοῖς.

Ἡ ἀκολουθία τῆς ἁγίας μεταλήψεως πλουσιωτάτη καὶ σεβασμιωτάτη.

Τοῦ ἁγίου κυρίλλου λόγος περὶ ἐξόδου ψυχῆς, καὶ περὶ τῆς δευτέρας παρουσίας.

Περσόμοια κατ᾽ ἐπιτομὴν περιέχοντα ὅλον τὸ μηνολόγιον; ποίημα χριστοφόρου πειρίου καὶ ἀμαθυντάτου τοῦ μιτυληναίου.

Κανὼν ἱκετήριος ψαλλόμενος εἰς τὰς ἐπουρανίους δυνάμεις, καὶ εἰς πάντας τοὺς ἁγίους. κατὰ ἀλφάβητον. ποίημα ἰωσὴφ τοῦ ὑμνογράφου.

Κανὼν κατανυκτικός, ἐπανορθωθεὶς ὑπὸ ζαχαρίου ἱερέως. ὃν ὀφείλει πᾶς χριστιανὸς καθεκάστην ἀναγινώσκειν ὑπὲρ ἐξιλεώσει τῶν ἁμαρτιῶν αὐτοῦ. Ποίημα τοῦ ἁγιωτάτου μητροπολίτου φιλαδελφίας κυρίου θεολήπτου.

Πασχάλιον ἐτῶν μ', ἀρχόμενον ἀπὸ τοῦ ,αφξβ', ἔτους. ποιηθὲν ὑπὸ τοῦ αὐτοῦ ζαχαρίου ἱερέως σκορδυλίου κρητὸς τοῦ ἐπιλεγομένου μαραφαρᾶ, καὶ ὑπὸ τοῦ πρόπου τοῦ τῆς κωνσταντινουπόλεως οἰκουμενικοῦ πατριάρχου κυρίου ἰωάσαφ.

Τοῦ αὐτοῦ, περὶ τῶν τεσσάρων τεσσαρακοστῶν, πόθεν καὶ τίς ὁ παραδοὺς ἡμῖν ταύτας.

Τοῦ αὐτοῦ, σύλλεξις τῶν τοῦ γάμου βαθμῶν ἐν συνόψει.



Digitized by Google

Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ πάσχα· ἐκ τοῦ κατὰ ἰωάννην ἁγίου εὐαγγελίου.

Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν
καὶ θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν
θεόν· πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγέ-
νετο οὐδὲ ἕν, ὃ γέγονεν· ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ
ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, καὶ τὸ φῶς ἐν τῇ σκο-
τίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν· ἐ-
γένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐ-
τῷ ἰωάννης· οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρ-
τυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι᾽ αὐτοῦ·
οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ᾽ ἵνα μαρτυρήσῃ περὶ τοῦ φω-
τός. ἦν τὸ φῶς τὸ ἀληθινόν· ὃ φωτίζει πάντα ἄνθρω-
πον ἐρχόμενον εἰς τὸν κόσμον· ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κό-
σμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· εἰς τὰ
ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· ὅσοι δὲ ἔλα-
βον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι
τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων·
οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀν-
δρός, ἀλλ᾽ ἐκ θεοῦ ἐγεννήθησαν· καὶ ὁ λόγος σὰρξ ἐγένετο
καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ ἐθεασάμεθα τὴν δόξαν αὐ-
τοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάρι-
τος καὶ ἀληθείας· ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκρα-
γε λέγων· οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος
ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν· καὶ ἐκ τοῦ
πληρώματος αὐτοῦ, ἡμεῖς πάντες ἐλάβομεν, καὶ χά-
ριν ἀντὶ χάριτος· ὅτι ὁ νόμος διὰ μωσέως ἐδόθη· ἡ
...ς καὶ ἡ ἀλήθεια, διὰ ἰησοῦ χριστοῦ ἐγένετο :~

Digitized by Google

Σταύρωσις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. ἐκ τοῦ κα
τὰ ἰωάννην ἁγίου εὐαγγελίου.



Ταῦτα εἰπὼν ὁ ἰς, ἐξῆλθε σὺν τοῖς
μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤ
ῥου τῶν κέδρων, ὅπου ἦν κῆπος, εἰς
ὃν εἰσῆλθεν αὐτὸς, καὶ οἱ μαθηταὶ αὐτοῦ.
ᾔδει δὲ καὶ ἰούδας ὁ παραδιδοὺς αὐτὸν
τὸν τόπον, ὅτι πολλάκις συνήχθη καὶ ὁ
ἰς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. ὁ οὖν
ἰούδας λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ
φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ
λαμπάδων καὶ ὅπλων. ἰς οὖν εἰδὼς πάντα τὰ ἐρχό
μενα ἐπ᾽ αὐτὸν, ἐξελθὼν, εἶπεν αὐτοῖς. τίνα ζητεῖτε
ἀπεκρίθησαν αὐτῷ. ἰν τὸν ναζωραῖον. λέγει αὐτοῖς ὁ ἰς
ἐγώ εἰμι. εἱστήκει δὲ καὶ ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ᾽
αὐτῶν. ὡς οὖν εἶπεν αὐτοῖς, ὅτι ἐγώ εἰμι, ἀπῆλθον
εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί. πάλιν οὖν αὐτοὺς ἐ=
πηρώτησε. τίνα ζητεῖτε. οἱ δὲ εἶπον, ἰν τὸν ναζωραῖον.
ἀπεκρίθη ὁ ἰς. εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι. εἰ οὖν ἐμὲ ζη
τεῖτε, ἄφετε τούτους ὑπάγειν, ἵνα πληρωθῇ ὁ λόγος
ὃν εἶπεν, ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐ
τῶν οὐδένα, σίμων οὖν πέτρος ἔχων μάχαιραν εἵλκυ
σεν αὐτὴν, καὶ ἔπεσε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ ἀπέ
κοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν. ἦν δὲ ὄνομα τῷ δούλῳ
μάλχος. εἶπεν οὖν ὁ ἰς τῷ πέτρῳ. βάλε τὴν μάχαι
ραν εἰς τὴν θήκην αὐτῆς. τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ
πὴρ, οὐ μὴ πίω αὐτό; ἡ οὖν σπεῖρα, καὶ ὁ χιλίαρχος καὶ



Digitized by Google

οἱ ὑπηρέται τῶν ἰουδαίων συνέλαβον τὸν ἰησοῦν, καὶ ἔδησαν
αὐτόν, καὶ ἀπήγαγον αὐτὸν πρὸς ἄνναν πρῶτον. ἦν γὰρ
πενθερὸς τοῦ καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐ-
κείνου. ἦν δὲ καϊάφας ὁ συμβουλεύσας τοῖς ἰουδαίοις,
ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ.
ἠκολούθει δὲ τῷ ἰησοῦ σίμων πέτρος· καὶ ὁ ἄλλος μαθη-
τής· ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ· καὶ
συνεισῆλθε τῷ ἰησοῦ, εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως· ὁ δὲ
πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω· ἐξῆλθεν οὖν ὁ
μαθητὴς ὁ ἄλλος ὃς ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε
τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν πέτρον. λέγει οὖν ἡ παιδί-
σκη ἡ θυρωρὸς τῷ πέτρῳ· μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου
τούτου; λέγει ἐκεῖνος, οὐκ εἰμί. εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ
οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψύχος ἦν
καὶ ἐθερμαίνοντο· ἦν δὲ μετ' αὐτῶν ὁ πέτρος ἑστὼς καὶ θερ-
μαινόμενος· ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν ἰησοῦν περὶ τῶν μα-
θητῶν αὐτοῦ, καὶ περὶ τῆς διδαχῆς αὐτοῦ· ἀπεκρίθη αὐτῷ ὁ
ἰησοῦς· ἐγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε
ἐδίδαξα ἐν συναγωγῇ, καὶ ἐν τῷ ἱερῷ ὅπου πάντοτε οἱ
ἰουδαῖοι συνέρχονται· καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν· τί με
ἐπερωτᾷς· ἐπερώτησον τοὺς ἀκηκοότας τί ἐλάλησα αὐ-
τοῖς· ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ· ταῦτα δὲ αὐτοῦ εἰπόν-
τος, εἷς τῶν ὑπηρετῶν παρεστηκώς, ἔδωκε ῥάπισμα
τῷ ἰησοῦ εἰπών, οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ; ἀπεκρί-
θη αὐτῷ ὁ ἰησοῦς· εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ
τοῦ κακοῦ· εἰ δὲ καλῶς· τί με δέρεις· ἀπέστειλεν αὐτὸν ὁ
ἄννας δεδεμένον πρὸς καϊάφαν τὸν ἀρχιερέα· ἦν δὲ
σίμων πέτρος ἑστὼς καὶ θερμαινόμενος, εἶπον οὖν αὐ-

Digitized by Google

τοῦ. μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; ἠρνήσατο οὖν
ἐκεῖνος καὶ εἶπεν· οὐκ εἰμί. λέγει εἷς ἐκ τῶν δούλων τοῦ
ἀρχιερέως συγγενὴς ὢν οὗ ἀπέκοψε πέτρος τὸ ὠτίον·
οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ᾽ αὐτοῦ; πάλιν οὖν ἠρ
νήσατο ὁ πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. ἄ-
γουσι τὸν ἰησοῦν ἀπὸ τοῦ καϊάφα εἰς τὸ πραιτώριον. ἦν δὲ
πρωΐ, καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ
μιανθῶσιν, ἀλλ᾽ ἵνα φάγωσι τὸ πάσχα. ἐξῆλθεν οὖν
ὁ πιλάτος πρὸς αὐτοὺς καὶ εἶπε· τίνα κατηγορίαν
φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου. ἀπεκρίθησαν καὶ εἶπον
αὐτῷ· εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώ
καμεν αὐτόν. εἶπεν οὖν αὐτοῖς ὁ πιλάτος· λάβετε
αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. εἶ
πον οὖν αὐτῷ οἱ ἰουδαῖοι· ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐ
δένα, ἵνα ὁ λόγος τοῦ ἰησοῦ πληρωθῇ, ὃν εἶπε, σημαί-
νων ποίῳ θανάτῳ ἔμελλεν ἀποθνήσκειν. εἰσῆλθεν
οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ πιλάτος, καὶ ἐφώνησε
τὸν ἰησοῦν, καὶ εἶπεν αὐτῷ· σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων;
ἀπεκρίθη αὐτῷ ὁ ἰησοῦς· ἀφ᾽ ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλ
λοι σοι εἶπον περὶ ἐμοῦ. ἀπεκρίθη ὁ πιλάτος· μήτι
ἐγὼ ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν, καὶ οἱ ἀρχιερεῖς παρέ
δωκάν σε ἐμοί, τί ἐποίησας. ἀπεκρίθη ὁ ἰησοῦς· ἡ βασι
λεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου, εἰ ἐκ τοῦ κόσμου τού-
του ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνί
ζοντο, ἵνα μὴ παραδοθῶ τοῖς ἰουδαίοις. νῦν δὲ ἡ βασι
λεία ἡ ἐμή, οὐκ ἔστιν ἐντεῦθεν. εἶπεν οὖν αὐτῷ ὁ πι-
λάτος· οὐκοῦν βασιλεὺς εἶ σύ; ἀπεκρίθη ὁ ἰησοῦς· σὺ
λέγεις, ὅτι βασιλεύς εἰμι ἐγώ. ἐγὼ εἰς τοῦτο γεγέννη-

Digitized by Google

μαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρή-
σω τῇ ἀληθείᾳ· πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου
τῆς φωνῆς· λέγει αὐτῷ ὁ πιλάτος, τί ἐστιν ἀλήθεια· καὶ
τοῦτο εἰπών, πάλιν ἐξῆλθε πρὸς τοὺς ἰουδαίους, καὶ
λέγει αὐτοῖς· ἐγὼ οὐδὲ μίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ·
ἔστι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ
πάσχα· βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν βασιλέα
τῶν ἰουδαίων; ἐκραύγασαν οὖν πάλιν πάντες λέγον-
τες, μὴ τοῦτον, ἀλλὰ τὸν βαραββᾶν· ἦν δὲ ὁ βαραββᾶς
λῃστής· τότε οὖν ἔλαβεν ὁ πιλάτος τὸν ἰησοῦν, καὶ ἐμαστίγω-
σε· καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν,
ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν
περιέβαλον αὐτόν, καὶ ἔλεγον· χαῖρε ὁ βασιλεὺς τῶν
ἰουδαίων· καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα· ἐξῆλθεν οὖν
πάλιν ἔξω ὁ πιλάτος καὶ λέγει αὐτοῖς· ἴδε ἄγω ὑμῖν
αὐτὸν ἔξω, ἵνα γνῶτε, ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑ-
ρίσκω· ἐξῆλθεν οὖν ὁ ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον
στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον· καὶ λέγει αὐτοῖς· ἴ-
δε ὁ ἄνθρωπος· ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέ-
ται ἐκραύγασαν λέγοντες· ἆρον ἆρον σταύρωσον αὐτόν·
λέγει αὐτοῖς ὁ πιλάτος· λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσα-
τε, ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν· ἀπεκρίθη-
σαν αὐτῷ οἱ ἰουδαῖοι· ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νό-
μον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν θεοῦ ἐποίη-
σεν, ὅτε οὖν ἤκουσεν ὁ πιλάτος τοῦτον τὸν λόγον
μᾶλλον ἐφοβήθη· καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πά-
λιν, καὶ λέγει τῷ ἰησοῦ· πόθεν εἶ σύ· ὁ δὲ ἰησοῦς ἀπόκρισιν
οὐκ ἔδωκεν αὐτῷ, λέγει οὖν αὐτῷ ὁ πιλάτος· ἐμοὶ

Digitized by Google

οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ
ἐξουσίαν ἔχω ἀπολῦσαί σε; ἀπεκρίθη ἰησοῦς· οὐκ εἶχες
ἐξουσίαν οὐδεμίαν κατ᾽ ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον
ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς με σοι μείζονα ἁμαρ
τίαν ἔχει. ἐκ τούτου ἐζήτει ὁ πιλάτος ἀπολῦσαι αὐ-
τόν· οἱ δὲ ἰουδαῖοι ἔκραζον λέγοντες· ἐὰν τοῦτον ἀπο
λύσῃς, οὐκ εἶ φίλος τοῦ καίσαρος· πᾶς ὁ βασιλέα ἑαυ
τὸν ποιῶν, ἀντιλέγει τῷ καίσαρι. ὁ οὖν πιλάτος ἀ-
κούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω τὸν ἰησοῦν, καὶ ἐκάθισεν
ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον λιθόστρωτον, ἑ-
βραϊστὶ δὲ γαββαθᾶ. ἦν δὲ παρασκευὴ τοῦ πάσχα. ὥρα
δὲ ὡσεὶ ἕκτη. καὶ λέγει τοῖς ἰουδαίοις. ἴδε ὁ βασιλεὺς ὑ-
μῶν. οἱ δὲ ἐκραύγασαν. ἆρον ἆρον σταύρωσον αὐτόν. λέ
γει αὐτοῖς ὁ πιλάτος, τὸν βασιλέα ὑμῶν σταυρώσω; ἀπε
κρίθησαν οἱ ἀρχιερεῖς. οὐκ ἔχομεν βασιλέα, εἰ μὴ
καίσαρα. τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυ-
ρωθῇ. παρέλαβον δὲ τὸν ἰησοῦν. καὶ ἀπήγαγον, καὶ βαστάζων
τὸν σταυρὸν αὐτοῦ, ἐξῆλθεν εἰς τὸν λεγόμενον κρανίου τό
πον. ὃς λέγεται ἑβραϊστὶ γολγοθᾶ, ὅπου αὐτὸν ἐσταύ
ρωσαν· καὶ μετ᾽ αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν.
μέσον δὲ τὸν ἰησοῦν. ἔγραψε δὲ καὶ τίτλον ὁ πιλάτος, καὶ ἔθη
κεν ἐπὶ τοῦ σταυροῦ. ἦν δὲ γεγραμμένον, ἰησοῦς ὁ ναζωραῖος ὁ
βασιλεὺς τῶν ἰουδαίων. τοῦτον οὖν τὸν τίτλον πολλοὶ
ἀνέγνωσαν τῶν ἰουδαίων, ὅτι ἐγγὺς ἦν τῆς πόλεως ὁ τό
πος, ὅπου ἐσταυρώθη ὁ ἰησοῦς. καὶ ἦν γεγραμμένον ἑβραϊστὶ
ἑλληνιστὶ, ῥωμαϊστί. ἔλεγον οὖν τῷ πιλάτῳ οἱ ἀρχιε-
ρεῖς τῶν ἰουδαίων, μὴ γράφε ὁ βασιλεὺς τῶν ἰουδαίων,
ἀλλ᾽ ὅτι ἐκεῖνος εἶπε βασιλεύς εἰμι τῶν ἰουδαίων,

Digitized by Google




Bayerische
Staatsbibliothek
München

Digitized by Google

# ΩΡΟΛΟΓΙΟΝ ΣΥΝ ΘΕΩ

ἁγίω. περιέχον τὰ καθεξῆς
ἐγγεγραμμένα.

Τὸ κατὰ Ἰωάννην εὐαγγέλιον τῆς λαμπρᾶς κυριακῆς.

Σταύρωσις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου.

Αἱ μετὰ τὸ ἐγερθῆναι εὐχαριστήριοι εὐχαί.

Τὸ καθ᾽ ἡμέραν μεσονυκτικόν.

Ἕτερον μεσονυκτικὸν τοῦ σαββάτου.

Ἕτερον μεσονυκτικὸν τῆς κυριακῆς.

Ἡ ἀκολουθία τοῦ ὄρθρου.

Οἱ κατ᾽ ἦχον τριαδικοὶ ὕμνοι.

Αἱ ἐννέα ᾠδαί.

Τὰ κατ᾽ ἦχον φωταγωγικά.

Ἐξαποστειλάρια τῆς ὅλης ἑβδομάδος, καὶ οἱ αἶνοι.

Ἡ πρώτη ὥρα. Τρίτη τε καὶ ἕκτη, σὺν τοῖς μεσωρίοις αὐτῶν.

Τὰ τυπικὰ μετὰ τῆς προσηκούσης αὐτῶν ἑρμηνείας.

Ἡ ἀκολουθία τῆς ὑψώσεως τῆς παναγίας, καὶ πῶς δεῖ ὑψοῦσθαι αὐτήν, καὶ διατί λέγομεν.



Digitized by Google

Ἡ ἐννάτη ὥρα μετὰ τοῦ μεσωρίου αὐτῆς.
Ἡ ἀκολουθία τοῦ ἑσπερινοῦ.
Ἡ μετὰ τὸν ἑσπερινὸν εὐλογία τῆς τραπέζης, καὶ πῶς δεῖ ποιεῖν.
Ἡ ἀκολουθία τοῦ μεγάλου ἀποδείπνου.
Τὸ μικρὸν ἀπόδειπνον.
Τὸ μηνολόγιον τοῦ ὅλου ἐνιαυτοῦ πλουσιώτατον.
Αἱ ὧραι τῆς λαμπρᾶς κυριακῆς· καὶ τὸ μεσονυκτικόν· καὶ τὸ ἀπόδειπνον.
Ἡ ἀκολουθία τῶν ἀπολυτικίων καὶ κοντακίων τῆς μεγάλης τεσσαρακοστῆς, καὶ ὅλης τῆς ἁγίας πεντηκοστῆς.
Τὰ τῶν ὀκτὼ ἤχων ἀπολυτίκια, σὺν τοῖς θεοτοκίοις καὶ ταῖς ὑπακοαῖς αὐτῶν.
Τὰ ἐν ταῖς κυριακαῖς ψαλλόμενα μετὰ τὸν ἄμωμον ἀναστάσιμα τροπάρια. ἤγουν τὰ εὐλογητάρια.
Ὁμοίως τὰ ἐν τῷ σαββάτῳ ψαλλόμενα νεκρώσιμα τροπάρια μετὰ τὸν ἄμωμον.
Θ κία ἀπολυτίκια ψαλλόμενα ὅλῳ τῷ ἐνιαυτῷ, ἔν τε τῷ ἑσπερινῷ, καὶ εἰς τὸ θεὸς κύριος ἐν τῷ ὄρθρῳ· καὶ ἐπὶ τῷ τέλει τοῦ ὄρθρου.
Τὰ ἀπολυτίκια τῆς ὅλης ἑβδομάδος.
Ἡ ἀκολουθία τοῦ εἰς τὴν ὑπεραγίαν θεοτόκον, ἀκαθίστου ὕμνου, σὺν τοῖς οἴκοις αὐτῆς.
Στιχηρὰ καὶ κανὼν κατανυκτικὸς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἤγουν τὸ Ἰησοῦ γλυκύτατε.
Ὁ εἰς τὴν ὑπεραγίαν θεοτόκον παρακλητικὸς καὶ κατανυκτικὸς κανών. ἤγουν τό.

Digitized by Google

Πολλοῖς συνεχόμενος πειρασμοῖς.

Ἡ ἀκολουθία τῆς ἁγίας μεταλήψεως πλουσία τε καὶ σεβασμιωτάτη.

Τοῦ ἁγίου κυρίλλου λόγος περὶ ἐξόδου ψυχῆς, καὶ περὶ τῆς δευτέρας παρουσίας.

Προσόμοια κατ᾽ ἐπιτομὴν περιέχοντα ὅλον τὸ μηνολόγιον, ποίημα χριστοφόρου πατρικίου καὶ ἀνθυπάτου τοῦ μιτυληναίου.

Κανὼν ἱκετήριος ψαλλόμενος εἰς τὰς ἐπουρανίους δυνάμεις, καὶ εἰς πάντας τοὺς ἁγίους. κατὰ ἀλφάβητον. ποίημα ἰωσὴφ τοῦ ὑμνογράφου.

Κανὼν κατανυκτικὸς, ἐπανορθωθεὶς ὑπὸ ζαχαρίου ἱερέως. ὃν ὀφείλει πᾶς χριστιανὸς καθεκάστην ἀναγινώσκειν πρὸς ἐξιλέωσιν τῶν ἁμαρτιῶν αὐτοῦ. Ποίημα τοῦ ἁγιωτάτου μητροπολίτου φιλαδελφίας κυρίου θεολήπτου.

Πασχάλιον ἐτῶν μ΄, ἀρχόμενον ἀπὸ τοῦ ,αφξβ΄, ἔτους. ποιηθὲν ὑπὸ τοῦ αὐτοῦ ζαχαρίου ἱερέως σκορδυλίου κρητὸς τοῦ ἐπιλεγομένου μαραφαρᾶ, καὶ τοποτηρητοῦ τοῦ τῆς κωνσταντινουπόλεως οἰκουμενικοῦ πατριάρχου κυρίου ἰωάσαφ.

Τοῦ αὐτοῦ, περὶ τῶν τεσσάρων τεσσαρακοστῶν, πόθεν καὶ τίς ὁ παραδοὺς ἡμῖν ταύτας.

Τοῦ αὐτοῦ, σύλλεξις τῶν τοῦ γάμου βαθμῶν ἐν συνόψει.



Digitized by Google

Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ πάσχα. Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου.

Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν. ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν. καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν. καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων· οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη. ἡ χάρις καὶ ἡ ἀλήθεια, διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο :~

Digitized by Google

Εὐαγγέλιον τοῦ κῡ ἡμῶν ἰῡ χῡ· ἐκ τοῦ κα
τὰ ἰωάννην ἁγίου εὐαγγελίου·



Ταῦτα εἰπὼν ὁ ἰς̄, ἐξῆλθε σὺν τοῖς
μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤ
ῥου τῶν κέδρων, ὅπου ἦν κῆπος, εἰς
ὃν εἰσῆλθεν αὐτὸς, καὶ οἱ μαθηταὶ αὐτοῦ·
ᾔδει δὲ καὶ ἰούδας ὁ παραδιδοὺς αὐτὸν
τὸν τόπον, ὅτι πολλάκις συνήχθη καὶ ὁ
ἰς̄ ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ· ὁ οὖν
ἰούδας λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ
φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ
λαμπάδων καὶ ὅπλων· ἰς̄ οὖν εἰδὼς πάντα τὰ ἐρχό
μενα ἐπ᾽ αὐτὸν, ἐξελθὼν, εἶπεν αὐτοῖς· τίνα ζητεῖτε·
ἀπεκρίθησαν αὐτῷ· ἰν̄ τὸν ναζωραῖον· λέγει αὐτοῖς ὁ ἰς̄
ἐγώ εἰμι· εἱστήκει δὲ καὶ ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ᾽
αὐτῶν· ὡς οὖν εἶπεν αὐτοῖς, ὅτι ἐγώ εἰμι, ἀπῆλθον
εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί· πάλιν οὖν αὐτοὺς ἐ
πηρώτησε· τίνα ζητεῖτε· οἱ δὲ εἶπον, ἰν̄ τὸν ναζωραῖον·
ἀπεκρίθη ὁ ἰς̄· εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι· εἰ οὖν ἐμὲ ζη
τεῖτε, ἄφετε τούτους ὑπάγειν, ἵνα πληρωθῇ ὁ λόγος
ὃν εἶπεν, ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐ
τῶν οὐδένα, σίμων οὖν πέτρος ἔχων μάχαιραν εἵλκυ
σεν αὐτὴν, καὶ ἔπεσε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ ἀπέ
κοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ
μάλχος· εἶπεν οὖν ὁ ἰς̄ τῷ πέτρῳ· βάλε τὴν μάχαι
ραν εἰς τὴν θήκην αὐτῆς· τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ
πατήρ, οὐ μὴ πίω αὐτό; ἡ οὖν σπεῖρα, καὶ ὁ χιλίαρχος καὶ

οἱ ὑπηρέται τῶν ἰουδαίων συνέλαβον τὸν ἰν̄, καὶ ἔδησαν αὐτὸν, καὶ ἀπήγαγον αὐτὸν πρὸς ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. ἦν δὲ καϊάφας ὁ συμβουλεύσας τοῖς ἰουδαίοις, ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ. ἠκολούθει δὲ τῷ ἰῦ σίμων πέτρος· καὶ ὁ ἄλλος μαθητής. ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ· καὶ συνεισῆλθε τῷ ἰῦ, εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως. ὁ δὲ πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος ὃς ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν πέτρον. λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ πέτρῳ· μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; λέγει ἐκεῖνος, οὐκ εἰμί. εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν καὶ ἐθερμαίνοντο. ἦν δὲ μετ' αὐτῶν ὁ πέτρος ἑστὼς καὶ θερμαινόμενος. ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν ἰν̄ περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. ἀπεκρίθη αὐτῷ ὁ ἰς̄. ἐγὼ παρρησίᾳ ἐλάλησα τῷ κόσμῳ. ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ, καὶ ἐν τῷ ἱερῷ ὅπου πάντοτε οἱ ἰουδαῖοι συνέρχονται. καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. τί με ἐπερωτᾷς; ἐπερώτησον τοὺς ἀκηκοότας τί ἐλάλησα αὐτοῖς. ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ. ταῦτα δὲ αὐτοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν παρεστηκὼς, ἔδωκε ῥάπισμα τῷ ἰῦ εἰπὼν, οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ; ἀπεκρίθη αὐτῷ ὁ ἰς̄. εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ. εἰ δὲ καλῶς, τί με δέρεις. ἀπέστειλεν αὐτὸν ὁ ἄννας δεδεμένον πρὸς καϊάφαν τὸν ἀρχιερέα. ἦν δὲ σίμων πέτρος ἑστὼς καὶ θερμαινόμενος, εἶπον οὖν αὐ-

Digitized by Google

τῷ· μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; ἠρνήσατο οὖν
ἐκεῖνος, καὶ εἶπεν· οὐκ εἰμί. λέγει εἷς ἐκ τῶν δούλων τοῦ
ἀρχιερέως συγγενὴς ὢν οὗ ἀπέκοψε πέτρος τὸ ὠτίον·
οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ᾽ αὐτοῦ, πάλιν οὖν ἠρ
νήσατο ὁ πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν· ἄ-
γουσι τὸν ἰησοῦν ἀπὸ τοῦ καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ
πρωΐ, καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ
μιανθῶσιν, ἀλλ᾽ ἵνα φάγωσι τὸ πάσχα· ἐξῆλθεν οὖν
ὁ πιλάτος πρὸς αὐτοὺς καὶ εἶπε· τίνα κατηγορίαν
φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου· ἀπεκρίθησαν καὶ εἶπον
αὐτῷ· εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώ
καμεν αὐτόν· εἶπεν οὖν αὐτοῖς ὁ πιλάτος· λάβετε
αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν· εἶ
πον οὖν αὐτῷ οἱ ἰουδαῖοι· ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐ
δένα, ἵνα ὁ λόγος τοῦ ἰησοῦ πληρωθῇ, ὃν εἶπε, σημαί-
νων ποίῳ θανάτῳ ἔμελλεν ἀποθνήσκειν· εἰσῆλθεν
οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ πιλάτος, καὶ ἐφώνησε
τὸν ἰησοῦν, καὶ εἶπεν αὐτῷ· σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων;
ἀπεκρίθη αὐτῷ ὁ ἰησοῦς· ἀφ᾽ ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλ
λοι σοι εἶπον περὶ ἐμοῦ· ἀπεκρίθη ὁ πιλάτος· μήτι
ἐγὼ ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν, καὶ οἱ ἀρχιερεῖς παρέ
δωκάν σε ἐμοί, τί ἐποίησας· ἀπεκρίθη ὁ ἰησοῦς· ἡ βασι
λεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου, εἰ ἐκ τοῦ κόσμου τού-
του ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνί
ζοντο, ἵνα μὴ παραδοθῶ τοῖς ἰουδαίοις· νῦν δὲ ἡ βασι
λεία ἡ ἐμὴ, οὐκ ἔστιν ἐντεῦθεν· εἶπεν οὖν αὐτῷ ὁ πι-
λάτος· οὐκοῦν βασιλεὺς εἶ σύ; ἀπεκρίθη ὁ ἰησοῦς· σὺ
λέγεις, ὅτι βασιλεύς εἰμι ἐγώ· ἐγὼ εἰς τοῦτο γεγέννη-

Digitized by Google

μαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρή-
σω τῇ ἀληθείᾳ. πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου
τῆς φωνῆς. λέγει αὐτῷ ὁ πιλάτος, τί ἐστιν ἀλήθεια. καὶ
τοῦτο εἰπὼν, πάλιν ἐξῆλθε πρὸς τοὺς ἰουδαίους καὶ
λέγει αὐτοῖς. ἐγὼ οὐδὲ μίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ.
ἔστι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ
πάσχα. βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν βασιλέα
τῶν ἰουδαίων; ἐκραύγασαν οὖν πάλιν πάντες λέγον-
τες, μὴ τοῦτον, ἀλλὰ τὸν βαραββᾶν. ἦν δὲ ὁ βαραββᾶς
λῃστής. τότε οὖν ἔλαβεν ὁ πιλάτος τὸν ἰησοῦν, καὶ ἐμαστίγω-
σε. καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν,
ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν
περιέβαλον αὐτὸν, καὶ ἔλεγον. χαῖρε ὁ βασιλεὺς τῶν
ἰουδαίων. καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα. ἐξῆλθεν οὖν
πάλιν ἔξω ὁ πιλάτος καὶ λέγει αὐτοῖς. ἴδε ἄγω ὑμῖν
αὐτὸν ἔξω, ἵνα γνῶτε, ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑ-
ρίσκω. ἐξῆλθεν οὖν ὁ ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον
στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον. καὶ λέγει αὐτοῖς. ἴ-
δε ὁ ἄνθρωπος. ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέ-
ται ἐκραύγασαν λέγοντες. ἆρον ἆρον σταύρωσον αὐτόν.
λέγει αὐτοῖς ὁ πιλάτος. λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσα-
τε, ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. ἀπεκρίθη-
σαν αὐτῷ οἱ ἰουδαῖοι. ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νό-
μον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν θεοῦ ἐποίη-
σεν, ὅτε οὖν ἤκουσεν ὁ πιλάτος τοῦτον τὸν λόγον
μᾶλλον ἐφοβήθη. καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πά-
λιν, καὶ λέγει τῷ ἰησοῦ. πόθεν εἶ σύ. ὁ δὲ ἰησοῦς ἀπόκρισιν
οὐκ ἔδωκεν αὐτῷ, λέγει οὖν αὐτῷ ὁ πιλάτος. ἐμοὶ

Digitized by Google

οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ
ἐξουσίαν ἔχω ἀπολῦσαί σε; ἀπεκρίθη ἰησοῦς· οὐκ εἶχες
ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον
ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς με σοὶ μείζονα ἁμαρ
τίαν ἔχει· ἐκ τούτου ἐζήτει ὁ πιλάτος ἀπολῦσαι αὐ-
τόν· οἱ δὲ ἰουδαῖοι ἔκραζον λέγοντες· ἐὰν τοῦτον ἀπο
λύσῃς, οὐκ εἶ φίλος τοῦ καίσαρος· πᾶς ὁ βασιλέα ἑαυ
τὸν ποιῶν, ἀντιλέγει τῷ καίσαρι· ὁ οὖν πιλάτος ἀ-
κούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω τὸν ἰησοῦν, καὶ ἐκάθισεν
ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον λιθόστρωτον, ἑ-
βραϊστὶ δὲ γαββαθᾶ. ἦν δὲ παρασκευὴ τοῦ πάσχα. ὥρα
δὲ ὡσεὶ ἕκτη. καὶ λέγει τοῖς ἰουδαίοις. ἴδε ὁ βασιλεὺς ὑ-
μῶν. οἱ δὲ ἐκραύγασαν. ἆρον ἆρον σταύρωσον αὐτόν. λέ
γει αὐτοῖς ὁ πιλάτος. τὸν βασιλέα ὑμῶν σταυρώσω; ἀπε
κρίθησαν οἱ ἀρχιερεῖς. οὐκ ἔχομεν βασιλέα, εἰ μὴ
καίσαρα. τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυ-
ρωθῇ. παρέλαβον δὲ τὸν ἰησοῦν. καὶ ἀπήγαγον, καὶ βαστάζων
τὸν σταυρὸν αὐτοῦ, ἐξῆλθεν εἰς τὸν λεγόμενον κρανίου τό
πον. ὃς λέγεται ἑβραϊστὶ γολγοθᾶ, ὅπου αὐτὸν ἐσταύ
ρωσαν· καὶ μετ' αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν.
μέσον δὲ τὸν ἰησοῦν. ἔγραψε δὲ καὶ τίτλον ὁ πιλάτος, καὶ ἔθη
κεν ἐπὶ τοῦ σταυροῦ. ἦν δὲ γεγραμμένον, ἰησοῦς ὁ ναζωραῖος ὁ
βασιλεὺς τῶν ἰουδαίων. τοῦτον οὖν τὸν τίτλον πολλοὶ
ἀνέγνωσαν τῶν ἰουδαίων, ὅτι ἐγγὺς ἦν τῆς πόλεως ὁ τό
πος, ὅπου ἐσταυρώθη ὁ ἰησοῦς. καὶ ἦν γεγραμμένον ἑβραϊστὶ
ἑλληνιστὶ. ῥωμαϊστί. ἔλεγον οὖν τῷ πιλάτῳ οἱ ἀρχιε-
ρεῖς τῶν ἰουδαίων, μὴ γράφε ὁ βασιλεὺς τῶν ἰουδαίων,
ἀλλ' ὅτι ἐκεῖνος εἶπε βασιλεύς εἰμι τῶν ἰουδαίων.

Digitized by Google

ἀπεκρίθη ὁ πιλάτος. ὃ γέγραφα, γέγραφα. οἱ οὖν
στρατιῶται ὅτε ἐσταύρωσαν τὸν ἰν̄, ἔλαβον τὰ ἱμάτια αὐτοῦ,
καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος,
καὶ τὸν χιτῶνα. ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν ἄνωθεν
ὑφαντὸς δι' ὅλου. εἶπον οὖν πρὸς ἀλλήλους. μὴ σχίσω
μεν αὐτὸν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται. ἵνα ἡ
γραφὴ πληρωθῇ ἡ λέγουσα. διεμερίσαντο τὰ ἱμάτιά
μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλλον κλῆρον.
οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν. εἱστήκεισαν δὲ
παρὰ τῷ σταυρῷ τοῦ ἰῡ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐ
τοῦ, μαρία ἡ τοῦ κλωπᾶ, καὶ μαρία ἡ μαγδαληνή. ἰς̄ οὖν
ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα, ὃν ἠγάπα,
λέγει τῇ μητρὶ αὐτοῦ. γύναι. ἴδε ὁ υἱός σου. εἶτα λέγει τῷ
μαθητῇ. ἰδοὺ ἡ μήτηρ σου. καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλα
βεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. μετὰ ταῦτα ἰδὼν ὁ
ἰησοῦς, ὅτι πάντα ἤδη τετέλεσται περὶ αὐτοῦ ἵνα τε-
λειωθῇ ἡ γραφὴ, λέγει. διψῶ. σκεῦος οὖν ἔκει-
το ὄξους μεστόν. οἱ δὲ πλήσαντες σπόγγον ὄξους καὶ ὑ-
σσώπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι. ὅ-
τε οὖν ἔλαβε τὸ ὄξος ὁ ἰς̄, εἶπε. τετέλεσται. καὶ κλίνας
τὴν κεφαλὴν, παρέδωκε τὸ πνᾶ. οἱ οὖν ἰουδαῖοι, ἵνα
μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐ-
πεὶ παρασκευὴ ἦν. ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου
τοῦ σαββάτου. ἠρώτησαν τὸν πιλάτον, ἵνα κατεαγῶσιν
αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. ἦλθον οὖν οἱ στρατιῶ-
ται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ
συσταυρωθέντος αὐτῷ. ἐπὶ δὲ τὸν ἰν̄ ἐλθόντες, ὡς εἶδον
αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη,

Digitized by Google

ἀλλ᾽ εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε
καὶ εὐθέως, ἐξῆλθεν αἷμα καὶ ὕδωρ. καὶ ὁ ἑωρακὼς με-
μαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστὶν ἡ μαρτυρία. κἀκεῖ-
νος οἶδεν ὅτι ἀληθῆ λέγει ἵνα καὶ ὑμεῖς πιστεύσητε.
ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ. ὀστοῦν οὐ
συντριβήσεται αὐτοῦ. καὶ πάλιν ἑτέρα γραφὴ λέγει. ὄ-
ψονται εἰς ὃν ἐξεκέντησαν. μετὰ δὲ ταῦτα ἠρώτησε
τὸν πιλάτον ἰωσὴφ ὁ ἀπὸ ἀριμαθαίας ὢν μαθητὴς
τοῦ ἰησοῦ κεκρυμμένος δὲ, διὰ τὸν φόβον τῶν ἰουδαίων, ἵνα
ἄρῃ τὸ σῶμα αὐτοῦ. καὶ ἐπέτρεψεν ὁ πιλάτος. ἦλθεν
οὖν καὶ ἦρε τὸ σῶμα τοῦ ἰησοῦ. ἦλθε δὲ καὶ νικόδημος, ὁ ἐλθὼν
πρὸς τὸν ἰησοῦν νυκτὸς τὸ πρῶτον, φέρων μῖγμα σμύρ-
νης καὶ ἀλόης, ὡσεὶ λίτρας ἑκατόν. ἔλαβον οὖν τὸ σῶ-
μα τοῦ ἰησοῦ, καὶ ἔδησαν αὐτὸ ἐν ὀθονίοις μετὰ τῶν ἀρωμά-
των καθὼς ἔθος ἐστὶ τοῖς ἰουδαίοις ἐνταφιάζειν. ἦν
δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος. καὶ ἐν τῷ κήπῳ
μνημεῖον καινόν. ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη. ἐκεῖ
οὖν διὰ τὴν παρασκευὴν τῶν ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ
μνημεῖον, ἔθηκαν τὸν ἰησοῦν. τῇ δὲ μιᾷ τῶν σαββάτων μα-
ρία ἡ μαγδαληνὴ ἔρχεται πρωῒ, σκοτίας ἔτι οὔσης
εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ
μνημείου. τρέχει οὖν καὶ ἔρχεται πρὸς σίμωνα πέτρον,
καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ ἰησοῦς. καὶ λέγει αὐ-
τοῖς. ἦραν τὸν κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθη-
καν αὐτόν. ἐξῆλθεν οὖν ὁ πέτρος καὶ ὁ ἄλλος μαθητὴς
καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ
ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ πέτρου, καὶ ἦλθε
πρῶτος, εἰς τὸ μνημεῖον, καὶ παρακύψας βλέπει

κείμενα τὰ ὀθόνια, οὐ μέντοι εἰσῆλθεν. ἔρχεται οὖν
σίμων πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ
μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα. καὶ τὸ σουδά-
ριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων
κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τό-
πον. τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν
πρῶτος εἰς τὸ μνημεῖον καὶ εἶδε καὶ ἐπίστευσεν. οὐδέπω γὰρ
ᾔδεισαν τὴν γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆ-
ναι. ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί.
μαρία δὲ εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω. ὡς
οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ
δύο ἀγγέλους ἐν λευκοῖς, καθεζομένους ἕνα πρὸς τῇ
κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔθηκαν τὸ σῶ-
μα τοῦ ἰῦ. καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι. γύναι, τί κλαίεις.
λέγει αὐτοῖς, ὅτι ἦραν τὸν κῦ μου, καὶ οὐκ οἶδα ποῦ ἔ-
θηκαν αὐτόν. καὶ ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω.
καὶ θεωρεῖ τὸν ἰῦ ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι ὁ ἰς͂ ἐστι. λέ-
γει αὐτῇ ὁ ἰς͂. γύναι, τί κλαίεις, τίνα ζητεῖς. ἐκείνη
δοκοῦσα ὅτι ὁ κηπωρός ἐστι, λέγει αὐτῷ. κέ, εἰ σὺ ἐ-
βάστασας αὐτὸν εἰπέ μοι ποῦ ἔθηκας αὐτόν, κἀγὼ αὐ-
τὸν ἀρῶ. λέγει αὐτῇ ὁ ἰς͂. μαρία. στραφεῖσα ἐκείνη,
λέγει αὐτῷ. ῥαββουνί. ὃ λέγεται διδάσκαλε. λέγει
αὐτῇ ὁ ἰς͂. μή μου ἅπτου. οὔπω γὰρ ἀναβέβηκα πρὸς
τὸν πρᾶ μου. πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ
εἰπὲ αὐτοῖς. ἀναβαίνω πρὸς τὸν πρᾶ μου καὶ πρᾶ ὑ-
μῶν, καὶ θ͂ν μου, καὶ θ͂ν ὑμῶν. ἔρχεται μαρία ἡ μαγδα-
ληνὴ, ἀναγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν κῦ. καὶ
ταῦτα εἶπεν αὐτοῖς. οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκεί-

Digitized by Google

μη τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμέ-
νων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον
τῶν ἰουδαίων, ἦλθεν ὁ ἰς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐ-
τοῖς. εἰρήνη ὑμῖν. καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖ-
ρας καὶ τὴν πλευρὰν αὐτοῦ. ἐχάρησαν οὖν οἱ μαθηταὶ, ἰδόν-
τες τὸν κν. εἶπεν οὖν αὐτοῖς ὁ ἰς πάλιν. εἰρήνη ὑμῖν.
καθὼς ἀπέσταλκέ με ὁ πὴρ, κἀγὼ πέμπω ὑμᾶς. καὶ
τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς. λάβετε πνα
ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς.
ἄν τινων κρατῆτε, κεκράτηνται. θωμᾶς δὲ εἷς ἐκ
τῶν δώδεκα, ὁ λεγόμενος δίδυμος, οὐκ ἦν μετ' αὐτῶν
ὅτε ἦλθεν ὁ ἰς. ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταὶ,
ἑωράκαμεν τὸν κν. ὁ δὲ εἶπεν αὐτοῖς, ἐὰν μὴ ἴδω ἐν
ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκ-
τυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν
χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. καὶ μεθ'
ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ θω-
μᾶς μετ' αὐτῶν. ἔρχεται ὁ ἰς τῶν θυρῶν κεκλει-
σμένων, καὶ ἔστη εἰς τὸ μέσον. καὶ εἶπεν. εἰρήνη ὑμῖν. εἶ-
τα λέγει τῷ θωμᾷ. φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴ-
δε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν
πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. καὶ ἀπε-
κρίθη θωμᾶς, καὶ εἶπεν αὐτῷ. ὁ κς μου καὶ ὁ θς μου.
λέγει αὐτῷ ὁ ἰς. ὅτι ἑώρακάς με πεπίστευκας, μα-
κάριοι, οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. πολλὰ μὲν οὖν καὶ
ἄλλα σημεῖα ἐποίησεν ὁ ἰς ἐνώπιον τῶν μαθητῶν
αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. ταῦ-
τα δὲ γέγραπται, ἵνα πιστεύσητε ὅτι ἰς ἐστὶν ὁ χς ὁ υἱὸς

τοῦ θεοῦ. καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνό-
ματι αὐτοῦ. μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν
ὁ ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς τιβε-
ριάδος. ἐφανέρωσε δὲ οὕτως. ἦσαν ὁμοῦ σίμων
Πέτρος καὶ θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Να-
θαναὴλ ὁ ἀπὸ κανὰ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ
ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.
λέγει αὐτοῖς σίμων Πέτρος. ὑπάγω ἁλιεύειν. λέ-
γουσιν αὐτῷ. ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. ἐξῆλθον
καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθύς. καὶ ἐν ἐκεί-
νῃ τῇ νυκτὶ, ἐπίασαν οὐδέν. πρωίας δὲ ἤδη γενομέ-
νης, ἔστη ὁ ἰησοῦς εἰς τὸν αἰγιαλόν, οὐ μέντοι ᾔδεισαν οἱ
μαθηταὶ ὅτι ἰησοῦς ἐστι. λέγει αὐτοῖς ὁ ἰησοῦς. παιδία μήτι
προσφάγιον ἔχετε; ἀπεκρίθησαν αὐτῷ, οὔ. ὁ δὲ εἶ-
πεν αὐτοῖς. βάλλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκ-
τυον καὶ εὑρήσετε. ἔβαλον οὖν, καὶ οὐκ ἔτι αὐτὸ ἑλκύ-
σαι ἴσχυσαν, ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. λέγει οὖν ὁ
μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ ἰησοῦς τῷ πέτρῳ. ὁ κύριος
ἐστι. σίμων οὖν πέτρος ἀκούσας. ὅτι ὁ κύριός ἐστι, τὸν ἐπεν-
δύτην διεζώσατο, ἦν γὰρ γυμνός, καὶ ἔβαλεν ἑαυτὸν
εἰς τὴν θάλασσαν. οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ
ἦλθον. οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ᾽ ὡς ἀπὸ
πηχῶν διακοσίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων.
ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν
κειμένην, καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον. λέγει
αὐτοῖς ὁ ἰησοῦς. ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσα-
τε νῦν. ἀνέβη σίμων πέτρος, καὶ εἵλκυσε τὸ δίκτυ-
ον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων, ἑκατὸν πεν-
τήκοντα τριῶν

Digitized by Google

τήκοντα τειῶν. καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δί-
κτυον. λέγει αὐτοῖς ὁ ἰς, δεῦτε ἀριστήσατε. οὐδεὶς δὲ
ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν, σὺ τίς εἶ; εἰ-
δότες ὅτι ὁ κς ἐστιν. ἔρχεται οὖν ὁ ἰς, καὶ λαμβάνει
τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. τοῦ-
το ἤδη τρίτον, ἐφανερώθη ὁ ἰς τοῖς μαθηταῖς αὐτοῦ,
ἐγερθεὶς ἐκ νεκρῶν. ὅτε οὖν ἠρίστησαν, λέγει τῷ σί-
μωνι πέτρῳ ὁ ἰς, σίμων ἰωνᾶ ἀγαπᾷς με πλεῖον τού-
των; λέγει αὐτῷ. ναὶ κε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει
αὐτῷ. βόσκε τὰ ἀρνία μου. λέγει αὐτῷ πάλιν δεύ-
τερον. σίμων ἰωνᾶ ἀγαπᾷς με; λέγει αὐτῷ. ναὶ κε, σὺ
οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ. ποίμαινε τὰ προβά-
τά μου. λέγει αὐτῷ τὸ τρίτον. σίμων ἰωνᾶ φιλεῖς με;
ἐλυπήθη ὁ πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, φι-
λεῖς με. καὶ εἶπεν αὐτῷ. κε, σὺ πάντα οἶδας, σὺ γι-
νώσκεις ὅτι φιλῶ σε. λέγει αὐτῷ ὁ ἰς. βόσκε τὰ προ-
βατά μου. ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐ-
ζώννυες σεαυτόν, καὶ περιεπάτεις, ὅπου ἤθελες. ὅταν
δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου. καὶ ἄλλος σε ζώ-
σει, καὶ οἴσει ὅπου οὐ θέλεις. τοῦτο δὲ εἶπε, σημαί-
νων ποίῳ θανάτῳ δοξάσει τὸν θν. καὶ τοῦτο εἰπών, λέ-
γει αὐτῷ, ἀκολούθει μοι. ἐπιστραφεὶς δὲ ὁ πέτρος, βλέ-
πει τὸν μαθητὴν ὃν ἠγάπα ὁ ἰς ἀκολουθοῦντα. ὃς καὶ
ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπε, κε,
τίς ἐστιν ὁ παραδιδούς σε, τοῦτον ἰδὼν ὁ πέτρος, λέγει
τῷ ἰυ. κε, οὗτος δὲ τί. λέγει αὐτῷ ὁ ἰς. ἐὰν αὐτὸν θέ-
λω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ. σὺ ἀκολούθει μοι.
ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ



Digitized by Google

μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει. καὶ οὐκ εἶπεν αὐτῷ
ὁ ἰς̄, ὅτι οὐκ ἀποθνήσκει. ἀλλ᾽ ἐὰν αὐτὸν θέλω μέ
νειν, ἕως ἔρχομαι, τί πρὸς σέ. οὗτος ἐστὶν ὁ μαθητὴς,
ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα. καὶ οἴδα
μεν ὅτι ἀληθὴς ἐστὶν ἡ μαρτυρία αὐτοῦ. ἔστι δὲ καὶ ἄλλα
πολλὰ ὅσα ἐποίησεν ὁ ἰς̄. ἅτινα ἐὰν γράφηται καθ᾽
ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμε
να βιβλία. ἀμήν :~



Ἁγία τριὰς βοήθει ἡμῖν.

# ὩΡΟΛΟΓΙΟΝ

σὺν θεῷ ἁγίῳ, περιέχον
τὴν ἅπασαν ἀκολουθίαν, κατὰ τὴν τάξιν τῶν
ἁγίων Ἱεροσολύμων, καὶ τῶν
εὐαγῶν μοναστηρίων.

Ἐξεγειρόμενος ἐξ ὕπνου. ἀναχώρησον τῆς κλίνης, καὶ
εἰπέ. δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν. εἶτα
τρισάγιον. παναγία τριάς. πάτερ ἡμῶν.
καὶ τὰ παρόντα τροπάρια.

Ἐξεγερθέντες τοῦ ὕπνου, προσπίπτομέν σοι ἀγα
θὲ καὶ τῶν ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι δυνατέ.
ἅγιος ἅγιος ἅγιος εἶ ὁ θεός, διὰ τῆς θεοτόκου ἐλέη
σον ἡμᾶς :~ Δόξα.

Τῆς κλίνης καὶ τοῦ ὕπνου ἐξεγείρας με κύριε. καὶ τὸν νοῦν μου φώ
τισον καὶ τὴν καρδίαν. καὶ τὰ χείλη μου ἄνοιξον, εἰς τὸ
ὑμνεῖν σε ἁγία τριάς. ἅγιος ἅγιος ἅγιος εἶ. καὶ νῦν.

Ἀθρόον ὁ κριτὴς ἐπελεύσεται καὶ ἑκάστου αἱ πρά
ξεις γυμνωθήσονται. ἀλλὰ φόβῳ κράξωμεν ἐν
τῷ μέσῳ τῆς νυκτός, ἅγιος. ἅγιος. ἅγιος εἶ ὁ θεός
διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς :~

Τὸ κύριε ἐλέησον, ιβ'. καὶ τὴν εὐχὴν ταύτην.

Ἐκ τοῦ ὕπνου ἐξανιστάμενος, εὐχαριστῶ σοι ἁγία τριάς
ὅτι διὰ τὴν πολλήν σου ἀγαθότητα καὶ μακροθυμίαν



Digitized by Google

οὐκ ὀργίσθης μοι τῷ ῥαθύμῳ καὶ ἁμαρτωλῷ, οὐδὲ συναπώλεσάς με ταῖς ἀνομίαις μου. ἀλλ' ἐφιλανθρωπεύσω συνήθως, καὶ πρὸς ἀπόγνωσιν κείμενόν μ' ἤγειράς με, εἰς τὸ ὀρθρίσαι καὶ δοξολογῆσαι τὸ κράτος σου, καὶ νῦν φώτισόν μου τὰ ὄμματα τῆς διανοίας. ἄνοιξόν μου τὸ στόμα, τοῦ μελετᾶν τὰ λόγια σου, καὶ συνιέναι τὰς ἐντολάς σου, καὶ ποιεῖν τὸ θέλημά σου. καὶ ψάλλειν σοι ἐν ἐξομολογήσει καρδίας καὶ ἀνυμνεῖν τὸ πανάγιον ὄνομά σου. τοῦ πρς. καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνς. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν :~ εὐχὴ ἡ τρίτη.

Δόξα σοι βασιλεῦ θεὲ παντοκράτορ, ὅτι ἠξίωσάς με τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον ἐξ ὕπνου ἀναστῆναι, καὶ τυχεῖν τῆς εἰσόδου τοῦ ἁγίου σου οἴκου. καὶ δέξαι τὴν φωνὴν τῆς δεήσεώς μου, ὡς τῶν ἁγίων καὶ νοερῶν σου δυνάμεων. καὶ εὐδόκησον ἐν καρδίᾳ καθαρᾷ προσενεχθῆναί σοι, τὴν αἴνεσιν τῶν χειλέων μου. ὅπως κἀγὼ κοινωνὸς γένωμαι τῶν φρονίμων παρθένων ἐν φαιδρᾷ λαμπάδι τῆς ψυχῆς μου. ἵνα δοξάσω τὸν ἐν πατρὶ καὶ πνι δοξαζόμενον θεὸν λόγον :~

## Ἀρχὴ τοῦ μεσονυκτικοῦ.

Δόξα σοι ὁ θεὸς ἡμῶν δόξα σοι.

Βασιλεῦ οὐράνιε, παράκλητε τὸ πνεῦμα τῆς ἀληθείας. ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν. ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός. ἐλθὲ καὶ σκή-

Digitized by Google

μωθῶν ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖ-
δος. καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν :–

Ψ τρισάγιον. μετανοίας γ΄. εἰ ἔστιν ἀλληλούϊα. δόξα καὶ νῦν. παναγία τριάς. κύριε ἐλέησον γ΄. δόξα καὶ νῦν. πάτερ ἡμῶν. ὅτι σοῦ ἐστι, κύριε ἐλέησον ιβ΄. δόξα καὶ νῦν. δεῦτε προσκυνήσωμεν ἐκ γ΄. μετανοίας γ΄. καὶ εὐθὺς ὁ ν΄.

Ἐλέησόν με ὁ θεός. κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου. ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός. σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι. πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην. ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι, ῥῦσαί με ἐξ αἱμάτων ὁ θεός



Digitized by Google

ὁ θεὸς τῆς σωτηρίας μου. ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. κύριε τὰ χείλη μου ἀνοίξεις. καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἄν. ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. θυσία τῷ θεῷ, πνεῦμα συντετριμμένον. καρδίαν συντετριμμένην, καὶ τεταπεινωμένην, ὁ θεὸς οὐκ ἐξουδενώσει. ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη ἱερουσαλήμ. τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους :~

εἰς τὸν ἄμωμον. στάσις ά.

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου. μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα. ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου. τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου. τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα. ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ, ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. εὐλογητὸς εἶ κύριε δίδαξόν με τὰ δικαιώματά σου. ἐν τοῖς

Digitized by Google

χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός
σου. ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ
παντὶ πλούτῳ. ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ
κατανοήσω τὰς ὁδούς σου. ἐν τοῖς δικαιώμασί σου με-
λετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου. ἀνταπόδος
τῷ δούλῳ σου, ζῆσόν με καὶ φυλάξω τοὺς λόγους σου. ἀ-
ποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω
τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. πάροικος ἐγώ εἰμι ἐν τῇ
γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου. ἐπεπό-
θησεν ἡ ψυχή μου, τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου
ἐν παντὶ καιρῷ. ἐπετίμησας ὑπερηφάνοις, ἐπικατά-
ρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. περίελε
ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου
ἐξεζήτησα. καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ' ἐμοῦ
κατελάλουν, ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δι-
καιώμασί σου. καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι
καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου. ἐκολλήθη
τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου. τὰς
ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου. δίδαξόν με τὰ
δικαιώματά σου. ὁδὸν δικαιωμάτων σου συνέτισόν με
καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. ἐνύσταξεν ἡ
ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις
σου. ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου
ἐλέησόν με. ὁδὸν ἀληθείας ᾑρετισάμην, καὶ τὰ κρίμα-
τά σου οὐκ ἐπελαθόμην. ἐκολλήθην τοῖς μαρτυρίοις
σου κύριε, μή με καταισχύνῃς. ὁδὸν ἐντολῶν σου ἔδραμον,
ὅταν ἐπλάτυνας τὴν καρδίαν μου. νομοθέτησόν με
κύριε τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐ-



Digitized by Google

τὴν διαπαντός. συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον
σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. ὁδήγησόν με
ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα. κλῖ
νον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεο
νεξίαν. ἀπόστρεψον τοὺς ὀφθαλμούς μου, τοῦ μὴ ἰδεῖν
ματαιότητα. ἐν τῇ ὁδῷ σου, ζῆσόν με. στῆσον τῷ δούλῳ
σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου. περίελε τὸν ὀνειδισμόν
μου ὃν ὑπώπτευσα ὅτι τὰ κρίματά σου χρηστά. ἰδοὺ ἐπε
θύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με
καὶ ἔλθοι ἐπ᾽ ἐμὲ τὸ ἔλεός σου κύριε. τὸ σωτήριόν σου κατὰ
τὸν λόγον σου. καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι
λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου. καὶ μὴ περιέλῃς
ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ
τοῖς κρίμασί σου ἐπήλπισα. καὶ φυλάξω τὸν νόμον σου δια
παντὸς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. καὶ ἐπο
ρευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτη
σα. καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασι
λέων καὶ οὐκ ἠσχυνόμην. καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς
σου, ἃς ἠγάπησα σφόδρα. καὶ ἦρα τὰς χεῖράς μου πρὸς
τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δι
καιώμασί σου. μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου,
ὧν ἐπήλπισάς με. αὕτη με παρεκάλεσεν ἐν τῇ ταπει
νώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με. ὑπερήφανοι παρη
νόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλι
να. ἐμνήσθην τῶν κριμάτων σου ἀπ᾽ αἰῶνος κύριε, καὶ παρε
κλήθην. ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν, τῶν
ἐγκαταλιμπανόντων τὸν νόμον σου. ψαλτὰ ἦσάν μοι

τὰ δικαιώματά σου, ἐν τόπῳ παροικίας μου. ἐμνή-
σθην ἐν νυκτὶ τοῦ ὀνόματός σου κέ, καὶ ἐφύλαξα τὸν νόμον
σου. αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτη-
σα. μερίς μου εἶ κέ, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.
ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέη-
σόν με κατὰ τὸ λόγιόν σου. διελογισάμην τὰς ὁδούς σου
καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου, ἡτοι-
μάσθην καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι τὰς ἐντολάς
σου. σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ
νόμου σου οὐκ ἐπελαθόμην. μεσονύκτιον ἐξεγειρόμην
τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης
σου. μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ
τῶν φυλασσόντων τὰς ἐντολάς σου. τοῦ ἐλέους σου κέ,
πλήρης ἡ γῆ. τὰ δικαιώματά σου δίδαξόν με. χρηστό-
τητα ἐποίησας μετὰ τοῦ δούλου σου κέ, κατὰ τὸν λόγον σου
χρηστότητα, καὶ παιδείαν, καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς
ἐντολαῖς σου ἐπίστευσα. πρὸ τοῦ με ταπεινωθῆναι,
ἐγὼ ἐπλημμέλησα. διὰ τοῦτο, τὸ λόγιόν σου ἐφύλαξα.
χρηστὸς εἶ σὺ κέ, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δι-
καιώματά σου. ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφά-
νων. ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου, ἐξερευνήσω τὰς ἐν-
τολάς σου. ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ
τὸν νόμον σου ἐμελέτησα. ἀγαθόν μοι ὅτι ἐταπείνωσάς
με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. ἀγαθός μοι ὁ
νόμος τοῦ στόματός σου, ὑπὲρ χιλιάδας χρυσίου καὶ
ἀργυρίου :~

δόξα. καὶ νῦν. ἀλληλούϊα, ἐκ γ'. μετά-
νοιαι γ'. στάσις. β'.

Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με. συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου. οἱ φοβούμενοί σε, ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. ἔγνων κέ ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. γενηθήτω δὴ τὸ ἔλεός σου, τοῦ παρακαλέσαι με. κατὰ τὸ λόγιόν σου, τῷ δούλῳ σου. ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου καὶ ζήσομαι. ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν. αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ. ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου. ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου. εἰς τοὺς λόγους σου ἐπήλπισα. ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες πότε παρακαλέσεις με. ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου, πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν. διηγήσαντό μοι παράνομοι ἀδολεσχίας ἀλλ' οὐχ ὡς ὁ νόμος σου κέ. πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια. ἀδίκως κατεδίωξάν με. βοήθησόν μοι. παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ. ἐγὼ δὲ, οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου. εἰς τὸν αἰῶνα κέ ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ. εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου. ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει. τῇ διατάξει σου διαμένει ἡ ἡμέρα ὅτι τὰ σύμπαντα δοῦ-

Digitized by Google

… εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μού ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου. εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με :~

μέμ.

Σός εἰμι ἐγώ, σῶσόν με ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με, τὰ μαρτύριά σου συνῆκα. πάσης συντελείας εἶδον πέρας. πλατεῖα ἡ ἐντολή σου σφόδρα. ὡς ἠγάπησα τὸν νόμον σου κέ. ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν. ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν. ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστιν. ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου ὅπως ἂν φυλάξω τοὺς λόγους σου. ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου. ὤμοσα καὶ ἔστησα, τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. ἐταπεινώθην ἕως σφόδρα, κέ ζῆσόν με κατὰ τὸν λόγον σου. τὰ ἑκούσια τοῦ στόματός μου, εὐδόκησον δὴ κέ καὶ τὰ κρίματά σου δίδαξόν με. ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν. ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ

Digitized by Google

δικαιώματά σου, εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. παρανό-
μους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα. βοηθός μου καὶ ἀν-
τιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα. ἐκκλί-
νατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντο-
λὰς τοῦ θῦ μου. ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζήσομαι,
καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου. βοή-
θησόν μοι καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμα-
σί σου διαπαντός. ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦν-
τας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμη-
μα αὐτῶν. παραβαίνοντας ἐλογισάμην πάντας τοὺς
ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.
καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, ἀπὸ γὰρ
τῶν κριμάτων σου ἐφοβήθην. ἐποίησα κρίμα καὶ δικαιο-
σύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με. ἔκδεξαι τὸν δοῦ-
λόν σου εἰς ἀγαθόν, μὴ συκοφαντησάτωσάν με ὑπερή-
φανοι. οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ
εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου. ποίησον μετὰ τοῦ δούλου
σου, κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με.
δοῦλός σου εἰμὶ ἐγώ, συνέτισόν με καὶ γνώσομαι τὰ μαρτύ-
ριά σου. καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ, διεσκέδασαν τὸν νό-
μον σου. διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου, ὑπὲρ χρυ-
σίον καὶ τοπάζιον. διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου
κατωρθούμην. πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα. θαυ-
μαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ
ψυχή μου, ἡ δήλωσις τῶν λόγων σου, φωτιεῖ καὶ συνε-
τιεῖ νηπίους. τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα. ὅ-
τι τὰς ἐντολάς σου ἐπεπόθουν.

δόξα καὶ νῦν. ἀλληλούϊα, ἐκ γ'. μετανοίας. γ'. στάσις. γ'.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου. δίκαιος εἶ κέ, καὶ εὐθεῖς αἱ κρίσεις σου. ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα. ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. θλίψεις καὶ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σου μελέτη μου. δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με καὶ ζήσομαι. ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου κέ. τὰ δικαιώματά σου ἐκζητήσω. ἐκέκραξά σοι σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου. προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα. προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾶν τὰ λόγιά σου. τῆς φωνῆς μου ἄκουσον κέ κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρίμα σου ζῆσόν με. προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίαν, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν. ἐγγὺς εἶ σὺ κέ καὶ πᾶσαι αἱ ὁδοί σου ἀ-

Digitized by Google

λήθεια. κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην. κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με. μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν. οἱ οἰκτιρμοί σου πολλοὶ κε, κατὰ τὸ κρίμα σου ζῆσόν με. πολλοὶ οἱ ἐκδιώκοντές με, καὶ θλίβοντές με ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγια σου οὐκ ἐφυλάξαντο. ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα κε, ἐν τῷ ἐλέει σου ζῆσόν με. ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου. ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. ἀδικίαν ἐμίσησα, καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα. ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. προσεδόκων τὸ σωτήριόν σου κε, καὶ τὰς ἐντολάς σου ἠγάπησα. ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα. ἐφύλαξα τὰς ἐντολάς σου, καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου κε. ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου κε, κατὰ τὸ λόγιόν σου συνέτισόν με. εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου κε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με. ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον ὅταν διδάξῃς με, τὰ δικαιώματά σου. φθέγξοιτο ἡ γλῶσσα

μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη. γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην. ἐπεπόθησα τὸ σωτήριόν σου κύριε, καὶ ὁ νόμος σου μελέτη μού ἐστι. ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε. καὶ τὰ κρίματά σου βοηθήσει μοι. ἐπλανήθην ὡς πρόβατον ἀπολωλός. ζήτησον τὸν δοῦλόν σου ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην:~ Δόξα, καὶ νῦν. καὶ [illegible] τό

Πιστεύω εἰς ἕνα θεόν, πατέρα παντοκράτορα ποιητὴν οὐρανοῦ καὶ γῆς:~ Καὶ τὰ λοιπά.

Τρισάγιον, μετανοίας γ'. παναγία τριάς. πάτερ ἡμῶν. καὶ ὡς ἂν ὁ ἱερεὺς ἐκφωνήσῃ τὸ ὅτι σοῦ ἐστιν. εἶτα τὰ τροπάρια ταῦτα, πρὸς ἦχον πλαγίου δ'.

Ἰδοὺ ὁ νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός. καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα. ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς. ἀλλὰ ἀνάνηψον κράζουσα, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός, διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς:~ δόξα.

Τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν ἐννοοῦσα ψυχή μου γρηγόρησον. ἀνάπτουσα λαμπάδας σου, ἐν ἐλαίῳ φαιδρύνουσα. οὐ γὰρ οἶδας πότε πρὸς σὲ ἐπελεύσεται ἡ φωνὴ ἡ λέγουσα, ἰδοὺ ὁ νυμφίος. βλέπε οὖν ψυχή μου μὴ νυστάξῃς καὶ μείνῃς ἔξωθεν κρούουσα, ὡς αἱ πέντε παρθένοι. ἀλλ' ἀγρύπνως καρτέρησον, ἵνα ὑπαντήσῃς Χριστῷ ἐν ἐλαίῳ πίονι. καὶ δώσει σοι τὸν νυμφῶνα τὸν θεῖον τῆς δόξης αὐτοῦ:~ καὶ νῦν.

Σὲ τὸ ἀπόρθητον τεῖχος τῆς σωτηρίας ὀχύρωμα θεο

παρθένε ἱκετεύομεν, τὰς τῶν ἐναντίων βουλὰς δια-
σκέδασον. τοῦ λαοῦ σου τὴν λύπην εἰς χαρὰν μετάβαλε.
τὴν πόλιν σου περιτείχισον, τῷ βασιλεῖ συμμάχησον.
ὑπὲρ εἰρήνης τοῦ κόσμου πρέσβευε, ὅτι σὺ εἶ θεοτόκε ἡ ἐλ-
πὶς ἡμῶν. εἶτα κύριε ἐλέησον, μ΄. εἶτα τὴν εὐχὴν ταύτην.

Ὁ ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρᾳ, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος, καὶ δοξαζόμενος χριστὲ ὁ θεός, ὁ μακρόθυμος ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος. ὁ τοὺς δικαίους ἀγαπῶν, καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν. ὁ πάντας καλῶν πρὸς σωτηρίαν, διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν, αὐτὸς κύριε πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις, καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. τὰς ψυχὰς ἡμῶν ἁγίασον. τὰ σώματα ἅγνισον. τοὺς λογισμοὺς διόρθωσον. τὰς ἐννοίας κάθαρον, καὶ ῥῦσαι ἡμᾶς, ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. τείχισον ἡμᾶς ἁγίοις σου ἀγγέλοις. ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης. ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

Κύριε ἐλέησον, γ΄. δόξα, καὶ νῦν. τὴν τιμιωτέραν. ἐν ὀνόματι κυρίου εὐλόγησον πάτερ, ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς. καὶ εἰ μέν ἐστιν ἀλληλούια, ποιοῦμεν τὰς μετανοίας, λέγοντες τὴν εὐχὴν ταύτην μυστικῶς, ἐκ γ΄. μερίζοντες αὐτὴν καθὼς ἐστι σεσημειωμένη, τοῦ ἁγίου ἐφραίμ:~

Κύριε καὶ δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας περιεργείας φιλαρχίας καὶ ἀργολογίας μή μοι δῷς. πνεῦμα δὲ σω-

φροσύνης

Digitized by Google

φροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς, καὶ ἀγάπης, χά-
ρισαί μοι τῷ σῷ δούλῳ. Ναὶ κύριε βασιλεῦ, δώρησαί μοι
τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελ-
φόν μου. ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:~

Λέγε δὲ ταύτην ἐν γ΄. ποιῶν μετανοίας μεγάλας
μὲν γ΄. μικρὰς δὲ ιβ΄. λέγων καθ' ἑκάστην τό, ὁ θεὸς ἱλά-
σθητί μοι τῷ ἁμαρτωλῷ. καὶ πάλιν ὕστερον τὴν εὐχήν.
καὶ μετάνοιαν μίαν μεγάλην εἶτα τὴν εὐχὴν ταύτην.

Δέσποτα θεὲ πάτερ παντοκράτορ, κύριε υἱὲ μονογενὲς
Ἰησοῦ Χριστὲ καὶ ἅγιον πνεῦμα. μία θεότης. μία δύναμις, ἐ-
λέησόν με τὸν ἁμαρτωλόν. καὶ οἷς ἐπίστασαι κρίμα-
σι σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου. ὅτι εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

Εἰ δ' οὐκ ἔστιν ἀλληλούϊα, καταλιμπάνεται τό, κύριε καὶ
δέσποτα τῆς ζωῆς μου, καὶ αἱ μετάνοιαι. καὶ λέγομεν μόνον
τό, δέσποτα θεὲ πάτερ. καὶ τὰς εὐχὰς ταύτας. ἰστέον ὅτι ἡ
εὐχὴ αὕτη λέγεται ἀπὸ τῆς κβ΄. τοῦ σεπτεμβρίου, μέχρι
τῆς κυριακῆς τῶν βαΐων. βασιλείου τοῦ μεγάλου.

Κύριε παντοκράτορ ὁ θεὸς τῶν δυνάμεων καὶ πάσης
σαρκός. ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ
ἐφορῶν. καρδίας τε καὶ νεφροὺς ὁ ἐτάζων. καὶ τὰ
κρυπτὰ τῶν ἀνθρώπων σαφῶς ἐπιστάμενος. τὸ ἄναρχον καὶ ἀΐ-
διον φῶς. παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς ἀποσκία-
σμα. αὐτὸς ἀθάνατε βασιλεῦ, πρόσδεξαι τὰς ἱκεσί-
ας ἡμῶν, ἃς κατὰ τὸν παρόντα καιρὸν τῷ πλήθει τῶν σῶν
οἰκτιρμῶν θαρροῦντες, ἐκ ῥυπαρῶν πρὸς σὲ χειλέων
ποιούμεθα. καὶ ἄφες ἡμῖν τὰ πλημμελήματα ἡμῶν, τὰ
ἐν ἔργῳ καὶ λόγῳ, καὶ διανοίᾳ γνώσεως ἢ ἀγνωσίας πλημ-



Digitized by Google

μεληθέντα ἡμῖν. ἐκκαθάρισον ἡμᾶς ἀπὸ παντὸς μο-
λυσμοῦ σαρκὸς καὶ πνεύματος. καὶ δώρησαι ἡμῖν ἐν ἀγρύπνῳ καὶ
νηφούσῃ διανοίᾳ, πάσαν τοῦ παρόντος βίου τὴν νύκτα ἡ-
μᾶς διελθεῖν, ἀπεκδεχομένους τὴν παρουσίαν τῆς λαμ-
πρᾶς καὶ ἐπιφανοῦς ἡμέρας, τοῦ μονογενοῦς σου υἱοῦ, τοῦ
κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἐν ᾗ μετὰ δόξης κριτὴς τῶν
ἁπάντων ἐλεύσεται, ἑκάστῳ ἀποδοῦναι κατὰ τὰ ἔρ-
γα αὐτοῦ. ἵνα μὴ ἀναπεπτωκότες καὶ ῥαθυμοῦντες, ἀλλ'
ἐγρηγοροῦντες καὶ διεγηγερμένοι ἐν τῇ ἐργασίᾳ, εὑρε-
θείημεν ἕτοιμοι εἰς τὴν χαρὰν, καὶ εἰς τὸν θεῖον νυμφῶνα
τῆς δόξης αὐτοῦ συνεισέλθωμεν, ἔνθα ὁ τῶν ἑορταζόν-
των ἦχος ὁ ἀκατάπαυστος, καὶ ἀνέκφραστος ἡ ἡδονὴ τῶν
καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄρρητον. σὺ
γὰρ εἶ τὸ ἀληθινὸν φῶς τὸ φωτίζον καὶ ἁγιάζον τὰ σύμ-
παντα, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας τῶν
αἰώνων, ἀμήν:~

Εἶτα ὑψοῖ ὁ ἱερεὺς τὰς χεῖρας λέγων. τοῦ αὐτοῦ.

Εὐλογοῦμέν σε ὕψιστε θεὲ καὶ κύριε τοῦ ἐλέους. τὸν ποι-
οῦντα ἀεὶ μεθ' ἡμῶν μεγάλα τε καὶ ἀνεξιχνίαστα,
ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. τὸν παρα-
σχόντα ἡμῖν τὸν ὕπνον εἰς ἀνάπαυσιν τῆς ἀσθενείας ἡ-
μῶν, καὶ ἄνεσιν τῶν κόπων τῆς πολυμόχθου σαρκός.
εὐχαριστοῦμέν σοι ὅτι οὐ συναπώλεσας ἡμᾶς ταῖς ἀνο-
μίαις ἡμῶν. ἀλλ' ἐφιλανθρωπεύσω συνήθως, καὶ
πρὸς ἀπόγνωσιν κειμένους ἡμᾶς ἤγειρας, εἰς τὸ δοξο-
λογῆσαι τὸ κράτος σου. διὸ δυσωποῦμεν τὴν ἀνείκαστον
σου ἀγαθότητα, φώτισον ἡμῶν τοὺς τῆς διανοίας ὀφθαλ-

μούς, καὶ τὸν νοῦν ἡμῶν, ἐκ τοῦ βαρέως ὕπνου τῆς ῥαθυ-
μίας ἀνάστησον. ἄνοιξον ἡμῶν τὸ στόμα καὶ πλήρωσον αὐ-
τὸ τῆς σῆς αἰνέσεως, ὅπως ἂν δυνηθῶμεν ἀπερισπά-
στως ᾄδειν τε καὶ ψάλλειν καὶ ἐξομολογεῖσθαί σοι τῷ ἐν πᾶ-
σι καὶ ὑπὸ πάντων δοξαζομένῳ θεῷ. τῷ ἀνάρχῳ πα-
τρὶ σὺν τῷ μονογενεῖ σου υἱῷ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ,
καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων, ἀμήν:~ Εἶτα δεῦτε προσκυνή-
σωμεν ἐκ γ'. μετανοίας γ'. καὶ τοὺς ψαλμούς.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοή-
θειά μου. ἡ βοήθειά μου, παρὰ κυρίου τοῦ ποιήσαντος τὸν
οὐρανὸν καὶ τὴν γῆν. μὴ δώῃς εἰς σάλον τὸν πόδα σου, μηδὲ
νυστάξῃ ὁ φυλάσσων σε. ἰδοὺ οὐ νυστάξει. οὐδὲ ὑπνώσει
ὁ φυλάσσων τὸν Ἰσραήλ. κύριος φυλάξει σε. κύριος σκέπη σου, ἐπὶ
χεῖρα δεξιάν σου. ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ
ἡ σελήνη τὴν νύκτα. κύριος φυλάξει σε ἀπὸ παντὸς κα-
κοῦ. φυλάξει τὴν ψυχήν σου ὁ κύριος. κύριος φυλάξει τὴν εἴ-
σοδόν σου, καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον, πάντες οἱ δοῦλοι κυρίου. οἱ ἑ-
στῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν. ἐν ταῖς
νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν. εἰς τὰ ἅγια, καὶ εὐλο-
γεῖτε τὸν κύριον. εὐλογήσαι σε κύριος ἐκ Σιών, ὁ ποιήσας τὸν οὐ-
ρανὸν καὶ τὴν γῆν:~ Δόξα καὶ νῦν.
Τρισάγιον. μετανοίας, γ'. καὶ παναγία τριάς. πάτερ ἡ-
μῶν. ὅτι σοῦ ἐστι. καὶ τὰ τροπάρια ταῦτα. ἦχος β'.

Μνήσθητι κύριε ὡς ἀγαθὸς τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥ-
μαρτον, συγχώρησον. οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σὺ ὁ
δυνάμενος, καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.



Digitized by Google

Ὁ βάθει σοφίας φιλανθρώπως, πάντα οἰκονομῶν καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων μόνε δημιουργέ, ἀνάπαυσον κύριε τὰς ψυχὰς τῶν δούλων σου. ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ καὶ πλάστῃ καὶ θεῷ ἡμῶν :~ Δόξα.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον χριστὲ τὰς ψυχὰς τῶν δούλων σου. ἔνθα οὐκ ἔστι πόνος. οὐ λύπη. οὐ στεναγμός. ἀλλὰ ζωὴ ἀτελεύτητος. Καὶ νῦν. Θεο.

Μακαρίζομέν σε πᾶσαι αἱ γενεαὶ θεοτόκε παρθένε. ἐν σοὶ γὰρ ὁ ἀχώρητος χριστὸς ὁ θεὸς ἡμῶν, χωρηθῆναι ηὐδόκησε. μακάριοι ἐσμὲν καὶ ἡμεῖς, προστασίαν σε ἔχοντες. ἡμέρας γὰρ καὶ νυκτὸς πρεσβεύεις ὑπὲρ ἡμῶν. καὶ τὰ σκῆπτρα τῆς βασιλείας ταῖς σαῖς ἱκεσίαις κρατύνονται. διὸ ἀνυμνοῦντες βοῶμέν σοι. χαῖρε κεχαριτωμένη ὁ κύριος μετὰ σοῦ :~

Κύριε ἐλέησον, ιβʹ. καὶ ἡ εὐχὴ αὕτη.

Μνήσθητι κύριε τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ πάντων τῶν ἐν εὐσεβείᾳ καὶ πίστει τελειωθέντων. καὶ συγχώρησον αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν πλημμεληθὲν ὑπ' αὐτῶν. καὶ κατασκήνωσον αὐτοὺς ἐν τόποις φωτεινοῖς, ἐν τόποις χλοεροῖς, ἐν τόποις ἀναψύξεως. ἔνθα ἀπέδρα πᾶσα ὀδύνη λύπη καὶ στεναγμός. ὅπου ἡ ἐπισκοπὴ τοῦ προσώπου σου, εὐφραίνει πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους σου. χάρισαι αὐτοῖς καὶ ἡμῖν τὴν βασιλείαν σου, καὶ τὴν μέθεξιν τῶν ἀφράστων καὶ αἰωνίων σου ἀγαθῶν, καὶ τῆς ἀπεράντου καὶ μακαρίας

Digitized by Google

ζωῆς τὴν ἀπόλαυσιν· σὺ γὰρ εἶ ἡ ζωή, ἡ ἀνάστασις καὶ ἡ
ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου Χριστὲ ὁ Θεὸς ἡ-
μῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ
σου πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύ-
ματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

Ὑπερένδοξε ἀεὶ παρθένε μῆτερ Χριστοῦ τοῦ Θεοῦ, προσάγα-
γε τὴν ἡμετέραν προσευχήν, τῷ υἱῷ σου καὶ Θεῷ
ἡμῶν, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν:~

Ἡ ἐλπίς μου ὁ πατήρ· καταφυγή μου ὁ υἱός· σκέπη
μου τὸ πνεῦμα τὸ ἅγιον· τριὰς ἁγία δόξα σοι:~

Δόξα καὶ νῦν. κύριε ἐλέησον, εὐλόγησον. ὁ ἱερεύς.
Χριστὸς ὁ ἀληθινός. καὶ γίνεται ἀπόλυσις· καὶ λαμ-
βάνομεν συγχώρησιν τὴν συνήθη. εἶτα.

Εὐξώμεθα ὑπὲρ τῶν κραταιῶν καὶ ἁγίων βασιλέων
ἡμῶν:~ καὶ ἡμεῖς τὸ κύριε ἐλέησον συνεχῶς.

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ.

Ὑπὲρ τοῦ πατρὸς ἡμῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡ-
μῶν ἀδελφότητος:~

Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς:~

Ὑπὲρ τῶν ἐλεούντων καὶ διακονούντων ἡμᾶς:~

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι
ὑπὲρ αὐτῶν:~

Ὑπὲρ ἀναρρύσεως τῶν αἰχμαλώτων:~ Ὑπὲρ τῶν
ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν:~

Ὑπὲρ τῶν ἐν θαλάσσῃ πλεόντων:~

Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων:~

Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς:~

Καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῶν ὀρθοδόξων:~



Digitized by Google

Ὁ βάθει σοφίας φιλανθρώπως, πάντα οἰκονομῶν καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε δημιουργέ, ἀνάπαυσον κύριε τὰς ψυχὰς τῶν δούλων σου. ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ καὶ πλάστῃ καὶ θεῷ ἡμῶν :~ Δόξα.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον χριστὲ τὰς ψυχὰς τῶν δούλων σου. ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος. καὶ νῦν. Θεοτο.

Μακαρίζομέν σε πᾶσαι αἱ γενεαὶ θεοτόκε παρθένε. ἐν σοὶ γὰρ ὁ ἀχώρητος χριστὸς ὁ θεὸς ἡμῶν, χωρηθῆναι εὐδόκησε. μακάριοι ἐσμὲν καὶ ἡμεῖς, προστασίαν σε ἔχοντες. ἡμέρας γὰρ καὶ νυκτὸς πρεσβεύεις ὑπὲρ ἡμῶν. καὶ τὰ σκῆπτρα τῆς βασιλείας ταῖς σαῖς ἱκεσίαις κρατύνονται. διὸ ἀνυμνοῦντες βοῶμέν σοι. χαῖρε κεχαριτωμένη ὁ κύριος μετὰ σοῦ :~

Κύριε ἐλέησον, ιβ΄. καὶ ἡ εὐχὴ αὕτη.

Μνήσθητι κύριε τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ πάντων τῶν ἐν εὐσεβείᾳ καὶ πίστει τελειωθέντων. καὶ συγχώρησον αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν πλημμεληθὲν ὑπ' αὐτῶν. καὶ κατασκήνωσον αὐτοὺς ἐν τόποις φωτεινοῖς, ἐν τόποις χλοεροῖς, ἐν τόποις ἀναψύξεως. ἔνθα ἀπέδρα πᾶσα ὀδύνη λύπη καὶ στεναγμός. ὅπου ἡ ἐπισκοπὴ τοῦ προσώπου σου, εὐφραίνει πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους σου. χάρισαι αὐτοῖς καὶ ἡμῖν τὴν βασιλείαν σου, καὶ τὴν μέθεξιν τῶν ἀφράστων καὶ αἰωνίων σου ἀγαθῶν, καὶ τῆς ἀπεράντου καὶ μακαρίας

Digitized by Google

ζωῆς τὴν ἀπόλαυσιν· σὺ γὰρ εἶ ἡ ζωή, ἡ ἀνάστασις καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου χριστὲ ὁ θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι· καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

Ὑπερένδοξε ἀειπαρθένε μῆτερ χριστοῦ τοῦ θεοῦ, προσάγαγε τὴν ἡμετέραν προσευχὴν, τῷ υἱῷ σου καὶ θεῷ ἡμῶν, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν:~

Ἡ ἐλπίς μου ὁ πατήρ· καταφυγή μου ὁ υἱός· σκέπη μου τὸ πνεῦμα τὸ ἅγιον· τριὰς ἁγία δόξα σοι:~

Δόξα καὶ νῦν. κύριε ἐλέησον, εὐλόγησον. ὁ ἱερεύς. χριστὸς ὁ ἀληθινός. καὶ γίνεται ἀπόλυσις. καὶ λαμβανόμενοι συγχώρησιν τὴν συνήθη. εἶτα.

Εὐξώμεθα ὑπὲρ τῶν κραταιῶν καὶ ἁγίων βασιλέων ἡμῶν:~ καὶ ἡμεῖς τὸ κύριε ἐλέησον συνεχῶς.

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ.

Ὑπὲρ τοῦ πατρὸς ἡμῶν, καὶ πάσης τῆς ἐν χριστῷ ἡμῶν ἀδελφότητος:~

Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς:~

Ὑπὲρ τῶν ἐλεούντων καὶ διακονούντων ἡμᾶς:~

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν:~

Ὑπὲρ ἀναρρύσεως τῶν αἰχμαλώτων:~ Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν:~

Ὑπὲρ τῶν ἐν θαλάσσῃ πλεόντων:~

Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων:~

Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς:~

Καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῶν ὀρθοδόξων:~



Digitized by Google

Ἀνακείσωμεν τοὺς εὐσεβεῖς βασιλεῖς :~

Τοὺς ὀρθοδόξους ἀρχιερεῖς, καὶ κτήτορας τῆς ἁγίας μονῆς ταύτης :~

Τοὺς γονεῖς ἡμῶν, καὶ πάντας τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν, τοὺς ἐνθάδε κειμένους καὶ ἁπανταχοῦ ὀρθοδόξους :~

ὁ προεστώς. εἴπωμεν καὶ ὑπὲρ τῶν κε.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν κε ἰυ χε ὁ θς ἡμῶν ἐλέησον ἡμᾶς, ἀμήν. καὶ πάλιν ὁμοίως συγχώρησις.

Πρόσεχε ὅτι οὕτως ὀφείλει ψάλλεσθαι ὅλη τῇ ἑβδομάδι τὸ μεσονυκτικόν. Ἴσθι ὅτι ἐν τῷ ἁγίῳ ὄρει τοῦ ἄθω. μετὰ τὸ μνήσθητι κε λέγουσι, τὰ παρόντα τροπάρια. ἐλέησον ἡμᾶς. δόξα κε ἐλέησον ἡμᾶς. καὶ νῦν τῆς εὐσπλαγχνίας. καὶ ὁ ἱερεὺς ἐλέησον ἡμᾶς ὁ θς. καὶ τὰ λοιπὰ τῆς μεγάλης ἐκτενῆς, καὶ μετὰ τὸ κε ἐλέησον. ἀπόλυσις :~

Ἕτερον μεσονυκτικὸν τοῦ σαββάτου.

Ποιεῖ ὁ ἱερεὺς εὐλογητόν. καὶ ἡμεῖς, δόξα σοι ὁ θς ἡμῶν δόξα σοι. βασιλεῦ οὐράνιε. ἅγιον. παναγία τριάς. πὲρ ἡμῶν. ὅτι σοῦ ἐστι. τὸ κε ἐλέησον ιβ΄. δεῦτε προσκυνήσωμεν. γ΄. εἶτα ὁ ν, καὶ τὸ παρὸν κθ.

Σοὶ πρέπει ὕμνος ὁ θς ἐν σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν ἱλήμ. εἰσάκουσον προσευχῆς μου. πρὸς σὲ πᾶσα σὰρξ ἥξει. λόγοι ἀνόμων ὑπερεδυνάμωσαν

ἡμᾶς, καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ. μακάριος ὃν
ἐξελέξω καὶ προσελάβου. κατασκηνώσει ἐν ταῖς αὐ-
λαῖς σου. πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου.
ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. ἐπάκουσον
ἡμῶν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν ἡ ἐλπὶς πάντων τῶν περάτων
τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν. ἑτοιμάζων ὄρη ἐν
τῇ ἰσχύϊ αὐτοῦ. περιεζωσμένος ἐν δυναστείᾳ. ὁ συντα-
ράσσων τὸ κῆτος τῆς θαλάσσης. ἤχους κυμάτων αὐτῆς,
τίς ὑποστήσεται. ταραχθήσονται τὰ ἔθνη, καὶ φοβηθή-
σονται. οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων
σου. ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις. ἐπεσκέψω
τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν. ἐπλήθυνας τοῦ πλουτίσαι
αὐτήν. ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων. ἡτοίμασας
τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία. τὰς αὔλα-
κας αὐτῆς μέθυσον. πλήθυνον τὰ γεννήματα αὐτῆς.
ἐν ταῖς σταγόσιν αὐτῆς, εὐφρανθήσεται ἀνατέλλουσα.
εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου. καὶ
τὰ πεδία σου, πλησθήσονται πιότητος. πιανθήσονται
τὰ ὡραῖα τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσον-
ται. ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων. καὶ αἱ κοιλά-
δες πληθυνοῦσι σῖτον. κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

Ἀλαλάξατε τῷ κυρίῳ πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ
ὀνόματι αὐτοῦ. δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. εἴ-
πατε τῷ θεῷ ὡς φοβερὰ τὰ ἔργα σου. ἐν τῷ πλήθει τῆς
δυνάμεώς σου, ψεύσονταί σε οἱ ἐχθροί σου. πᾶσα ἡ γῆ προσ-
κυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι. ψαλάτωσαν
δὴ τῷ ὀνόματί σου ὕψιστε. δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ,
ὡς φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ὁ με-



Digitized by Google

ταστρέφων τὴν θάλασσαν εἰς ξηράν. ἐν ποταμῷ διελεύσονται ποδί. ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ. τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος. οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν. οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. εὐλογεῖτε ἔθνη τὸν θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ. τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου. ὅτι ἐδοκίμασας ἡμᾶς ὁ θεός. ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα. ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν. ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. διήλθομεν διὰ πυρὸς καὶ ὕδατος. καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν. ἀποδώσω σοι τὰς εὐχάς μου ἃς διέστειλε τὰ χείλη μου, καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι, μετὰ θυμιάματος καὶ κριῶν. ἀνοίσω σοι βόας μετὰ χιμάρρων. δεῦτε ἀκούσατε καὶ διηγήσομαι ὑμῖν. πάντες οἱ φοβούμενοι τὸν θεόν, ὅσα ἐποίησε τῇ ψυχῇ μου. πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου. ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου. μὴ εἰσακουσάτω μου κύριος. διὰ τοῦτο εἰσήκουσέ μου ὁ θεός. πρόσεχε τῇ φωνῇ τῆς δεήσεώς μου. εὐλογητὸς ὁ θεός, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ:~

Ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς. ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι

ἡμᾶς. τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου. ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ θεὸς ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. εὐλογήσαι ἡμᾶς ὁ θεὸς ὁ θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς ὁ θεὸς, καὶ φοβηθήτωσαν αὐτὸν, πάντα τὰ πέρατα τῆς γῆς :~ δόξα. καὶ νῦν, ἀλληλούϊα ἐκ γ΄.

Ἀναστήτω ὁ θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν. ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ θεοῦ. τερφθήτωσαν ἐν εὐφροσύνῃ. ᾄσατε τῷ θεῷ, ψάλλατε τῷ ὀνόματι αὐτοῦ. ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν. κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ. ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτοῦ τῶν χηρῶν. ὁ θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ. ὁ θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ, ἐξάγων πεπεδημένους ἐν ἀνδρίᾳ. ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις. ὁ θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου. ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ. γῆ ἐσείσθη καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ θεοῦ τοῦ σινᾶ, ἀπὸ προσώπου τοῦ θεοῦ ἰσραήλ. βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ θεὸς τῇ κληρονομίᾳ σου καὶ ἠσθένησε, σὺ δὲ

Digitized by Google

κατηρτίσω αὐτήν. τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐτῇ.
ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ θεός. κύριος
δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις, δυνάμει πολλῇ.
ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ. τῇ ὡραιό-
τητι τοῦ οἴκου διελέσθαι σκῦλα. ἐὰν κοιμηθῆτε ἀνὰ
μέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρω-
μέναι. καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυ-
σίου. ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ'
αὐτῆς, χιονωθήσονται ἐν σελμών. ὄρος τοῦ θεοῦ ὄρος
πῖον, ὄρος τετυρωμένον, ὄρος πῖον. ἵνα τί ὑπολαμ-
βάνετε ὄρη τετυρωμένα, τὸ ὄρος ὃ εὐδόκησεν ὁ θεὸς
κατοικεῖν ἐν αὐτῷ. καὶ γὰρ ὁ κύριος κατασκηνώσει εἰς
τέλος. τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθυ-
νούντων. κύριος ἐν αὐτοῖς ἐν σινᾷ, ἐν τῷ ἁγίῳ. ἀνέβης
εἰς ὕψος ᾐχμαλώτευσας αἰχμαλωσίαν. ἔλαβες
δόματα ἐν ἀνθρώποις. καὶ γὰρ ἀπειθοῦντας τοῦ κατα-
σκηνῶσαι. κύριος ὁ θεὸς εὐλογητός, εὐλογητὸς κύριος, ἡμέραν
καθ' ἡμέραν. κατευοδώσει ἡμῖν ὁ θεὸς τῶν σωτηρίων ἡ-
μῶν ὁ θεὸς ἡμῶν ὁ θεὸς τοῦ σώζειν. καὶ τοῦ κυρίου κυρίου αἱ διέ-
ξοδοι τοῦ θανάτου. πλὴν ὁ θεὸς συνθλάσει κεφαλὰς
ἐχθρῶν αὐτοῦ. κορυφὴν τριχὸς διαπορευομένων ἐν
πλημμελείαις αὐτῶν. εἶπε κύριος ἐκ βασὰν ἐπιστρέψω
ἐν βυθοῖς θαλάσσης. ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν
αἵματι. ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐ-
τοῦ. ἐθεωρήθησαν αἱ πορεῖαί σου ὁ θεός, αἱ πο-
ρεῖαι τοῦ θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ. προέφθα-
σαν ἄρχοντες, ἐχόμενα ψαλλόντων, ἐν μέσῳ νεανί-

δῶν τυμπανιστριῶν. ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν
θν, κν ἐκ πηγῶν ἰηλ. ἐκεῖ Βενιαμὶν νεώτερος ἐν
ἐκστάσει. ἄρχοντες ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες
ζαβουλὼν, ἄρχοντες Νεφθαλείμ. ἔντειλαι ὁ θς τῇ
δυνάμει σου. δυνάμωσον ὁ θς τοῦτο, ὃ κατειργάσω
ἐν ἡμῖν, ἀπὸ τοῦ ναοῦ σου ἐπὶ ἰλήμ. σοὶ οἴσουσι βασιλεῖς
δῶρα. ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου. ἡ συναγω
γὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν. τοῦ ἐγ-
κλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ. δια-
σκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα. ἥξουσι
πρέσβεις ἐξ αἰγύπτου. αἰθιοπία προφθάσει χεῖρα
αὐτῆς τῷ θῷ. αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ θῷ. ψάλ
λατε τῷ κῷ, τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κα
τὰ ἀνατολάς. ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυ-
νάμεως. δότε δόξαν τῷ θῷ. ἐπὶ τὸν ἰηλ ἡ μεγαλοπρέ
πεια αὐτοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις. θαυ
μαστὸς ὁ θς ἐν τοῖς ἁγίοις αὐτοῦ ὁ θς ἰηλ. αὐτὸς δώσει
δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ, εὐλογητὸς ὁ θς.

δόξα. καὶ νῦν. ἀλληλούια ἐκ γ΄.

Σῶσόν με ὁ θς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.
ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις.
ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς
κατεπόντισέ με. ἐκοπίασα κράζων. ἐβραγχίασεν
ὁ λάρυγξ μου. ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλ-
πίζειν με ἐπὶ τὸν θν μου. ἐπληθύνθησαν ὑπὲρ τὰς
τρίχας τῆς κεφαλῆς μου, οἱ μισοῦντές με δωρεάν. ἐκρα
ταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως.
ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον. ὁ θς σὺ ἔγνως

τὴν ἀφροσύνην μου. καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ
οὐκ ἀπεκρύβησαν. μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ, οἱ ὑπο-
μένοντές σε κύριε κύριε τῶν δυνάμεων, μὴ δὲ ἐντραπείησαν
ἐπ' ἐμὲ, οἱ ζητοῦντες σε ὁ θεὸς τοῦ ἰσραὴλ, ὅτι ἕνεκά σου ὑπή-
νεγκα ὀνειδισμόν. ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν
μου. ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ
ξένος τοῖς υἱοῖς τῆς μητρός μου. ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέ-
φαγέ με. καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε, ἐπέπεσον
ἐπ' ἐμέ. καὶ συνεκάλυψα ἐν νηστείᾳ, τὴν ψυχήν μου, καὶ
ἐγενήθην εἰς ὀνειδισμοὺς ἐμοί. καὶ ἔθηκα τὸ ἔνδυμά
μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. κατ'
ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ
ἔψαλλον οἱ πίνοντες οἶνον. ἐγὼ δὲ τῇ προσευχῇ μου
πρὸς σὲ κύριε, καιρὸς εὐδοκίας. ὁ θεὸς ἐν τῷ πλήθει τοῦ
ἐλέους σου, ἐπάκουσόν μου. ἐν ἀληθείᾳ τῆς σωτηρίας σου σῶ-
σόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. ῥυσθείην ἐκ τῶν μι-
σούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. μή με καταπον-
τισάτω καταιγὶς ὕδατος. μηδὲ καταπιέτω με βυθός.
μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. εἰσάκουσόν μου
κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου. κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν
σου ἐπίβλεψον ἐπ' ἐμέ. μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου,
ἀπὸ τοῦ παιδός σου· ὅτι θλίβομαι ταχὺ ἐπάκουσόν μου·
πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν· ἕνεκα τῶν ἐχ-
θρῶν μου ῥῦσαί με· σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ
τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου· ἐναντίον
σου πάντες οἱ θλίβοντές με· ὀνειδισμὸν προσεδό-
κησεν ἡ ψυχή μου καὶ ταλαιπωρείαν· καὶ ὑπέμεινα

συλλυπούμενον καὶ οὐχ ὑπῆρξε· καὶ παρακαλοῦντας καὶ οὐχ εὗρον· καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος· γενηθήτω ἡ τράπεζα αὐτῶν, ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον· ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς· γενηθήτω ἡ ἔπαυλις αὐτῶν, ἠρημωμένη· καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν, μὴ ἔστω ὁ κατοικῶν· ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν· καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου, προσέθηκαν· πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν· καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου· ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων· καὶ μετὰ δικαίων μὴ γραφήτωσαν· πτωχὸς καὶ ἀλγῶν εἰμὶ ἐγώ· ἡ σωτηρία σου ὁ θεὸς ἀντιλάβοιτό μου· αἰνέσω τὸ ὄνομα τοῦ θεοῦ μου μετ' ᾠδῆς· μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει· καὶ ἀρέσει τῷ θεῷ ὑπὲρ μόσχον νέον· κέρατα ἐκφέροντα καὶ ὁπλάς· ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν· ἐκζητήσατε τὸν θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν· ὅτι εἰσήκουσε τῶν πενήτων ὁ κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν· αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ· θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ· ὅτι ὁ θεὸς σώσει τὴν σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς ἰουδαίας· καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν, καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ:~

Digitized by Google

Ο θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι, οἱ λέγοντές μοι εὖγε εὖγε. ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντες σε ὁ θεός. καὶ λεγέτωσαν διαπαντός, μεγαλυνθήτω ὁ θεός, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, ὁ θεὸς βοήθησόν μοι. βοηθός μου καὶ ῥύστης μου εἶ σὺ κύριε, μὴ χρονίσῃς:~

Δόξα καὶ νῦν. καὶ εὐθὺς τὸ πιστεύω εἰς ἕνα θεόν. εἶτα τρισάγιον. παναγία τριάς. πάτερ ἡμῶν, καὶ τὰ τροπάρια ταῦτα. ἦχος β'.

Α κτίστε φύσις ἡ τῶν ὅλων δημιουργός. τὰ χείλη ἡμῶν ἄνοιξον, ὅπως ἀναγγέλωμεν τὴν αἴνεσίν σου βοῶντες. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός:~ δόξα.

Τας ἄνω δυνάμεις μιμούμενοι ἐπὶ γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι ἀγαθέ. ἅγιος:~ καὶ νῦν.

Τῆς κλίνης καὶ τοῦ ὕπνου ἐξεγείρας με κύριε, τὸν νοῦν μου φώτισον καὶ τὴν καρδίαν καὶ τὰ χείλη μου ἄνοιξον, εἰς τὸ ὑμνεῖν σε ἁγία τριάς. ἅγιος:~

Τὸ κύριε ἐλέησον μ'. ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρα. κύριε ἐλέησον γ'. δόξα καὶ νῦν, τὴν τιμιωτέραν. ἐν ὀνόματι κυρίου, εὐλόγησον πάτερ. ὁ ἱερεὺς ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς. δέσποτα θεὲ πάτερ. καὶ ἡ παροῦσα εὐχή, τοῦ ἁγίου εὐστρατίου, ἐν τοῖς κελλίοις:~

Digitized by Google

Μεγαλύνων μεγαλύνω σε κύριε, ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου. καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἀλλ' ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. καὶ νῦν δέσποτα, σκεπασάτω με ἡ χείρ σου. καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, ὅτι τετάρακται ἡ ψυχή μου καὶ κατώδυνός ἐστιν ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν ἐκ τοῦ ἀθλίου μου καὶ ῥυπαροῦ σώματος τούτου. μήποτε ἡ πονηρὰ τοῦ ἀντικειμένου βουλὴ συναντήσῃ αὐτῇ καὶ παρεμποδίσῃ ἐν σκότει, διὰ τὰς ἐν ἀγνοίᾳ καὶ γνώσει ἐν τῷ βίῳ τούτῳ γενομένας μοι ἁμαρτίας. ἵλεώς γενοῦ μοι δέσποτα, καὶ μὴ ἰδέτω ἡ ψυχή μου τὴν ζοφώδη ὄψιν τῶν πονηρῶν δαιμόνων. ἀλλὰ παραλαβέτωσαν αὐτὴν ἄγγελοί σου φαιδροὶ καὶ φωτεινοί. δὸς δόξαν τῷ ὀνόματί σου τῷ ἁγίῳ, καὶ τῇ σῇ δυνάμει ἀνάγαγέ με εἰς τὸ θεῖόν σου βῆμα. ἐν τῷ κρίνεσθαί με, μὴ καταλάβοιμε ἡ χεὶρ τοῦ ἄρχοντος τοῦ κόσμου τούτου, εἰς τὸ κατασπάσαι με τὸν ἁμαρτωλὸν εἰς βυθὸν ᾅδου. ἀλλὰ παράστηθί μοι, καὶ γενοῦ μοι σωτὴρ καὶ ἀντιλήπτωρ. αἱ γὰρ σωματικαὶ αὗται τιμωρίαι, εὐφρόσυναί εἰσι τοῖς δούλοις σου. ἐλέησον κύριε τὴν ῥυπωθεῖσαν τοῖς πάθεσι τοῦ βίου ψυχήν μου, καὶ καθαρὰν αὐτὴν διὰ μετανοίας καὶ ἐξομολογήσεως πρόσδεξαι. ὅτι εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

εἶτα, τὸ δεῦτε προσκυνήσωμεν γ'. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, τὸ ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον. δόξα καὶ νῦν. τρισάγιον, παναγία τριάς. τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. τροπάρια, μνήσθητι κύριε ὡς ἀγαθὸς. ὁ βάθει

σοφίας φιλάνθρωπος. δόξα, μετὰ τῶν ἁγίων ἀνάπαυσον χριστέ. καὶ νῦν, μακαρίζομέν σε πᾶσαι αἱ γενεαί. κύριε ἐλέησον, ιβ΄. μνήσθητι κύριε τῶν ἐπ᾽ ἐλπίδι, ἅπερ πάντα προεγράφησαν, εἰς τὸ ἕτερον μεσονυκτικόν. ἀπόλυσις παρὰ τοῦ ἱερέως, καὶ ἡ συγχώρησις.

Ἕτερον μεσονυκτικὸν ψαλλόμενον τῇ κυριακῇ, ἐὰν οὐ γίνεται ἀγρυπνία. μετὰ τὸν εὐλογητόν, τὸ βασιλεῦ οὐράνιε, τρισάγιον. παναγία τριάς. πάτερ ἡμῶν. κύριε ἐλέησον, ιβ΄. δόξα καὶ νῦν. δεῦτε προσκυνήσωμεν γ΄. ὁ ν΄. καὶ εὐθὺς ψάλλομεν τὸν τριαδικὸν κανόνα τοῦ ἐνεστῶτος ἤχου.
ὅταν δὲ φθάσωμεν εἰς τὴν θ΄ ᾠδὴν λέγομεν.

Αἰνοῦμεν εὐλογοῦμεν προσκυνοῦμεν τὸν κύριον.

Καὶ ψάλλομεν τὸν εἱρμὸν τῆς η΄ ᾠδῆς. καὶ εὐθὺς τὴν ἐνάτην. μετὰ δὲ τὸν κανόνα ψάλλομεν τὰ παρόντα μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. τοῦ δοξάζειν σε τὸν θεὸν λόγον. ὃν φρίσσει καὶ τρέμει τὰ χερουβίμ. καὶ δοξολογοῦσιν αἱ δυνάμεις τῶν οὐρανῶν. τὸν ἐξαναστάντα τριήμερον ἐκ τάφου. χριστὸν τὸν ζωοδότην φόβῳ δοξάσωμεν:~

Ὑμνήσωμεν πάντες θεοπρεπῶς. ᾄσμασιν ἐν θείοις. τὸν πατέρα καὶ τὸν υἱόν. καὶ τὸ πνεῦμα τὸ θεῖον τρισυπόστατον κράτος. τὴν μίαν βασιλείαν καὶ κυριότητα:~



Digitized by Google

Θ κεκρυμμένον ἰδοῦσα τὸν υἱόν. δέσποινα παρθένε. ἀ-
μαράντως θεοπρεπῶς. χαρᾶς ἀνεκφράστου. ἡ κτί-
σις ἐπληροῦτο. αὐτὸν δοξολογοῦσα, καὶ σὲ γεραίρουσα.

Τὴν τιμιωτέραν τῶν χερουβίμ. καὶ ἐνδοξοτέραν,
ἀσυγκρίτως τῶν σεραφίμ. τὴν ἀδιαφθόρως θεὸν λό-
γον τεκοῦσαν. τὴν ὄντως θεοτόκον, σὲ μεγαλύνομεν.
Εἶτα τρισάγιον, παναγία τριάς. πάτερ ἡμῶν καὶ
τὴν ὑπακοὴν τοῦ ἤχου. εἶτα ἐκτενὴ μικρὰ ὡς
καθ' ἑκάστην, καὶ ἀπόλυσις. καὶ γίνεται ἀνάγνω-
σις εἰς τὸν πραξαπόστολον.

Ἰστέον ὅτι ἐν τῷ ἁγίῳ ὄρει τοῦ ἄθω, μετὰ τὸ
τρισάγιον, καὶ μόνα ψάλλουσι τὴν τιμιωτέραν, δί-
χορον. εἶθ' οὕτω τρισάγιον παναγία τριάς. πάτερ
ἡμῶν. ὅτι σοῦ ἐστι. τὴν ὑπακοὴν τὸ κύριε ἐλέη-
σον μ'. δόξα καὶ νῦν τὴν τιμιωτέραν, ὁ θεὸς οἰκ-
τειρήσαι ἡμᾶς, δόξα καὶ νῦν. ἀπόλυσις καὶ ἡ συγ-
χώρησις. Τέλος τῶν μεσονυκτικῶν.

Ἀρχὴ σὺν θεῷ τοῦ ὄρθρου. μετὰ τὸν εὐλογητόν. τρισά-
γιον κύριε ἐλέησον, ιβ'. δεῦτε προσκυνήσωμεν,
γ'. καὶ τοὺς β' ψαλμούς. εἰδ' οὖν, μετὰ τὸ εὐλογητόν,
δεῦτε προσκυνήσωμεν γ'. καὶ τοὺς ψαλμούς. οὗτοι
οἱ ψαλμοὶ λέγονται ἐν τοῖς μοναστηρίοις διὰ τὸ ἄρ-
χειν θυμιᾶσαι τὸν ἱερέα τοὺς ἀδελφοὺς πάντας:~

Ἐπακούσαι σου κύριος, ἐν ἡμέρᾳ θλίψεως. ὑπερα-
σπίσαι σου τὸ ὄνομα τοῦ θεοῦ Ἰακώβ. ἐξαποστείλαι
σοι βοήθειαν ἐξ ἁγίου. καὶ ἐκ σιὼν ἀντιλάβοιτό σου.
μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πια-



Digitized by Google

ματω. δώησοι κύριος κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι. ἀγαλλιασώμεθα ἐπὶ τῷ σωτηρίῳ σου καὶ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου. νῦν ἔγνων ὅτι ἔσωσε κύριος τὸν χριστὸν αὐτοῦ· ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ. ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ. οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις· ἡμεῖς δὲ, ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν ἐπικαλεσώμεθα. αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον. ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν. κύριε σῶσον τὸν βασιλέα καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε :~

Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ, ἔδωκας αὐτῷ. καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ, οὐκ ἐστέρησας αὐτόν. ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος· ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, στέφανον ἐκ λίθου τιμίου. ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος. μεγάλη ἡ δόξα αὐτοῦ, ἐν τῷ σωτηρίῳ σου. δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν. ὅτι δώης αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος. εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου. ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ κύριον. καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου, οὐ μὴ σαλευθῇ. εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου. ἡ δεξιά σου, εὕροι πάντας τοὺς μισοῦντάς σε, ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς, εἰς καιρὸν τοῦ προσώπου σου. κύριος ἐν ὀργῇ αὐτοῦ, συνταράξει αὐτούς. καὶ καταφάγεται αὐτοὺς πῦρ. τὸν καρ

τὸν αὐτῶν, ἀπὸ τῆς γῆς ἀπολεῖς. καὶ τὸ σπέρμα αὐτῶν, ἀπὸ υἱῶν ἀνθρώπων, ὅτι ἔκλιναν εἰς σὲ κακά. διελογίσαντο βουλάς, αἷς οὐ μὴ δύνωνται στῆναι. ὅτι θήσεις αὐτοὺς νῶτον ἐν τοῖς περιλοίποις σου. ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν. ὑψώθητι κύριε ἐν τῇ δυνάμει σου. ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου :~

Δόξα, καὶ νῦν, εἶτα, τρισάγιον. παναγία τριάς. τὸ πάτερ ἡμῶν, ὅτι σοῦ, καὶ τὰ τροπάρια ταῦτα.

Σῶσον κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος. καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ σταυροῦ σου πολίτευμα :~ δόξα.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι χριστὲ ὁ θεός. εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστῶς σε ὑμνοῦντας. νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων. τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον :~ καὶ νῦν.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε. μὴ παρίδῃς ἀγαθὴ τὰς ἱκεσίας ἡμῶν, πανύμνητε θεοτόκε. στήριξον ὀρθοδόξων πολιτείαν. σῶζε οὓς ἐκέλευσας βασιλεύειν. καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην. διότι ἔτεκες θεόν, μόνη εὐλογημένη. ὁ ἱερεύς.

Ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου. δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον :~

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν. ὁ δῆμος.

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις. ὁ λαός.



Digitized by Google

ἐν ὀνόματι κυρίου εὐλόγησον πάτερ. ὁ ἱερεύς.

Δόξα τῇ ἁγίᾳ. καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ τριάδι. πάντοτε νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

Καὶ λέγει ὁ ταχθεὶς ἀδελφὸς μετὰ εὐλαβείας καὶ φόβου θεοῦ.

Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία:~ ἐκ τρίτου.

Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου:~ ἐκ β'.

Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ. πολλοὶ λέγουσι τῇ ψυχῇ μου, οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ θεῷ αὐτοῦ. σὺ δὲ κύριε ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. φωνῇ μου πρὸς κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα. ἐξηγέρθην ὅτι κύριος ἀντιλήψεταί μου. οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι. ἀνάστα κύριε, σῶσόν με ὁ θεός μου ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως. ὀδόντας ἁμαρτωλῶν συνέτριψας. τοῦ κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου. ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην ὅτι κύριος ἀντιλήψεταί μου:~

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου, ἀπὸ προσώπου τῆς ὀργῆς σου. οὐκ ἔστιν εἰρή

μὴ ἐν τοῖς ὀστέοις μου, ἀπὸ προσώπου τῶν ἁμαρτιῶν
μου ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου
ὡσεὶ φορτίον βαρὺ, ἐβαρύνθησαν ἐπ' ἐμέ. προσώζε-
σαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς
ἀφροσύνης μου. ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως
τέλους. ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευό-
μην. ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ
ἔστιν ἴασις ἐν τῇ σαρκί μου. ἐκακώθην καὶ ἐταπεινώθην
ἕως σφόδρα. ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.
κέ ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός
μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. ἡ καρδία μου ἐταράχθη.
ἐγκατέλιπέ με ἡ ἰσχύς μου. καὶ τὸ φῶς τῶν ὀφθαλ-
μῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. οἱ φίλοι μου καὶ οἱ
πλησίον μου, ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν. καὶ
οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν. καὶ ἐξεβιάζοντο
οἱ ζητοῦντες τὴν ψυχήν μου. καὶ οἱ ζητοῦντες τὰ
κακά μοι, ἐλάλησαν ματαιότητας, καὶ δολιότητας
ὅλην τὴν ἡμέραν ἐμελέτησαν. ἐγὼ δὲ ὡσεὶ κωφὸς
οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα
αὐτοῦ, καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων,
καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμοὺς, ὅτι ἐπὶ σοὶ κέ
ἤλπισα. σὺ εἰσακούσῃ κέ ὁ θεός μου. ὅτι εἶπον μήποτε
ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι
πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν. ὅτι ἐγὼ εἰς
μάστιγας ἕτοιμος. καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου διὰ
παντός. ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ
μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. οἱ δὲ ἐχθροί μου
ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ. καὶ ἐπληθύνθησαν



Digitized by Google

οἱ μισοῦντές με ἀδίκως. οἱ ἀνταποδιδόντές μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με. ἐπεὶ κατεδίωκον ἀγαθωσύνην, μὴ ἐγκαταλίπῃς με κύριε ὁ θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ. πρόσχες εἰς τὴν βοήθειάν μου, κύριε τῆς σωτηρίας μου.

Πάλιν. μὴ ἐγκαταλίπῃς με κύριε ὁ θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ. πρόσχες εἰς τὴν βοήθειάν μου, κύριε τῆς σωτηρίας μου :~

Ὁ θεὸς ὁ θεός μου πρὸς σὲ ὀρθρίζω. ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου. ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου, ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς. τὰ χείλη μου, ἐπαινέσουσί σε. οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου, ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. ὅτι ἐγενήθης βοηθός μου. καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου. εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς. παραδοθήσονται εἰς χεῖρας ῥομφαίας. μερίδες ἀλωπέκων ἔσονται. ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ θεῷ. ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα. [illegible] ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. ἐκολλήθη ἡ ψυχή μου

ὀπίσω σου· ἐμοῦ δὲ, ἀντελάβετο ἡ δεξιά σου:-

Δόξα καὶ νῦν. ἀλληλούια γ΄. ἀνθ᾽ ὧν μετανοιῶν, καὶ ἐξέρ-
χεται ὁ ἱερεὺς ἐκ τοῦ βήματος, καὶ λέγει τὰς ἑωθινὰς
εὐχὰς ἔμπροσθεν τῆς εἰκόνος τοῦ χριστοῦ μυστικῶς.

Κύριε ὁ θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν
νυκτὶ ἐναντίον σου. εἰσελθέτω ἐνώπιόν σου ἡ προ-
σευχή μου. κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου. ὅτι ἐ-
πλήσθη κακῶν ἡ ψυχή μου. καὶ ἡ ζωή μου, τῷ ᾅδῃ ἤγγι-
σε. προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς
λάκκον. ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν
νεκροῖς ἐλεύθερος. ὡσεὶ τραυματίαι καθεύδοντες
ἐν τάφῳ ὧν οὐκ ἐμμνήσθης ἔτι. καὶ αὐτοὶ ἐκ τῆς χει-
ρός σου ἀπώσθησαν. ἔθεντό με ἐν λάκκῳ κατωτά-
τῳ. ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου. ἐπ᾽ ἐμὲ ἐπε-
στηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐ-
πήγαγες ἐπ᾽ ἐμέ. ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾽ ἐμοῦ.
ἔθεντό με βδέλυγμα ἑαυτοῖς. παρεδόθην καὶ οὐκ
ἐξεπορευόμην. οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτω-
χείας. κε ἐκέκραξα πρὸς σὲ κε ὅλην τὴν ἡμέραν διε-
πέτασα πρὸς σὲ τὰς χεῖράς μου. μὴ τοῖς νεκροῖς ποιή-
σεις θαυμάσια, ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογή-
σονταί σοι; μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου
καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; μὴ γνωσθήσεται
ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου
ἐν γῇ ἐπιλελησμένῃ; κἀγὼ πρὸς σὲ κύριε ἐκέκρα-
ξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε. ἱνα-
τί κε ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρό-
σωπόν σου ἀπ᾽ ἐμοῦ. πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ



Digitized by Google

νεότητός μου. ὑψωθεὶς δὲ, ἐταπεινώθην καὶ ἐξηπο
ρήθην, ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου. οἱ φοβερισμοί
σου ἐξετάραξάν με, ἐκύκλωσάν με ὡσεὶ ὕδωρ. ὅλην
τὴν ἡμέραν περιέσχον με ἅμα. ἐμάκρυνας ἀπ' ἐμοῦ
φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ τα-
λαιπωρίας. Δι. κύριε ὁ θεὸς τῆς σωτηρίας μου
ἡμέρας ἐκέκραξα. καὶ ἐν νυκτὶ ἐναντίον σου, εἰσελ-
θέτω ἐνώπιόν σου ἡ προσευχή μου κλῖνον τὸ οὖς
σου εἰς τὴν δέησίν μου:~

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα τὰ ἐν-
τός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλόγει ἡ ψυ
χή μου τὸν κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας
τὰς ἀνταποδόσεις αὐτοῦ. Τὸν εὐιλατεύοντα πά-
σας τὰς ἀνομίας σου. τὸν ἰώμενον πάσας τὰς νόσους
σου. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου.
τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Τὸν
ἐμπιπλῶντα, ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου. ἀνα
καινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεη-
μοσύνας ὁ κύριος καὶ κρίμα πᾶσι τοῖς ἀδικουμέ-
νοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ τοῖς
υἱοῖς ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεή
μων ὁ κς. μακρόθυμος καὶ πολυέλεος. οὐκ εἰς
τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. Οὐ
κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ
τὰς ἁμαρτίας ἡμῶν, ἀνταπέδωκεν ἡμῖν. Ὅτι κατὰ
τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε κύ-
ριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Digitized by Google

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμά-
κρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκ-
τείρει πατὴρ υἱούς, ᾠκτείρησε κύριος τοὺς φοβου-
μένους αὐτόν. ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνή-
σθη ὅτι χοῦς ἐσμέν. Ἄνθρωπος ὡσεὶ χόρτος, αἱ ἡμέραι αὐ-
τοῦ. ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα
διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσε-
ται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ κυρίου, ἀπὸ τοῦ
αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐ-
τόν. Καὶ ἡ δικαιοσύνη αὐτοῦ, ἐπὶ υἱοῖς υἱῶν τοῖς φυ-
λάσσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντο-
λῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμα-
σε τὸν θρόνον αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ πάντων
δεσπόζει. Εὐλογεῖτε τὸν κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ.
δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι
τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν κύριον πᾶσαι
αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ· ποιοῦντες τὸ θέ-
λημα αὐτοῦ. Εὐλογεῖτε τὸν κύριον πάντα τὰ ἔργα αὐτοῦ·
ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει ἡ ψυχή
μου τὸν κύριον. Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ,
εὐλόγει ἡ ψυχή μου τὸν κύριον :~

Κύριε εἰσάκουσόν μου τῆς προσευχῆς μου· ἐνώτισαι
τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου
ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ
δούλου σου· ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου. ἐταπείνω-
σεν εἰς γῆν τὴν ζωήν μου. ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς
νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου. ἐν ἐμοὶ

Digitized by Google

ἐταράχθη ἡ καρδία μου. ἐμνήσθην ἡμερῶν ἀρχαίων.
ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου. ἐν ποιήμασι τῶν χει-
ρῶν σου ἐμελέτων. διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.
ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. ταχὺ εἰσάκουσόν μου κύριε,
ἐξέλιπε τὸ πνεῦμά μου. μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου
ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκ-
κον. ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ
σοὶ ἤλπισα. γνώρισόν μοι κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι
πρὸς σὲ ἦρα τὴν ψυχήν μου, ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν
μου. κύριε πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέ-
λημά σου. ὅτι σὺ ὁ θεός μου. τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγή-
σει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός σου κύριε, ζήσεις
με. ἐν τῇ δικαιοσύνῃ σου, ἐξάξεις ἐκ θλίψεως τὴν ψυ-
χήν μου. καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχ-
θρούς μου. καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν
ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί. δίς. εἰσάκουσόν
μου κύριε ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν
μετὰ τοῦ δούλου σου. εἰσάκουσόν μου κύριε ἐν τῇ δικαιοσύ-
νῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου,
τὸ πνεῦμά σου τὸ ἀγαθὸν, ὁδηγήσει με ἐν γῇ εὐθείᾳ :~

Δόξα καὶ νῦν. ἀλληλούϊα γ'. εἶτα ψάλλεται τὸ θεὸς
κύριος, κατὰ τὸν ἦχον τοῦ τροπαρίου τοῦ κατὰ τὴν ἡ-
μέραν ἁγίου. στίχος α'. ἐξομολογεῖσθε τῷ κυρίῳ, καὶ ἐπι-
καλεῖσθε τὸ ὄνομα αὐτοῦ. στίχος β'. καὶ τῷ ὀνόματι κυ-
ρίου ἠμυνάμην αὐτούς. στίχος γ'. παρὰ κυρίου ἐ-
γένετο αὕτη, καὶ ἔστι θαυμαστή :~

Ψάλλεται δὲ τοῦτο, ἤγουν τὸ θεὸς κύριος, δ'. εἶτα λέγεται

τὸ ἀπολυτίκιον τοῦ ἤχου, ἢ τοῦ τυχόντος ἁγίου, καὶ θ', εἰς
τὸν αὐτὸν ἦχον, ψαλλομένου δὲ τοῦ θεὸς κύριος, ἀ-
πέρχεται ὁ κανονάρχης καὶ ἵσταται εἰς τὸ μέσον τοῦ ναοῦ
ἀσκεπής, καὶ λέγει ἡσύχως τοὺς ἄνω γεγραμμέ-
νους στίχους. ἵσταται δ' ἐκεῖσε μέχρις ἂν ἄρξωνται οἱ
ψάλται τοῦ θ'. εἶτα προσκυνεῖ κατόπιν αὐτοῦ. καὶ
στραφεὶς, προσκυνεῖ τοὺς χορούς, καὶ ἀπέρχεται. οὕ-
τω ποιεῖ καὶ ὅταν ὑπάρχῃ ἀλληλούϊα. καὶ εἰς καθ'
ἕνα στίχον μετάνοιαν μίαν ἕως γῆς. εἰ δὲ ἐστὶ νηστεία,
ψάλλομεν τὸ ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα κατὰ τὸν ἦ-
χον. στίχος, α'. ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς
σὲ ὁ θεός. στίχος, β'. δικαιοσύνην μάθετε οἱ ἐνοικοῦν-
τες ἐπὶ τῆς γῆς. στίχος, γ'. ζῆλος λήψεται λαὸν
ἀπαίδευτον. στίχος, δ'. πρόσθες αὐτοῖς κακὰ κύριε
πρόσθες αὐτοῖς κακά. καὶ μετὰ τὸ ἀλληλούϊα
ψάλλομεν τὰ τριαδικὰ τοῦ ἤχου καθ' ἓν ἅπαξ.

## Ὕμνοι τριαδικοί. ἦχος, α'.

Σωματικαῖς μορφώσεσι τῶν ἀσωμάτων δυνάμεων,
πρὸς νοερὰν καὶ ἄϋλον ἀναγόμενοι ἔννοιαν, καὶ τρι-
σαγίῳ μελωδήματι τρισυποστάτου θεότητος δεχό-
μενοι ἔλλαμψιν. χερουβικῶς βοήσωμεν. ἅγιος,
ἅγιος, ἅγιος εἶ ὁ θεός, διὰ τῆς θεοτόκου :~ δόξα.

Μετὰ πασῶν τῶν οὐρανίων δυνάμεων, χερουβικῶς
τῷ ἐν ὑψίστοις βοήσωμεν, τὸν τρισάγιον ἀναμέλ-
ποντες αἶνον. ἅγιος, ἅγιος, ἅγιος. καὶ νῦν.

Ἐξεγερθέντες τοῦ ὕπνου. προσπίπτομέν σοι ἀγαθὲ, καὶ

Digitized by Google

τῶν ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι δυνατέ, ἅγιος.

ὕμνοι τριαδικοί. ἦχος, β΄.

Ἄκτιστε φύσις, ἡ τῶν ὅλων δημιουργός, τὰ χείλη ἡμῶν ἄνοιξον, ὅπως ἀναγγέλωμεν τὴν αἴνεσίν σου βοῶντες. ἅγιος, ἅγιος, ἅγιος. δόξα.

Τὰς ἄνω δυνάμεις μιμούμενοι οἱ ἐπὶ γῆς. ἐπινίκιον ὕμνον προσφέρομέν σοι ἀγαθέ, ἅγιος. καὶ νῦν.

Τῆς κλίνης καὶ τοῦ ὕπνου ἐξεγείρας με κύριε, τὸν νοῦν μου φώτισον καὶ τὴν καρδίαν. καὶ τὰ χείλη μου ἄνοιξον, εἰς τὸ ὑμνεῖν σε ἁγία τριάς. ἅγιος.

ὕμνοι τριαδικοί. ἦχος, γ΄.

Πατέρα ἄναρχον. υἱὸν συνάναρχον. πνεῦμα συναΐδιον. θεότητα μίαν. χερουβικῶς δοξάσωμεν. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός. δόξα.

Τριὰς ὁμοούσιε καὶ ἀδιαίρετε. μονὰς τρισυπόστατε καὶ συναΐδιε, σοὶ ὡς θεῷ τῶν ἀγγέλων τὸν ὕμνον κραυγάζομεν. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός :~ καὶ νῦν.

Ἀθρόον ὁ κριτὴς ἐπελεύσεται, καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται. ἀλλὰ φόβῳ κράξωμεν ἐν τῷ μέσῳ τῆς νυκτός. ἅγιος. ὕμνοι τριαδικοί, ἦχος, δ΄.

Τὸν ἄναρχόν σου πατέρα καὶ σὲ χριστὲ ὁ θεός. καὶ τὸ πανάγιόν σου πνεῦμα. χερουβικῶς δοξολογεῖν τολμῶντες λέγομεν. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός. διὰ τῆς θεοτόκου. δόξα.

Ὡς αἱ τάξεις νῦν τῶν ἀγγέλων ἐν οὐρανῷ. καὶ στάσεις φόβῳ ἀνθρώπων ἐπὶ τῆς γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι ἀγαθέ. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός. καὶ νῦν.

Τῶν νοερῶν σου λειτουργῶν προσφέρειν οἱ θνητοί,

Digitized by Google

τὸν ὕμνον τολμῶντες λέγομεν· ἅγιος, ἅγιος, ἅγιος.

ὕμνοι τριαδικοί. ἦχος πλ. α.

Ὑμνῳδίας ὁ καιρὸς, καὶ δεήσεως ὥρα, ἐκτενῶς βοῶμεν σοὶ τῷ μόνῳ θεῷ, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός. δόξα.

Εἰκονίζειν τολμῶντες, τὰ νοερά σου στρατεύματα. Τριὰς ἄναρχε, στόμασιν ἀναξίοις βοῶμέν σοι, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός:~ καὶ νῦν.

Ὁ ἐν μήτρᾳ παρθενικῇ χωρηθεὶς, καὶ τῶν κόλπων τοῦ πρς μὴ χωρισθεὶς, σὺν ἀγγέλοις καὶ ἡμᾶς πρόσδεξαι χε ὁ θς βοῶντάς σοι, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός:~ ὕμνοι τριαδικοί. ἦχος πλ. β.

Ἀσωμάτοις στόμασιν. ἀσιγήτοις δοξολογίαις, τὰ ἑξαπτέρυγα ᾄδουσί σοι τὸν τρισάγιον ὕμνον ὁ θεὸς ἡμῶν. καὶ ἡμεῖς οἱ ἐπὶ γῆς, ἀναξίοις χείλεσιν αἶνον ἀναπέμπομεν. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεός:~ δόξα.

Παριστάμενα φόβῳ τὰ χερουβίμ· ἐξιστάμενα τρόμῳ τὰ σεραφίμ· τὸν τρισάγιον ὕμνον προσφέρει ἀσιγήτῳ φωνῇ· μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός:~ καὶ νῦν.

Τριαδικῆς μονάδος θεότητα, ἀσυγχύτῳ ἑνώσει δοξάσωμεν, καὶ τὸν ἀγγέλων τὸν ὕμνον βοήσωμεν· ἅγιος, ἅγιος, ἅγιος. ὕμνοι τριαδικοί. ἦχος βαρύς.

Ὁ ὑψίστῳ δυνάμει χερουβικῶς ἀνυμνούμενος, καὶ θεϊκῇ τῇ δόξῃ ἀγγελικῶς προσκυνούμενος, πρόσδεξαι καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς, ἀναξίως τολμῶντας κραυγάζειν σοι. ἅγιος, ἅγιος, ἅγιος. καὶ νῦν.

Τῇ ἀπροσίτῳ θεότητι, τῇ ἐν μονάδι τριάδι τῶν σεραφίμ, τὸν τρισάγιον ἀναπέμποντες αἶνον μετὰ φόβου

Βοήσωμεν. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός:~ δόξα.

Ὡς ὕπνον τὸν ὄκνον ἀποθέμενοι ψυχή, διόρθωσιν πρὸς ἔγερσιν δεῖξον τῷ κριτῇ. καὶ ἐν φόβῳ βόησον. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός:~

ὕμνοι τριαδικοί. ἦχος, πλ δ'.

Ὁρᾶν σε μὴ τολμῶντα τὰ χερουβίμ, ἱπτάμενα κραυγάζει ἀλαλαγμῷ, καὶ ἔνθεον μέλος τῆς τρισαγίας φωνῆς. μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός:~ δόξα.

Εἰς νοερὸν τὰς καρδίας ἔχοντες, ἀγγελικὴν μιμησώμεθα τάξιν. καὶ ἐν φόβῳ τῷ ἀδεκάστῳ προσπέσωμεν, ἐπινίκιον ἀνακράζοντες ὕμνον. ἅγιος. ἅγιος.

Καταπλαγέντες τῷ πλήθει τῶν πταισμάτων ἡμῶν, καὶ μὴ τολμῶντες ἀτενίσαι τῷ ὕψει σου, τὴν ψυχὴν σὺν τῷ σώματι κλίναντες, μετὰ ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός. διὰ τῆς.

τέλος τῶν τριαδικῶν ὕμνων.

Εἶτα, ἡ στιχολογία τοῦ ψαλτηρίου καὶ τὰ καθίσματα, εἰς τὴν τάξιν αὐτῶν. καὶ μετὰ τούτων λέγομεν τὸν πεντηκοστὸν ψαλμόν. εἶτα [illegible] ᾠδήν. Χρὴ εἰδέναι [illegible] ἅγιοι, οὐ στιχολογοῦμεν [illegible] ᾠδὰς ἀλλ' [illegible] μεν [illegible] καὶ λέγομεν [illegible] ἀμώμου [illegible] εἰ δὲ δεσποτικὴ ἑορτή, μετὰ [illegible] τὴν ᾠδὴν, [illegible] λέγομεν [illegible] καὶ ψάλλομεν στίχους, ιβ'. [illegible] εἰς ιδ'. στίχους ὀφείλεις ψάλλειν, ἄρξου τῆς

στιχολογίας, οὕτως. τῷ κυρίῳ ᾄσωμεν ἐνδόξως γὰρ δεδόξασται :~

ᾠδὴ πρώτη.

Ἄρδην βυθίσας Φαραὼ Μωσῆς λέγει.

τῷ κυρίῳ ᾄσωμεν ἐνδόξως γὰρ δεδόξασται.

Ἄσωμεν τῷ κυρίῳ ἐνδόξως γὰρ δεδόξασται. ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν. οὗτός μου θεὸς καὶ δοξάσω αὐτόν, θεὸς τοῦ πατρός μου καὶ ὑψώσω αὐτόν. Κύριος συντρίβων πολέμους, κύριος ὄνομα αὐτῷ. ἅρματα φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν. ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ. Πόντῳ ἐκάλυψεν αὐτούς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος. Ἡ δεξιά σου κύριε δεδόξασται ἐν ἰσχύϊ. ἡ δεξιά σου χεὶρ κύριε ἔθραυσεν ἐχθρούς. καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. Ἀπέστειλας τὴν ὀργήν σου. κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην. καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ. ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα. ἐπάγη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης. Εἶπεν ὁ ἐχθρὸς διώξας καταλήψομαι. μεριῶ σκῦλα. ἐμπλήσω ψυχήν μου. ἀνελῶ τῇ μαχαίρᾳ μου. κυριεύσει ἡ χείρ μου. Ἀπέστειλας τὸ πνεῦμά σου. ἐκάλυψεν αὐτοὺς θάλασσα. ἔδυσαν ὡσεὶ μόλιβδος ἐν ὕδατι σφοδρῷ. Τίς ὅμοιός σοι ἐν θεοῖς κύριε, τίς ὅμοιός σοι. δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς, ἐνδόξως ποιῶν τέρατα. Ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ. ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον ὃν ἐλυτρώσω. Παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἅγιόν σου, ἤκουσαν ἔθνη καὶ ὠργί-

Digitized by Google

σθησαν. ὠδῖνες ἔλαβον κατοικοῦντες φιλιστιείμ. εἰς κ'.

Τότε ἔσπευσαν ἡγεμόνες ἐδώμ, καὶ ἄρχοντες μωαβιτῶν, ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες χαναάν:~

Ἐπιπέσοι ἐπ᾽ αὐτοὺς φόβος καὶ τρόμος. μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν:~ εἰς ς'.

Ἕως ἂν παρέλθῃ ὁ λαός σου κύριε, ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος ὃν ἐκτήσω:~

Εἰσαγαγὼν καταφύτευσον αὐτούς, εἰς ὄρος κληρονομίας σου εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατειργάσω κύριε ἁγίασμα ὃ ἡτοίμασαν αἱ χεῖρές σου. εἰς δ'.

Κύριος βασιλεύων τῶν αἰώνων καὶ ἐπ᾽ αἰῶνα καὶ ἔτι, ὅτε εἰσῆλθεν ἵππος φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς θάλασσαν:~

Καὶ ἐπήγαγεν ἐπ᾽ αὐτοὺς κύριος τὸ ὕδωρ τῆς θαλάσσης. Οἱ δὲ υἱοὶ ἰσραήλ, ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης:~ δόξα καὶ νῦν. [illegible]

ᾠδὴ δευτέρα.

Ἰστέον ὅτι ἡ β' ᾠδή, οὐδέποτε [illegible] εἰ μὴ [illegible] τῇ μεγάλῃ [illegible], καὶ [illegible] [illegible] [illegible]. δόξα σοι ὁ θεὸς ἡμῶν δόξα σοι, [illegible]

Νόμου γραφέντος αὖθις, ᾠδὴ μωσέως.

ᾠδὴ μωσέως ἐν τῷ δευτερονομίῳ.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω. καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου. προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου. καταβήτω ὡς δρόσος τὰ ῥήματά μου,

ματά μου, ὡς ὄμβρος ἐπ' ἄγρωστιν καὶ ὡσεὶ νιφετὸς ἐπὶ
χόρτον. ὅτι τὸ ὄνομα κυρίου ἐκάλεσα. δότε μεγαλωσύνην
τῷ θεῷ ἡμῶν. θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ
ὁδοὶ αὐτοῦ κρίσεις. θεὸς πιστὸς καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐ-
τῷ, δίκαιος καὶ ὅσιος ὁ κύριος. ἡμάρτοσαν οὐκ αὐτῷ τέκνα
μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα κυρίῳ
ἀνταποδίδοτε; οὕτως λαὸς μωρὸς καὶ οὐχὶ σοφός. οὐκ
αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε, καὶ ἐποίησέ σε καὶ ἔπλα-
σέ σε; μνήσθητε ἡμέρας αἰῶνος. σύνετε δὴ ἔτη γενεᾶς
γενεῶν. ἐπερώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι, τοὺς
πρεσβυτέρους σου καὶ ἐροῦσί σοι. ὅτε διεμέριζεν ὁ ὕψιστος
ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ. ἔστησεν ὅρια ἐθνῶν
κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ, καὶ ἐγενήθη μερὶς κυρίου λαὸς
αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. αὐτάρ-
κησεν αὐτὸν ἐν τῇ ἐρήμῳ. ἐν δίψει καύματος ἐν ἀνύ-
δρῳ. ἐκύκλωσεν αὐτόν, καὶ ἐπαίδευσεν αὐτόν, καὶ διε-
φύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ. ὡς ἀετὸς σκε-
πάσαι νοσσιὰν ἑαυτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπό-
θησε. διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς, καὶ
ἀνέλαβον αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ. κύριος μό-
νος ἦγεν αὐτούς, καὶ οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλό-
τριος. ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς. ἐψώ-
μισεν αὐτούς, γεννήματα ἀγρῶν. ἐθήλασαν μέλι ἐκ
πέτρας, καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας. βούτυρον βοῶν
καὶ γάλα προβάτων μετὰ στέατος ἀρνῶν καὶ κριῶν.
υἱῶν ταύρων καὶ τράγων, μετὰ στέατος νεφρῶν πυροῦ.
καὶ αἷμα σταφυλῆς ἔπιον οἶνον. καὶ ἔφαγεν Ἰακὼβ
καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. ἐλι-



Digitized by Google

πάνθη. ἐπαχύνθη. ἐπλατύνθη, καὶ ἐγκατέλιπε θεὸν
τὸν ποιήσαντα αὐτόν, καὶ ἀπέστη ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ. παρώ
ξυνάν με ἐπ' ἀλλοτρίοις. ἐν βδελύγμασιν αὐτῶν, ἐξεπί
κρανάν με. ἔθυσαν δαιμονίοις, καὶ οὐ θεῷ. θεοῖς οἷς οὐκ
ᾔδεισαν. καινοὶ καὶ πρόσφατοι ἥκασιν, οἷς οὐκ ᾔδεισαν
οἱ πατέρες αὐτῶν. θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες,
καὶ ἐπελάθου θεοῦ τοῦ τρέφοντός σε, καὶ εἶδε κύριος καὶ ἐζήλω-
σε. καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτῶν καὶ θυγατέρων.
καὶ εἶπεν, ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ δεί-
ξω τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων, ὅτι γενεὰ ἐξεστραμμέ-
νη ἐστίν. υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς. αὐτοὶ παρεζή
λωσάν με ἐπ' οὐ θεῷ. παρώργισάν με ἐν τοῖς εἰδώλοις
αὐτῶν. κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει. ἐπὶ
ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς, ὅτι πῦρ ἐκκέκαυ
ται ἐκ τοῦ θυμοῦ μου. καυθήσεται ἕως ᾅδου κατωτάτου.
καταφάγεται γῆν, καὶ τὰ γεννήματα αὐτῆς, φλέξει
θεμέλια ὀρέων. συνάξω εἰς αὐτοὺς κακά, καὶ τὰ βέλη
μου συντελέσω εἰς αὐτούς. τηκόμενοι λιμῷ καὶ βρώσει
ὀρνέων, καὶ ὀπισθότονος ἀνίατος. ὀδόντας θηρείων ἐξα
ποστελῶ εἰς αὐτούς, μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς
γῆς. ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα. καὶ ἐκ τῶν
ταμείων φόβος. νεανίσκος σὺν παρθένῳ, θηλάζων
μετὰ καθεστηκότος πρεσβύτου. εἶπον διασπερῶ αὐ-
τούς. παύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν. εἰ μὴ δι'
ὀργὴν ἐχθρῶν, μὴ μακροχρονίσωσι, καὶ ἵνα μὴ συνεπι
θῶνται οἱ ὑπεναντίοι. μὴ εἴποισαν ἡ χεὶρ ἡμῶν ὑψηλὴ
καὶ οὐχὶ κύριος ἐποίησε ταῦτα πάντα. ὅτι ἔθνος ἀπολωλε-

Digitized by Google

κὸς βουλὴν ὄντι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη. οὐκ ἐφρό-
νησαν συνιέναι ταῦτα πάντα. καταδεξάσθωσαν εἰς
τὸν ἐπιόντα χρόνον. πῶς διώξεται εἷς χιλίους, καὶ δύο
μετακινήσουσι μυριάδας, εἰ μὴ ὁ θεὸς ἀπέδοτο αὐτοὺς,
καὶ ὁ κύριος παρέδωκεν αὐτούς. οὐ γάρ εἰσιν οἱ θεοὶ αὐτῶν
ὡς ὁ θεὸς ἡμῶν. οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι. ἐκ γὰρ ἀμ-
πέλου σοδόμων ἡ ἄμπελος αὐτῶν. καὶ ἡ κληματὶς αὐ-
τῶν, ἐκ γομόῤῥας. ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς.
βότρυς πικρίας αὐτῶν. θυμὸς δρακόντων, ὁ οἶνος αὐ-
τῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος. οὐκ ἰδοὺ ταῦτα πάν-
τα συνῆκται παρ' ἐμοὶ καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς
μου; ἐν ἡμέρα ἐκδικήσεως ἀνταποδώσω. ἐν καιρῷ
ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν, ὅτι ἐγγὺς ἡ ἡμέρα ἀπωλείας
αὐτῶν. καὶ πάρεστιν ἕτοιμα ὑμῖν, ὅτι κρινεῖ κύριος τὸν λαὸν
αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. εἶδε γὰρ
αὐτοὺς παραλελυμένους, καὶ ἐκλελοιπότας ἐν ἀπα-
γωγῇ, καὶ παρειμένους. καὶ εἶπε κύριος ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν.
ἐφ' οἷς ἐπεποίθεισαν ἐπ' αὐτοῖς. ὧν τὸ στέαρ τῶν θυσιῶν
αὐτῶν ἠσθίετε, καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν.
ἀναστήτωσαν, καὶ βοηθήτωσαν ἡμῖν. καὶ γενηθήτωσαν
ὑμῶν σκεπασταί. ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι
θεὸς πλὴν ἐμοῦ. ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω. πατά-
ξω, κἀγὼ ἰάσομαι. καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χει-
ρῶν μου, ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι
τῇ δεξιᾷ μου. καὶ ἐρῶ, ζῶ ἐγὼ εἰς τὸν αἰῶνα. ὅτι παρο-
ξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου. καὶ ἀνθέξεται
κρίματος ἡ χείρ μου. καὶ ἀνταποδώσω δίκην τοῖς ἐχ-
θροῖς, καὶ τοῖς μισοῦσί με ἀνταποδώσω. μεθύσω



Digitized by Google

τὰ βέλη μου ἀφ' αἵματος. καὶ ἡ μάχαιρά μου φάγεται
κρέα, ἀφ' αἵματος τραυματιῶν, καὶ αἰχμαλωσίας, ἀπὸ
κεφαλῆς ἀρχόντων ἐθνῶν. εὐφράνθητε οὐρανοὶ ἅμα αὐ-
τῷ, καὶ προσκυνησάτωσαν αὐτῷ, πάντες ἄγγελοι θεοῦ.
εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν
αὐτῷ πάντες υἱοὶ θεοῦ. ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται.
καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς.
καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει, καὶ ἐκκαθαριεῖ κύ-
ριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ:~

ᾠδὴ τρίτη.

Ἄννης τῆς μητρὸς Σαμουὴλ τοῦ προφήτου.

θεὸν γεραίρει στεῖρα τίκτουσα ξένως.

ἅγιος εἶ κύριε, καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ, ὑψώθη κέρας μου
ἐν θεῷ μου. ἐπλατύνθη στόμα μου ἐπ' ἐχθρούς μου. ηὐ-
φράνθην ἐν σωτηρίᾳ σου. Ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ κύριος, καὶ
οὐκ ἔστι δίκαιος ὡς ὁ θεὸς ἡμῶν. καὶ οὐκ ἔστιν ἅγιος πλὴν
σοῦ. Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπερο-
χήν, μηδὲ ἐξελθέτω μεγαλορρημοσύνη ἐκ τοῦ στόμα-
τος ὑμῶν. Ὅτι θεὸς γνώσεων κύριος, καὶ θεὸς ἑτοιμάζων
ἐπιτηδεύματα αὐτοῦ. Τόξον δυνατῶν ἠσθένησε. καὶ οἱ
ἀσθενοῦντες περιεζώσαντο δύναμιν. Πλήρεις ἄρτων
ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆκαν γῆν. Ὅτι στεῖ-
ρα ἔτεκεν ἑπτά. καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε.
Κύριος θανατοῖ καὶ ζωογονεῖ. κατάγει εἰς ᾅδου καὶ ἀνάγει.
Κύριος πτωχίζει καὶ πλουτίζει. ταπεινοῖ καὶ ἀνυψοῖ. ἀνι-
στᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτω-
χόν. Τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ. καὶ θρό-

Digitized by Google

μου δόξης κατακληρονομῶν αὐτόν. εἰς ε'.
Διδοὺς εὐχὴν τῷ εὐχομένῳ καὶ εὐλόγησεν ἔτη δι-
καίου. ὅτι οὐκ ἐν ἰσχύϊ δυνατὸς ἀνὴρ ἐν τῇ ἰσχύϊ αὐτοῦ.
Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ. κύ-
ριος ἅγιος :~ εἰς ς'.
Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυ-
χάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχά-
σθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ :~
Ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ
συνιεῖν καὶ γινώσκειν τὸν κύριον, καὶ ποιεῖν κρίμα καὶ
δικαιοσύνην ἐν μέσῳ τῆς γῆς :~ εἰς δ'.
Κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν. αὐτὸς κρινεῖ
ἄκρα γῆς. δίκαιος ὤν. Καὶ δώσει ἰσχὺν τοῖς βασι-
λεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας χριστοῦ αὐτοῦ. δόξα καὶ νῦν.

ᾠδὴ τετάρτη.

Τὴν τοῦ λόγου κένωσιν Ἀββακοὺμ φράζει.

Δόξα τῇ δυνάμει σου κύριε.

Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην. κα-
τενόησα τὰ ἔργα σου καὶ ἐξέστην. Ἐν μέσῳ δύο
ζώων γνωσθήσῃ. ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ.
ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. Ἐν τῷ ταρα-
χθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ.
Ὁ θεὸς ἀπὸ θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου
δασέος. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως
αὐτοῦ πλήρης ἡ γῆ. καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται, κέρατα
ἐν χερσὶν αὐτοῦ. καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐ-
τοῦ. πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος. καὶ ἐξελεύ-
σεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ. ἔστη καὶ ἐσαλεύθη



Digitized by Google

ἡ γῆ. ἐπέβλεψε καὶ ἐτάκη ἔθνη. διεθρίβη τὰ ὄρη βίᾳ. ἐτάκησαν βουνοὶ αἰώνιοι. πορείας αἰωνίους αὐτοῦ ἀντὶ κόπων εἶδον. σκηνώματα αἰθιόπων πτοηθήσονται, καὶ σκηναὶ γῆς Μαδιάμ. μὴ ἐν ποταμοῖς ὀργισθῆς κύριε. ἢ ἐν ποταμοῖς ὁ θυμός σου. ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου, ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου, σωτηρία. ἐντείνων ἐντενεῖς τὸ τόξον σου, ἐπὶ σκῆπτρα λέγει κύριος. ποταμῶν ῥαγήσεται γῆ. ὄψονταί σε καὶ ὠδινήσουσι λαοί. σκορπίζων ὕδατα πορείας. ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς. ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς. εἰς φῶς βολίδες σου πορεύσονται. εἰς φέγγος ἀστραπῆς ὅπλων σου. ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ κατάξεις ἔθνη. ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας. ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον. ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος. Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν. σεισθήσονται ἐν αὐτοῖς, διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρα. Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά. ἐφυλαξάμην καὶ ἐπτοήθη ἡ καρδία μου ἀπὸ φωνῆς προσευχῆς χειλέων μου. Καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου.

Ἀναπαύσωμαι ἐν ἡμέρᾳ θλίψεώς μου. τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου:~ εἰς η.

Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις:~

Digitized by Google

Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν:~ εἰς ς΄.

Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις:~

Ἐγὼ δὲ ἐν τῷ κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου:~ εἰς δ΄.

Κύριος ὁ θεός μου δύναμίς μου· καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν:~

Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ:~ δόξα καὶ νῦν.

ᾠδὴ πέμπτη.

Ἡσαΐου πρόρρησις ὡς ἐπὶ τὸ πλέον.

Κύριε ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν,

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. πέπαυται γὰρ ὁ ἀσεβής, ὃς μὴ μάθῃ δικαιοσύνην, ἐπὶ τῆς γῆς ἀλήθειαν, οὐ μὴ ποιήσει. Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου. κύριε ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν. γνόντες δὲ αἰσχυνθήτωσαν. ζῆλος λήψεται λαὸν ἀπαίδευτον καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται. Κύριε ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν. πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κύριε ὁ θεὸς ἡμῶν κτῆσαι ἡμᾶς. κύριε ἐκτός σου ἄλλον οὐκ οἴδαμεν· τὸ ὄνομά σου ὀνομάζομεν. Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ, οὐ μὴ ἀναστήσουσι. Διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν:~ εἰς η΄.

Πρόσθες αὐτοῖς κακὰ κύριε, πρόσθες κακὰ, τοῖς



Digitized by Google

ἐνδόξοις τῆς γῆς:~

Κύριε ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν:~ εἰς ϛ.

Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐνέκραγεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου:~

Διὰ τὸν φόβον σου κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου ἐποιήσαμεν ἐπὶ τῆς γῆς:~

Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς:~ εἰς δ.

Ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ:~

Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς ἐστω, ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται:~

Βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμεῖόν σου. ἀπόκλεισον τὴν θύραν σου:~

Ἀποκρύβηθι μικρὸν ὅσον ὅσον. ἕως ἂν παρέλθῃ ἡ ὀργὴ κυρίου:~ δόξα καὶ νῦν

Δεῖ εἰδέναι πῶς στιχολογοῦνται αἱ ᾠδαὶ τοῦ ψαλτηρίου τῇ μεγάλῃ μ'. ἡ α' ᾠδή, τῇ β'. ἡ β'. τῇ γ'. ἡ γ'. τῇ δ'. ἡ δ', τῇ ε'. ἡ ε', τῇ παρασκευῇ. ἡ ϛ' καὶ ἡ ζ', τῷ σαββάτῳ. ἐν τῇ ϛ'. ᾠδῇ, οὐ στιχολογοῦμεν. ἀλλ' ὡσαύτως τὸν εἱρμὸν καὶ ἓν τῶν τροπαρίων, ἀνὰ στίχου. εἶτα ἀρχόμεθα τῆς ᾠδῆς, ἐκ θηρὸς ὡς τὸν προφήτην Ἰωνᾶν σῶσον ἡμᾶς κύριε:~ ᾠδὴ ἕκτη.

Ἐκ θηρὸς ἐκραύγασεν, Ἰωνᾶς λέγων.

προσευχὴ ἰωνᾶ τοῦ προφήτου.

Ἐβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν θεόν μου, καὶ εἰσήκουσέ μου. ἐκ κοιλίας ἅδου κραυγῆς μου, ἤκουσας φωνῆς μου. Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με. Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. κἀγὼ εἶπον, ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου. Ἆρα προσθήσω τοῦ ἐπιβλέψαί με πρὸς ναὸν τὸν ἅγιόν σου :~ εἰς η.

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη. ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων. κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι :~ εἰς ς.

Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σὲ κύριε ὁ θεός μου. ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ κυρίου ἐμνήσθην. καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸν τὸν ἅγιόν σου :~ εἰς δ.

Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατέλιπον, ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι. ὅσα ηὐξάμην, ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ κυρίῳ :~ δόξα καὶ νῦν.

ᾠδὴ ἑβδόμη.

Ἄγγελος φλόγα σβέννυσι τῶν τριῶν νέων.

προσευχὴ τῶν ἁγίων τριῶν παίδων. τῶν πατέρων ἡμῶν θεὸς εὐλογητὸς εἶ.

Εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν. καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου, Καὶ πᾶσαι αἱ κρί

Digitized by Google

σεις σου ἀληθεῖς. καὶ κρίματα ἀληθείας ἐποίησας, κατὰ πάντα ἃ ἐπήγαγες ἡμῖν. Καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ. ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν. ὅτι ἡμάρτωμεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ, καὶ ἐξημάρτωμεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν. οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται. καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, καὶ πάντα ὅσα ἐπήγαγες ἐν ἡμῖν, ἀληθινῇ κρίσει ἐποίησας. καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων, ἀποστατῶν. καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. καὶ νῦν, οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα. αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε. μὴ δὴ παραδώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου. καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου, οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. ὅτι δέσποτα ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας ἡμῶν. καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης, καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορά, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος. ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν, ὡς ἐν ὁλοκαυ-

τώμασι κριῶν καὶ ταύρων, ὡς ἐν μυριάσιν ἀρνῶν πιό-
νων. οὕτω γενέσθω ἡ θυσία ἡμῶν ὡς προσδεκτὸς ἐνώ-
πιόν σου σήμερον καὶ ἐκτελείσθω ὄπισθέν σου, ὅτι οὐκ
ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ. καὶ νῦν ἐξακολου-
θοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζη-
τοῦμεν τὸ πρόσωπόν σου, μὴ καταισχύνῃς ἡμᾶς. ἀλ-
λὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου. καὶ
κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἐξελοῦ ἡμᾶς κατὰ
τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου κύ-
ριε. καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς
δούλοις σου κακά. καὶ καταισχυνθείησαν ἀπὸ πάσης
δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη. καὶ γνώτω-
σαν ὅτι σὺ εἶ κύριος ὁ θεὸς μόνος, καὶ ἔνδοξος ἐφ' ὅλην
τὴν οἰκουμένην. καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐ-
τοὺς ὑπηρέται τοῦ βασιλέως, καίοντες τὴν κάμινον,
νάφθῃ, καὶ πίσσῃ, καὶ στυππίῳ, καὶ κληματίδι. καὶ
διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου, ἐπὶ πήχεις τεσ-
σεράκοντα ἐννέα, καὶ διώδευσε, καὶ ἐνεπύρισεν οὓς
εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων. ὁ δὲ ἄγγελος
κυρίου, συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν
κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς
καμίνου. καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου, ὡς πνεῦμα
δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου
τὸ πῦρ. οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτούς.
τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ηὐλόγουν,
καὶ ἐδόξαζον τὸν θεὸν ἐν τῇ καμίνῳ λέγοντες.
Δρόσῳ τῆς καμίνου, τῶν τριῶν αἶνος νέων. εἰς κ'.
Εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ ὑπερ-

ρύμνητος καὶ ὑπερυψούμενος, εἰς τοὺς αἰῶνας :~
καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου, τὸ ἅγιον, τὸ
ὑπερύμνητον καὶ ὑπερυψούμενον :~ εἰς ϛ´.
εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου ὁ ὑπε
ρύμνητος καὶ ὑπερυψούμενος :~
εὐλογημένος εἶ, ὁ βλέπων ἀβύσσους ὁ καθήμενος
ἐπὶ τῶν χερουβίμ. ὁ ὑπερύμνητος καὶ ὑπερυψού-
μενος :~ εἰς δ´.
εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου,
ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος :~
εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὁ ὑπερύμνη
τος καὶ ὑπερυψούμενος. δόξα καὶ νῦν.

ᾠδὴ ὀγδόη.

ὃν δεσπότην ὕμνησον, ἡ κτιστῶν φύσις.

ὸν κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦ-
τε, εἰς πάντας τοὺς αἰῶνας.
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ὑμνεῖτε, καὶ
ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. εὐλογεῖτε
ἄγγελοι κυρίου, οὐρανοὶ κυρίου τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦ
τε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε ὕδατα πάντα τὰ
ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ δυνάμεις κυρίου, τὸν κύριον ὑμνεῖ
τε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε
ἥλιος, καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ. τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυ
ψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε πᾶς ὄμβρος,
καὶ δρόσος. πάντα τὰ πνεύματα τὸν κύριον ὑμνεῖτε καὶ ὑπε
ρυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε πῦρ καὶ καῦ
μα ψῦχος καὶ καύσων, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυ-

Digitized by Google

οῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε δρόσοι, καὶ
νιφετοί, πάγοι καὶ ψύχος, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦ-
τε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πάχναι καὶ χιόνες,
ἀστραπαὶ καὶ νεφέλαι, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε φῶς καὶ σκότος, νύκ-
τες καὶ ἡμέραι. τὸν κύριον ὑμνεῖτε. καὶ ὑπερυψοῦτε αὐτὸν
εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε τὰ ὄρη καὶ βουνοὶ πάντα τὰ
φυόμενα ἐν αὐτῇ, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν
εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πηγαὶ θάλασσαι καὶ ποτα-
μοί. κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι τὸν κύριον
ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλο-
γεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία, καὶ πάντα τὰ
κτήνη, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας. Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραήλ, τὸν
κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
Εὐλογεῖτε ἱερεῖς κυρίου, δοῦλοι κυρίου, τὸν κύριον ὑμνεῖ-
τε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε
πνεύματα καὶ ψυχαὶ δικαίων ὅσιοι καὶ ταπεινοὶ τῇ
καρδίᾳ, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας. Εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαήλ, τὸν
κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐ-
λογεῖτε ἀπόστολοι, προφῆται καὶ μάρτυρες κυρίου, τὸν κύριον
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλο-
γοῦμεν πατέρα υἱὸν καὶ ἅγιον πνεῦμα. τὸν κύριον ὑμνεῖτε καὶ ὑπε-
ρυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας:~ και...

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν κύριον.

ᾠδὴ ἐννάτη.

ᾠδὴ τῆς θεοτόκου, ἐκ τοῦ κατὰ Λουκᾶν, ἁγίου [illegible]

Digitized by Google

Εἰς τὸν ὄρθρον.

Τὸν υἱὸν ὑμνεῖ καὶ θεὸν, μήτηρ κόρη.
τὴν θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον, καὶ ἠγαλλίασε τὸ
πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. Ὅτι ἐπέβλεψεν
ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. ἰδοὺ γὰρ ἀπὸ τοῦ
νῦν μακαριοῦσί με, πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι
μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. καὶ τὸ ἔλεος
αὐτοῦ εἰς γενεὰν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν. Ἐποίη-
σε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφά-
νους διανοίᾳ καρδίας αὐτῶν. Καθεῖλε δυνάστας
ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. πεινῶντας ἐνέ-
πλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.
Ἀντελάβετο ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους,
καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀ-
βραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος:~

Ὁ ζαχαρίας εὐλογεῖ παιδὸς τόκον.
προσευχὴ ζαχαρίου, τοῦ πρὸ τοῦ προδρόμου.

Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ ἰσραὴλ, ὅτι ἐπεσκέψατο, καὶ
ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. Καὶ ἤγειρε
κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς
αὐτοῦ. Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων
τῶν ἀπ᾽ αἰῶνος προφητῶν αὐτοῦ σωτηρίαν ἐξ ἐχθρῶν
ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς.
Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆ-
ναι διαθήκης ἁγίας αὐτοῦ:~ Εἰς η.
Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ
δοῦναι ἡμῖν ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυ-

σθέντας. Λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ
ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. εἰς ϛ΄.

Καὶ σὺ παιδίον, προφήτης ὑψίστου κληθήσῃ· προπο-
ρεύσῃ γὰρ πρὸ προσώπου κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρ-
τιῶν αὐτῶν. διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν. εἰς δ΄.

Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπι-
φᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις.

Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν, εἰς ὁδὸν εἰ-
ρήνης:~ δόξα καὶ νῦν.

Εἰ μὲν οὐκ ἔστι κυριακή, τό, ἄξιόν ἐστιν. εἰ δὲ ἔστι κυρια-
κή, μετὰ τὸν εἱρμόν, συναπτή, τό, ἅγιος κύριος ὁ θεὸς ἡμῶν, καὶ τὸ
ἑωθινὸν ἐξαποστειλάριον. εἰ δὲ ἔστι τεσσαρακοστή, λέγο-
μεν τὰ φωταγωγικά, εἰς τὸν τυχόντα ἦχον. εἰς γοῦν τὴν
συμπλήρωσιν τοῦ φωταγωγικοῦ λέγομεν οὕτως. τῇ μὲν β΄

Πρεσβείαις τῶν ἀσωμάτων καὶ σῶσόν με. τῇ δὲ τρίτῃ.

Πρεσβείαις κύριε τοῦ προδρόμου καὶ σῶσόν με:~

τῇ τετάρτῃ, καὶ τῇ παρασκευῇ.

Δυνάμει κύριε τοῦ σταυροῦ σου καὶ σῶσόν με:~ τῇ ε΄.

Πρεσβείαις κύριε τῶν ἀποστόλων, καὶ σῶσόν με:~

τῷ σαββάτῳ λέγομεν αὐτὸ δίς. ἐν μὲν τῷ α΄.

Πρεσβείαις κύριε τῶν ἁγίων καὶ σῶσόν με:~

ἐν δὲ τῷ δευτέρῳ.

Πρεσβείαις κύριε τῆς θεοτόκου καὶ σῶσόν με:~

καὶ τὰ φωταγωγικὰ ὁμοίως κατ᾽ ἦχον, ἐν γ΄.

Φωταγωγικά. ἦχος α΄.

Ὁ τὸ φῶς ἀνατέλλων κύριε, τὴν ψυχήν μου καθάρισον
ἀπὸ πάσης ἁμαρτίας. πρεσβείαις τῶν ἀσωμάτων καὶ

Digitized by Google

σῶσόν με :~ ἦχος β'.

Τὸ φῶς σου τὸ ἀΐδιον ἐξαπόστειλον κύριε, καὶ φώτισον τὰ ὄμματα τὰ κρυπτὰ τῆς καρδίας μου, πρεσβείαις τῶν ἀσωμάτων καὶ σῶσόν με:~ ἦχος γ'.

Ἐξαπόστειλον τὸ φῶς σου χριστὲ ὁ θεὸς, καὶ φώτισον τὴν καρδίαν μου, πρεσβείαις τῶν ἀσωμάτων, καὶ σῶσόν με. ἦχος δ'.

Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ σου, τὴν ἐν σκότει ψυχήν μου ὑπάρχουσαν, ἀπὸ πάσης ἁμαρτίας καθάρισον, πρεσβείαις τῶν ἀσωμάτων, καὶ σῶσόν με. ἦχος πλ. α'.

Φωτοδότα κύριε, ἐξαπόστειλον τὸ φῶς σου, καὶ φώτισον τὴν καρδίαν μου, πρεσβείαις τῶν ἀσωμάτων καὶ σῶσόν με:~ ἦχος πλ. β'.

Πρεσβείαις κύριε τῶν ἀσωμάτων, κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν, τὸ φῶς σου τὸ ἀΐδιον. ἦχος βαρύς.

Πρεσβείαις κύριε τῶν ἀσωμάτων. φῶς κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν, διὰ τὸ μέγα σου ἔλεος. ἦχος πλ. δ'.

Φῶς ὑπάρχων κύριε, φώτισόν με ἐν σοὶ, πρεσβείαις τῶν ἀσωμάτων καὶ σῶσόν με:~

Ἐξαποστειλάρια τῆς ὅλης ἑβδομάδος.

αὐτόμελον τῇ δευτέρᾳ.

Ὁ οὐρανὸν τοῖς ἄστροις κατακοσμήσας ὡς θεὸς, καὶ διὰ τῶν σῶν ἀγγέλων, πᾶσαν τὴν γῆν φωταγωγῶν δημιουργὲ τῶν ἁπάντων, τοὺς ἀνυμνοῦντάς σε σῶζε. ~

Ὁ γλυκασμὸς τῶν ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά.

χριστιανῶν

Digitized by Google

χριςιανῶν καὶ προςάτις. παρθένε μῆτερ θεοῦ. ἀμπλακεῖ βοῦ ἡμᾶς ῥῦσαι, τῶν αἰωνίων βασάνων :~ τῇ τρίτῃ

Τὸν πρόδρομον ἰωάννην καὶ βαπτιςὴν τοῦ σταυροῦ. τὸν ἐν προφήταις προφήτην, καὶ τῆς ἐρήμου τὸ θρέμμα. τῆς ἐλισάβετ τὸν γόνον, ἀνευφημήσωμεν πάντες. ὅτι

Ο γλυκασμὸς τῶν ἀγγέλων. ζήτει ἐν τῇ β΄.

τῇ τετάρτῃ καὶ τῇ παρασκευῇ.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης, σταυρὸς ἡ ὡραιότης τῆς ἐκκλησίας. σταυρὸς βασιλέων τὸ κραταίωμα. σταυρὸς πιστῶν τὸ στήριγμα. σταυρὸς ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα :~ σταυροθεοτοκίον.

Εν τῷ σταυρῷ παρεστῶσα, ἡ σὲ ἀσπόρως τεκοῦσα. καὶ θρηνῳδοῦσα ἐβόα. οἴμοι γλυκύτατον τέκνον. πῶς ἔδυς ἐξ ὀφθαλμῶν μου, πῶς ἐν νεκροῖς ἐλογίσθης :~

τῇ ε΄. γυναῖκες ἀκουτίσθητε.

Εἰς πᾶσαν τὴν ὑφ' ἥλιον, δραμόντες ἐκηρύξατε. τὴν τοῦ χριστοῦ ἐκ παρθένου, ἀγίαν σάρκωσιν ὅμπως. ἐκ πλάνης ἐπιστρέφοντες, τὰ ἔθνη καὶ φωτίζοντες. καὶ πάντας ἐκδιδάσκοντες, τριάδα σέβειν ἁγίαν, ἀπόστολοι τοῦ σωτῆρος :~ ὅμοιον.

Τὸν μέγαν ἀρχιποίμενα, καὶ ἱεράρχην ἅπαντες. τὸν πρόεδρον τῶν μυρέων, Νικόλαον εὐφημοῦμεν. πολλοὺς γὰρ ἄνδρας ἔσωσεν, ἀδίκως θνήσκειν μέλλοντας. καὶ βασιλεῖ ὀπτάνεται. σὺν ἀβλαβίῳ κατ' ὄναρ, λύων τὴν ἄδικον ψῆφον :~ θεοτοκίον.

Η θεία καθαρώτατον, χρυσοῦν θυμιατήριον. τῆς ἀχωρίτου τριάδος, δοχεῖον γεγενημένον, ἐν ᾧ πατὴρ ηὐδόκησεν. ὁ δὲ υἱὸς ἐσκήνωσε, καὶ πνεῦμα τὸ παναγιον.



Digitized by Google

ἐνδόξοις τῆς γῆς:~

Κύριε ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν:~ εἰς ϛ.

Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου:~

Διὰ τὸν φόβον σου κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας δ᾽ ἐποιήσαμεν ἐπὶ τῆς γῆς:~

Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς:~ εἰς δ.

Ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ:~

Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς ἐστω, ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται:~

Βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμεῖόν σου. ἀπόκλεισον τὴν θύραν σου:~

Ἀποκρύβηθι μικρὸν ὅσον ὅσον. ἕως ἂν παρέλθῃ ἡ ὀργὴ κυρίου:~ δόξα καὶ νῦν

Δεῖ εἰδέναι πῶς στιχολογοῦνται αἱ ᾠδαὶ τοῦ ψαλτηρίου τῇ μεγάλῃ μ΄. ἡ α΄ ᾠδή, τῇ β΄. ἡ β΄. τῇ γ΄. ἡ γ΄. τῇ δ΄. ἡ δ΄, τῇ ε΄. ἡ ε΄, τῇ παρασκευῇ. ἡ ϛ΄ καὶ ἡ ζ΄, τῷ σαββάτῳ. ἐν τῇ ϛ΄. ᾠδῇ, οὐ στιχολογοῦμεν. ἀλλ᾽ ᾠδῆς τὸν εἱρμὸν καὶ ἓν τῶν τροπαρίων ἀνὰ στίχου. εἶτα ἀρχόμεθα τῆς ᾠδῆς, ἐκ θηρὸς ὡς τὸν προφήτην Ἰωνᾶν σῶσον ἡμᾶς κύριε:~ ᾠδὴ ἕκτη.

Ἐκ θηρὸς ἐκεκραύγασεν, Ἰωνᾶς λέγων.

Digitized by Google

προσευχὴ ἰωνᾶ τοῦ προφήτου.

Ἐβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν θεόν μου, καὶ εἰσήκουσέ μου. ἐκ κοιλίας ᾅδου κραυγῆς μου, ἤκουσας φωνῆς μου. Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με. Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. κἀγὼ εἶπον, ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου. Ἄρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου:~ εἰς ι'.

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη. Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων. κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι:~ εἰς ϛ'.

Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σὲ κύριε ὁ θεός μου. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ κυρίου ἐμνήσθην. καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸν τὸν ἅγιόν σου:~ εἰς δ'.

Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατέλιπον, ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι. Ὅσα ηὐξάμην, ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ κυρίῳ:~ δόξα καὶ νῦν.

ᾠδὴ ἑβδόμη.

Αἶνος φλόγα σβέννυσι τῶν τριῶν νέων.

προσευχὴ τῶν ἁγίων τριῶν παίδων. τῶν πατέρων ἡμῶν θεὸς εὐλογητὸς εἶ.

Εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν· καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ αἱ εὐθεῖαι αἱ ὁδοί σου, Καὶ πᾶσαι αἱ κρί

Digitized by Google

σεις σου ἀληθεῖς. καὶ κρίματα ἀληθείας ἐποίησας.
κατὰ πάντα ἃ ἐπήγαγες ἡμῖν. Καὶ ἐπὶ τὴν πόλιν
τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ. ὅτι ἐν ἀληθείᾳ
καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς διὰ τὰς
ἁμαρτίας ἡμῶν. ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆ-
ναι ἀπὸ σοῦ, καὶ ἐξημάρτομεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν
σου οὐκ ἠκούσαμεν. οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσα-
μεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται. καὶ πάν-
τα ὅσα ἐποίησας ἡμῖν, καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν,
ἀληθινῇ κρίσει ἐποίησας. καὶ παρέδωκας ἡμᾶς εἰς χεῖ-
ρας ἐχθρῶν ἀνόμων. ἐχθίστων, ἀποστατῶν. καὶ βασιλεῖ
ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. καὶ νῦν, οὐκ
ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα. αἰσχύνη καὶ ὄνειδος ἐγενήθη-
μεν τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε. μὴ δὴ παρα-
δώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου. καὶ μὴ διασκε-
δάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός
σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ
διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου, οἷς ἐλάλη-
σας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς
τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. ὅτι δέ-
σποτα ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν
ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας ἡ-
μῶν. καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης,
καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσ-
φορά, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν
σου, καὶ εὑρεῖν ἔλεος. ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ
πνεύματι ταπεινώσεως προσδεχθείημεν, ὡς ἐν ὁλοκαυ-

Digitized by Google

πώμασι κριῶν καὶ ταύρων, ὡς ἐν μυριάσιν ἀρνῶν πιό-
νων. οὕτω γενέσθω ἡ θυσία ἡμῶν ὡς προσδεκτὸς ἐνώ-
πιόν σου σήμερον καὶ ἐκτελεσθήτω ὄπισθέν σου, ὅτι οὐκ
ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ. καὶ νῦν ἐξακολου-
θοῦμεν ἐν ὅλη καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζη-
τοῦμεν τὸ πρόσωπόν σου, μὴ καταισχύνης ἡμᾶς. ἀλ-
λὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου. καὶ
κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἐξελοῦ ἡμᾶς κατὰ
τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου κύ-
ριε. καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς
δούλοις σου κακά. καὶ καταισχυνθείησαν ἀπὸ πάσης
δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη. καὶ γνώτω-
σαν ὅτι σὺ εἶ κύριος ὁ θεὸς μόνος, καὶ ἔνδοξος ἐφ' ὅλην
τὴν οἰκουμένην. καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐ-
τοὺς ὑπηρέται τοῦ βασιλέως, καίοντες τὴν κάμινον,
νάφθη, καὶ πίσση, καὶ στυππίω, καὶ κληματίδι. καὶ
διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου, ἐπὶ πήχεις τεσ-
σαράκοντα ἐννέα, καὶ διώδευσε, καὶ ἐνεπύρισεν οὓς
εὗρε περὶ τὴν κάμινον τῶν χαλδαίων. ὁ δὲ ἄγγελος
κυρίου, συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν
κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς
καμίνου. καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου, ὡς πνεῦμα
δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου
τὸ πῦρ. οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτούς.
τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ εὐλόγουν,
καὶ ἐδόξαζον τὸν θεὸν ἐν τῇ καμίνῳ λέγοντες.
δρόσῳ τῆς καμίνου, τῶν τριῶν αἶνος νέων. εἰς κ'.
Εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ ὑπερ-

Digitized by Google

ρύμνητος καὶ ὑπερυψούμενος, εἰς τοὺς αἰῶνας :~
καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου, τὸ ἅγιον, τὸ
ὑπερύμνητον καὶ ὑπερυψούμενον :~ εἰς ς´.
εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου ὁ ὑπε
ρύμνητος καὶ ὑπερυψούμενος:~
εὐλογημένος εἶ, ὁ βλέπων ἀβύσσους ὁ καθήμενος
ἐπὶ τῶν χερουβίμ. ὁ ὑπερύμνητος καὶ ὑπερυψού-
μενος:~ εἰς δ´.
εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου,
ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος :~
εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὁ ὑπερύμνη
τος καὶ ὑπερυψούμενος. δόξα καὶ νῦν.

ᾠδὴ ὀγδόη.

ὸν δεσπότην ὕμνησον, ἡ κτιστῶν φύσις.

ὸν κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦ-
τε, εἰς πάντας τοὺς αἰῶνας.
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ὑμνεῖτε, καὶ
ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Εὐλογεῖτε
ἄγγελοι κυρίου, οὐρανοὶ κυρίου τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦ
τε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ὕδατα πάντα τὰ
ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ δυνάμεις κυρίου, τὸν κύριον ὑμνεῖ
τε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε
ἥλιος, καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ. τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυ
ψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πᾶς ὄμβρος,
καὶ δρόσος. πάντα τὰ πνεύματα τὸν κύριον ὑμνεῖτε καὶ ὑπε
ρυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πῦρ καὶ καῦ
μα ψῦχος καὶ καύσων, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυ-

ψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε δρόσοι, καὶ νιφετοὶ, πάγοι καὶ ψῦχος, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πάχναι καὶ χιόνες, ἀστραπαὶ καὶ νεφέλαι, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε φῶς καὶ σκότος, νύκτες καὶ ἡμέραι. τὸν κύριον ὑμνεῖτε. καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε γῆ ὄρη καὶ βουνοὶ πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πηγαὶ θάλασσαι καὶ ποταμοὶ, κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία, καὶ πάντα τὰ κτήνη, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραήλ, τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ἱερεῖς κυρίου, δοῦλοι κυρίου, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαήλ, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἀπόστολοι, προφῆται καὶ μάρτυρες κυρίου, τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογοῦμεν πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα. τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. καὶ

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν κύριον.

ᾠδὴ ἐνάτη.

ᾠδὴ τῆς θεοτόκου, ἐκ τοῦ κατὰ Λουκᾶν, ἀγαλ...

Τὸν υἱὸν ὑμνεῖ καὶ θεὸν, μήτηρ κόρη.
τὴν θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον, καὶ ἠγαλλίασε τὸ
πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. Ὅτι ἐπέβλεψεν
ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. ἰδοὺ γὰρ ἀπὸ τοῦ
νῦν μακαριοῦσί με, πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι
μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. καὶ τὸ ἔλεος
αὐτοῦ εἰς γενεὰν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν. Ἐποίη
σε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφά
νων διανοίᾳ καρδίας αὐτῶν. Καθεῖλε δυνάστας
ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. πεινῶντας ἐνέ-
πλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.
Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους,
καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀ-
βραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος:~

Ὁ Ζαχαρίας εὐλογεῖ παιδὸς τόκον.
προσευχὴ Ζαχαρίου, τοῦ πατρὸς τοῦ προδρόμου.

Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο, καὶ
ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. Καὶ ἤγειρε
κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς
αὐτοῦ. Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων
τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ σωτηρίαν ἐξ ἐχθρῶν
ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς.
Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆ-
ναι διαθήκης ἁγίας αὐτοῦ:~ Εἰς η.

Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ
δοῦναι ἡμῖν ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυ-

Digitized by Google

θέντας. Λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. εἰς ς'.

Καὶ σὺ παιδίον, προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν. διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν. εἰς δ'.

Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις.

Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν, εἰς ὁδὸν εἰρήνης:~ δόξα καὶ νῦν.

Εἰ μὲν οὐκ ἔστι κυριακή, τὸ, ἄξιόν ἐστιν. εἰ δὲ ἐστι κυριακή, μετὰ τὸν εἱρμὸν, συναπτή, τὸ, ἅγιος κύριος ὁ θεὸς ἡμῶν, καὶ τὸ ἑωθινὸν ἐξαποστειλάριον. εἰ δὲ ἐστι τεσσαρακοστή, λέγομεν τὰ φωταγωγικὰ, εἰς τὸν τυχόντα ἦχον. εἰς γοῦν τὴν συμπλήρωσιν τοῦ φωταγωγικοῦ λέγομεν οὕτως. τῇ μὲν β'

Πρεσβείαις τῶν ἀσωμάτων καὶ σῶσόν με. τῇ δὲ τρίτῃ.

Πρεσβείαις κύριε τοῦ προδρόμου καὶ σῶσόν με:~

τῇ τετάρτῃ, καὶ τῇ παρασκευῇ.

Δυνάμει κύριε τοῦ σταυροῦ καὶ σῶσόν με:~ τῇ ε'.

Πρεσβείαις κύριε τῶν ἀποστόλων, καὶ σῶσόν με:~

τῷ σαββάτῳ λέγομεν αὐτὸ δίς. ἐν μὲν τῷ α'.

Πρεσβείαις κύριε τῶν ἁγίων καὶ σῶσόν με:~

ἐν δὲ τῷ δευτέρῳ.

Πρεσβείαις κύριε τῆς θεοτόκου καὶ σῶσόν με:~

καὶ τὰ φωταγωγικὰ ὁμοίως κατ' ἦχον, ἐκ γ'.

Φωταγωγικά. ἦχος α'.

Ὁ τὸ φῶς ἀνατέλλων κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, πρεσβείαις τῶν ἀσωμάτων καὶ

Digitized by Google

σῶσόν με:~ ἦχος β'.

Τὸ φῶς σου τὸ ἀΐδιον ἐξαπόστειλον κύριε, καὶ φώτισόν τὰ ὄμματα τὰ κρυπτὰ τῆς καρδίας μου, πρεσβείαις τῶν ἀσωμάτων καὶ σῶσόν με:~ ἦχος γ'.

Ἐξαπόστειλον τὸ φῶς σου χριστὲ ὁ θεός, καὶ φώτισόν τὴν καρδίαν μου, πρεσβείαις τῶν ἀσωμάτων, καὶ σῶσόν με. ἦχος δ'.

Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ σου, τὴν ἐν σκότει ψυχήν μου ὑπάρχουσαν, ἀπὸ πάσης ἁμαρτίας καθάρισον, πρεσβείαις τῶν ἀσωμάτων, καὶ σῶσόν με. ἦχος πλ. α'.

Φωτοδότα κύριε, ἐξαπόστειλον τὸ φῶς σου, καὶ φώτισόν τὴν καρδίαν μου, πρεσβείαις τῶν ἀσωμάτων καὶ σῶσόν με:~ ἦχος πλ. β'.

Πρεσβείαις κύριε τῶν ἀσωμάτων, κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν, τὸ φῶς σου τὸ ἀΐδιον. ἦχος βαρύς.

Πρεσβείαις κύριε τῶν ἀσωμάτων. φῶς κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν, διὰ τὸ μέγα σου ἔλεος. ἦχος πλ. δ'.

Φῶς ὑπάρχων κύριε, φώτισόν με ἐν σοί, πρεσβείαις τῶν ἀσωμάτων καὶ σῶσόν με:~

Ἐξαποστειλάρια τῆς ὅλης ἑβδομάδος.

αὐτόμελον τῇ δευτέρᾳ.

Ὁ οὐρανὸν τοῖς ἄστροις, κατακοσμήσας ὡς θεός, καὶ διὰ τῶν σῶν ἀγγέλων, πάσαν τὴν γῆν φωταγωγῶν δημιουργὲ τῶν ἁπάντων, τοὺς ἀνυμνοῦντάς σε σῶζε.

Ὁ γλυκασμὸς τῶν ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά.

χριστιανῶν

χριστιανῶν καὶ προστάτις. παρθένε μῆτερ νῦν. ἀντιλαβοῦ ἡμᾶς ῥῦσαι, τῶν αἰωνίων βασάνων :~ τῇ τρίτῃ.

Τὸν πρόδρομον ἰωάννην τὸν βαπτιστὴν τοῦ σωτῆρος. τὸν ἐν προφήταις προφήτην, τὸν τῆς ἐρήμου τὸ θρέμμα. τῆς Ἐλισάβετ τὸν γόνον, ἀνευφημήσωμεν πάντες. δόξα.

Ο γλυκασμὸς τῶν ἀγγέλων. ζήτει ἐν τῇ β΄.

τῇ τετάρτῃ καὶ τῇ παρασκευῇ.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης, σταυρὸς ἡ ὡραιότης τῆς ἐκκλησίας. σταυρὸς βασιλέων τὸ κραταίωμα. σταυρὸς πιστῶν τὸ στήριγμα. σταυρὸς ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα :~ σταυρόθ.

Εν τῷ σταυρῷ παρεστῶσα, ἡ σὲ ἀσπόρως τεκοῦσα. καὶ θρηνῳδοῦσα ἐβόα. οἴμοι γλυκύτατον τέκνον. πῶς ἔδυς ἐξ ὀφθαλμῶν μου, πῶς ἐν νεκροῖς ἐλογίσθης :~

τῇ ε΄. γυναῖκες ἀκουτίσθητε.

Εἰς πᾶσαν τὴν ὑφ' ἥλιον, δραμόντες ἐκηρύξατε. τὴν τοῦ χριστοῦ ἐκ παρθένου, ἁγίαν σάρκωσιν ὄντως. ἐκ πλάνης ἐπιστρέφοντες, τὰ ἔθνη καὶ φωτίζοντες. καὶ πάντας ἐκδιδάσκοντες, τριάδα σέβειν ἁγίαν, ἀπόστολοι τοῦ σωτῆρος :~ ὅμοιον.

Τὸν μέγαν ἀρχιποίμενα, καὶ ἱεράρχην ἅπαντες. τὸν πρόεδρον τῶν μυρέων, Νικόλαον εὐφημοῦμεν. πολλοὺς γὰρ ἄνδρας ἔσωσεν, ἀδίκως θνήσκειν μέλλοντας. καὶ βασιλεῖ ὁ ὤφθη ποτὲ, σὺν ἀβλαβίῳ κατ' ὄναρ, λύων τὴν ἄδικον ψῆφον :~ δόξα.

Η θεία καθαρωτάτη, χρυσοῦν θυμιατήριον. τῆς ἀχωρήτου τριάδος, δοχεῖον γεγενημένον, ἐν ᾧ πατὴρ ηὐδόκησεν. ὁ δὲ υἱὸς ἐσκήνωσε, καὶ πνεῦμα τὸ παναγιον.

f ζ

ἐπισκιάσαντός σοι κόρη, ἀνέδειξε θεόν. τῷ σαββάτῳ.

Ο καὶ νεκρῶν καὶ ζώντων, ἐξουσιάζων ὡς θεός. καὶ διὰ τῶν ἁγίων, πᾶσαν τὴν γῆν φωταγωγῶν. δημιουργὲ τῶν ἁπάντων, τοὺς ἀνυμνοῦντάς σε σῶζε :~ Θτ

Ἡμεῖς ἐν σοὶ καυχώμεθα θεοτόκε, καὶ εἰς θεόν σε ἔχομεν προστασίαν. ἔκτεινον τὴν χεῖρα τὴν ἄμαχον, καὶ θραῦσον τοὺς ἐχθροὺς ἡμῶν. ἐξαπόστειλον δούλοις, βοήθειαν ἐξ ἁγίου :~ Καὶ εὐθὺς οἱ αἶνοι. εἰ μὲν ἐστὶ κυριακὴ ἢ ἑορταζόμενος ἅγιος, λέγομεν τὸ πᾶσα πνοὴ, μετὰ μέλους. εἰ δ' οὖν, λέγομεν τὸ αἰνεῖτε τὸν κύριον, καὶ αὐτὸ μετὰ μέλους πρὸς τὸν ἦχον τῆς ἡμέρας. εἰ δ' οὖν ἐστὶ κυριακὴ, ἢ δεσποτικὴ ἑορτὴ, ἢ ἅγιος ἔχων μεγάλην δοξολογίαν, ψάλλεται οὕτω τὸ πᾶσα πνοὴ, εἰς τὸν τυχόντα ἦχον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον. αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν. αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις, σοὶ πρέπει ὕμνος τῷ θεῷ :~

εἰ δ' ἄλλη ἡμέρα, οὕτως.

Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, σοὶ πρέπει ὕμνος τῷ θεῷ. Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις, σοὶ πρέπει ὕμνος τῷ θεῷ. Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ. αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ, σοὶ πρέπει ὕμνος τῷ θεῷ. Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη. αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς. Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. αἰνεσάτωσαν τὸ ὄνομα κυρίου. Ὅτι αὐτὸς εἶπε καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτί-

Digitized by Google

σθησαν. ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πρόσταγμα ἔθετο καὶ οὐ παρελεύσεται. Αἰνεῖτε τὸν κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι. Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι. Τὰ θηρία, καὶ πάντα τὰ κτήνη, ἑρπετὰ, καὶ πετεινὰ πτερωτά. Βασιλεῖς τῆς γῆς, καὶ πάντες λαοί. ἄρχοντες, καὶ πάντες κριταὶ γῆς. Νεανίσκοι καὶ παρθένοι. πρεσβύτεροι μετὰ νεωτέρων. Αἰνεσάτωσαν τὸ ὄνομα κυρίου. ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου. Ἡ ἐξομολόγησις αὐτοῦ, ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ. Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν. ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. Εὐφρανθήτω ἰσραήλ, ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ οἱ υἱοὶ σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ, ἐν χορῷ, ἐν τυμπάνῳ, καὶ ψαλτηρίῳ, ψαλλάτωσαν αὐτῷ. Ὅτι εὐδοκεῖ κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ. Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. Αἱ ὑψώσεις τοῦ θεοῦ, ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν. Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν, ἐν χειροπέδαις σιδηραῖς. Τοῦ ποιῆσαι ἐν αὐτοῖς, κρίμα ἔγγραπτον:~

Δόξα. αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.



Digitized by Google

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ. αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλοσύνης αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν, ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ. αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. Αἰνεῖτε αὐτὸν, ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον :~ Εἰ μὲν ἐστὶ κυριακή, δόξα. τὸ ἑωθινόν. καὶ νῦν. τὸ παρὸν θεοτοκίον

Ὑπερευλογημένη ὑπάρχεις θεοτόκε παρθένε. διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ᾐχμαλώτισται ὁ Ἀδὰμ ἀνακέκληται. ἡ κατάρα μεμέκρωται. ἡ Εὔα ἠλευθέρωται. ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν. διὸ ἀνυμνοῦντες βοῶμεν. εὐλογητὸς χριστὸς ὁ θεὸς, ὁ οὕτως εὐδοκήσας, δόξα σοι :~

Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία. ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε. δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν. Κύριε βασιλεῦ ἐπουράνιε. θεὲ πάτερ παντοκράτορ. Κύριε υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ ἅγιον πνεῦμα. Κύριε ὁ θεὸς, ὁ ἀμνὸς, τοῦ θεοῦ ὁ υἱὸς τοῦ πατρὸς. ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, πρόσδεξαι τὴν δέησιν ἡμῶν. Ὁ καθήμενος ἐκ δεξιῶν τοῦ πατρὸς καὶ ἐλέησον ἡμᾶς. Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν θεοῦ πατρός. ἀμήν. Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος :~

Digitized by Google

Καταξίωσον κύριε ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτή-
τους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ κύριε ὁ θεὸς
τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον
τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, ἀμήν:~

Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς καθάπερ ἠλ-
πίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ κύριε δίδαξόν με
τὰ δικαιώματά σου :~ ἐκ τρίτου.

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ,
ἐγὼ εἶπα κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου
ὅτι ἥμαρτόν σοι. Κύριε πρὸς σὲ κατέφυγον, δίδαξόν
με, τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ θεός μου, ὅτι
παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε. Ἅγιος ὁ
θεός. ἅγιος ἰσχυρός. ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.
δόξα, καὶ νῦν. Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. εἶτα
γεγωνοτέρᾳ φωνῇ. Ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅ-
γιος ἀθάνατος ἐλέησον ἡμᾶς.

Εἰ δὲ ἔστι τεσσαρακοστή, ἢ ἄλλη ἡμέρα μὴ ἔχουσα δο-
ξολογίαν μεγάλην, μετὰ τὸ εἰς τοὺς αἴνους δόξα, καὶ
νῦν, λέγει ὁ ταχθεὶς μοναχὸς, οὕτως:~

Σοὶ δόξα πρέπει κύριε ὁ θεὸς ἡμῶν. καὶ σοὶ τὴν δόξαν
ἀναπέμπομεν, τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύ-
ματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν :~

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. δόξα ἐν ὑψίστοις. ἕως
τοῦ καὶ αἰνέσω τὸ ὄνομά σου, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν
αἰῶνα τοῦ αἰῶνος. εἶτα ὑποβληθὲν εἰς τό· Κύριε κατα-
φυγὴ ἐγενήθης ἡμῖν, ἕως τοῦ. παράτεινον τὸ ἔλεός
σου τοῖς γινώσκουσί σε. εἶτα καί, καταξίωσον κύριε ἐν



Digitized by Google

τῇ ἡμέρᾳ ταύτῃ. μέχρι τέλους. ὁ ἱερεύς. τό. πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ. εἶτα τὰ τοῦ ὀκτωήχου στιχηρά. εἰ οὐκ ἔστι δεσποτικὴ ἑορτή. στί. α.

Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου κύριε. καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθημεν. ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν. ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά. καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. στί. β΄.

Καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾽ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον :~

δόξα, καὶ νῦν, τὸ ἰδιόμελον, εἰ ἔχει. εἶτα τό.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου ὕψιστε. τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα :~

Εἶτα β΄. ἀμὴν μετανοιῶν. μεθ᾽ ὅ, τρισάγιον, σὺν τῷ πάτερ ἡμῶν. ὁ ἱερεύς. ὅτι σοῦ ἐστι. τροπάριον τῆς ἡμέρας, δόξα. καὶ νῦν, θεοτ. ὁ ἱερεύς. ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ τὰ λοιπά. καὶ μετὰ τὴν ἐκφώνησιν, σοφία. καὶ ἡμεῖς στερεοῦμεν τοὺς βασιλεῖς. τὸ δεῦτε προσκυνήσωμεν γ΄. καὶ τὴν πρώτην ὥραν. εἰ δὲ ἐστι τεσσαρακοστή, μετὰ τὸ, ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. καὶ τὸ τρισάγιον. ὁ ἱερεύς. ὅτι σοῦ ἐστι τὸ κύριε ἐλέησον, μ΄. τινὲς ἐνταῦθα λέγουσιν ἀπολυτίκιον :~

Ἐν τῷ ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν οὐρανῷ ἑστάναι νομίζομεν. θεοτόκε πύλη ἐπουράνιε, ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου :~

Digitized by Google

Εἶτα τό, κύριε ἐλέησον ιβʹ. τὴν τιμιωτέραν τῶν χερουβίμ.
ἐν ὀνόματι κυρίου, εὐλόγησον πάτερ. ὁ ἱερεύς. ὁ ὢν
εὐλογητὸς χριστὸς ὁ θεὸς ἡμῶν. πάντοτε νῦν. καὶ ἀεί,
καὶ ἡμεῖς λέγομεν, τό.

Ἐπουράνιε βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον. τὴν πίστιν στήριξον. τὰ ἔθνη πράϋνον. τὸν κόσμον εἰρήνευσον, τὴν ἁγίαν μονὴν ταύτην, καλῶς διαφύλαξον. τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν, ἐν σκηναῖς δικαίων τάξον, καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος:~

Εἶθ' οὕτω, μετανοίας γʹ. λέγοντες καθ' ἑαυτοὺς ἐν ἑκάστῃ μετανοίᾳ, τὴν εὐχὴν τοῦ ὁσίου ἐφραίμ. κύριε καὶ δέσποτα τῆς ζωῆς μου. μετὰ δὲ ταύτας, ἑτέρας μικράς. ιαʹ. εἶτ' αὖθις ἑτέραν μετάνοιαν μεγάλην μίαν. λέγοντες καὶ ἐν ταύτῃ, τὴν προγραφεῖσαν εὐχήν. μετὰ δὲ τὸ ἀναστῆναι ἡμᾶς, ἄρχεται ὁ προεστὼς δεῦτε προσκυνήσωμεν γʹ. μετανοίας γʹ. καὶ ψάλλομεν τὴν αʹ ὥραν. εἰ δὲ ἐστι κυριακή, μετὰ τὸ τέλος τῆς δοξολογίας καὶ τοῦ τρισαγίου, λέγομεν τροπάρια. ἀναστάσιμα. εἰς μὲν τὸν αʹ. καὶ τὸν γʹ. τὸν πλ. αʹ. καὶ τὸν βαρύν, λέγομεν τὸ παρὸν τροπάρ. ἦχος δʹ

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν, ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν. καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν καὶ τὸ μέγα ἔλεος:~ Εἰς δὲ τὸν βʹ. καὶ δʹ. καὶ τὸν πλ. βʹ. καὶ πλ. δʹ. ἦχον, λέγομεν τόδε. ἦχος πλ. δʹ.

Ἀναστὰς ἐκ τοῦ μνήματος, καὶ τὰ δεσμὰ διαῤῥήξας τοῦ ᾅδου, ἔλυσας τὸ κατάκριμα τοῦ θανάτου κύριε. πάντας



Digitized by Google

ἐκ τῆς παγίδος τοῦ ἐχθροῦ ῥυσάμενος. ἐμφανίσας ἑαυτὸν τοῖς ἀποστόλοις σου. ἐξαποστείλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα. καὶ δι' αὐτῶν τὴν εἰρήνην σου παρέσχες τῇ οἰκουμένῃ μόνε πολυέλεε :~ ἐκτενὴ καὶ ἀπόλυσις.

τέλος τοῦ ὄρθρου.

## ὥρα πρώτη.

Τὰ ῥήματά μου ἐνώτισαι κύριε. σύνες τῆς κραυγῆς μου. πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ θεός μου. ὅτι πρὸς σὲ προσεύξομαι κύριε. τὸ πρωΐ, εἰσακούσῃ τῆς φωνῆς μου. τὸ πρωῒ παραστήσομαί σοι. καὶ ἐπόψει με. ὅτι οὐχὶ θεὸς θέλων ἀνομίαν σὺ εἶ. οὐ παροικήσει σοι πονηρευόμενος· οὐδὲ διαμενοῦσι, παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. ἄνδρα αἱμάτων καὶ δόλιον, βδελύσσεται κύριος. ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου, εἰσελεύσομαι εἰς τὸν οἶκόν σου. προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου· ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια. ἡ καρδία αὐτῶν ματαία. τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν. ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. κρῖνον αὐτοὺς ὁ θεός. ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλίων αὐτῶν. κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν, ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε κύριε. καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ. εἰς αἰῶνα ἀγαλ

Digitized by Google

λιάσονται. καὶ κατασκηνώσεις ἐν αὐτοῖς. καὶ καυχή-
σονται ἐν σοὶ, οἱ ἀγαπῶντες τὸ ὄνομά σου. ὅτι σὺ εὐλο-
γήσεις δίκαιον κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνω-
σας ἡμᾶς :~

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ, καὶ γε-
νεᾷ, πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν,
καὶ τὴν οἰκουμένην. καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος
σὺ εἶ. μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν καὶ
εἶπας, ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων. ὅτι χίλια ἔτη
ἐν ὀφθαλμοῖς σου κύριε. ὡς ἡμέρα ἡ χθὲς, ἥτις διῆλθε
καὶ φυλακὴ ἐν νυκτί. τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσον-
ται, τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι, τὸ πρωῒ ἀνθήσαι,
καὶ παρέλθοι. τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη,
καὶ ξηρανθείη. ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν
τῷ θυμῷ σου ἐταράχθημεν. ἔθου τὰς ἀνομίας ἡμῶν ἐ-
ναντίον σου. ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου
σου, ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ
σου ἐξελίπομεν. τὰ ἔτη ἡμῶν, ὡσεὶ ἀράχνη ἐμελέ-
των. αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς, ἑβδομήκοντα
ἔτη. ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖ-
ον αὐτῶν, κόπος καὶ πόνος. ὅτι ἐπῆλθε πραότης ἐφ' ἡ-
μᾶς, καὶ παιδευθησόμεθα. τίς γινώσκει τὸ κράτος τῆς
ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμή σα-
σθαι. τὴν δεξιάν σου οὕτω γνώρισον μοι, καὶ τοὺς πεπεδη-
μένους τῇ καρδίᾳ ἐν σοφίᾳ. ἐπίστρεψον κύριε ἕως πότε, καὶ
παρακλήθητι ἐπὶ τοῖς δούλοις σου. ἐνεπλήσθημεν τὸ
πρωῒ τοῦ ἐλέους σου κύριε. καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθη-
μεν. ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν.

Digitized by Google

ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά. καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ' ἡμᾶς. καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς. καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον:~

Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι κύριε. ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ. πότε ἥξεις πρός με. διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου. οὐ προεπιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον. ποιοῦντας παραβάσεις ἐμίσησα. οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ. τοῦτον ἐξεδίωκον. ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου, ποιῶν ὑπερηφανίαν. λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν:~

Ἰστέον ὅτι τῇ β'. καὶ παρασκευῇ, ἡ α' ὥρα, οὐ στιχολογεῖται. ἀλλ' οὐδὲ ἡ θ' ὥρα τῆς παρασκευῆς. δόξα, καὶ νῦν. ἀλληλούια ἐκ γ'. καὶ ἐὰν μὲν θεὸς κύριος ἐψάλλεται, λέγομεν, δόξα. τὸ τροπάριον τῆς ἡμέρας. καὶ νῦν, τί σε καλέσωμεν. εἰ δ' ἀλληλούια, λέγομεν τροπάριον, εἰς ἦχον πλ. β'.

Τὸ πρωΐ εἰσάκουσον τῆς φωνῆς μου, ὁ βασιλεύς μου, καὶ ὁ θεός μου. στ. α'. Τὰ ῥήματά μου ἐνώπισαι κύριε. στ. β'.

Ὅτι πρὸς σὲ προσεύξομαι κέ. Δόξα τῷ μων.

Ψίσε καλέσωμεν ὦ κεχαριτωμένη ὑμνῶν, ὅτι ἀνέτειλας τὸν ἥλιον τῆς δικαιοσύνης. παράδεισον, ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας. παρθένον, ὅτι ἔμεινας ἄφθορος. ἁγνὴν μητέρα, ὅτι ἔσχες ταῖς ἐν ἀγκάλαις υἱὸν τὸν πάντων θεόν. αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ψ τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου. καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Λ ύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Ψ τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου κέ, ὅπως ὑμνήσω τὴν δόξαν σου. ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. Ἐν τῇ γ΄. Τεσσαρακοστῇ καὶ ἁγία τριάς, σὺν τῷ πάτερ ἡμῶν. ὅτι σοῦ. Καὶ εἰ οὐκ ἔστι τεσσαρακοστή, λέγε τὸ ἁγίου κοντάκιον εἰ ἔχει. ἢ τῆς τυχούσης ἑορτῆς. Καὶ τῇ μὲν δευτέρᾳ, τῇ τρίτῃ, καὶ τῇ πέμπτῃ λέγε τὸ παρὸν θεοτοκίον.

Τὴν ὑπερένδοξον τὴν θεοῦ μητέρα, καὶ τῶν ἁγίων ἀγγέλων ἁγιωτέραν, ἀσιγήτως ὑμνήσωμεν καρδίᾳ καὶ στόματι θεοτόκον αὐτὴν ὁμολογοῦντες, ὡς κυρίως γεννήσασαν θεὸν σεσαρκωμένον, καὶ πρεσβεύουσαν ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῇ δὲ τετάρτῃ καὶ παρασκευῇ. λέγε τοῦτο.

Ταχὺ προκατάλαβε πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν χριστὲ ὁ θεὸς ἡμῶν, ἀνελε τῷ σταυρῷ σου, τοὺς ἡμᾶς πολεμοῦντας. γνώτωσαν πῶς ἰσχύει ὀρθοδόξων ἡ πίστις, πρεσβείαις τῆς θεοτόκου μόνε φιλάνθρωπε. Τῷ σαββάτῳ τοῦτο.

Digitized by Google

ὥρα μεσώριον τῆς.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως ἡ οἰκουμένη προσφέρει σοι κύριε τοὺς θεοφόρους μάρτυρας. ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ βαθείᾳ τὴν ἐκκλησίαν σου, διὰ τῆς θεοτόκου συντήρησον πολυέλεε. Τῇ δὲ κυριακῇ, λέγομεν τὴν ὑπακοὴν τοῦ τυχόντος ἤχου. τὸ κύριε ἐλέησον, μ΄. ὁ ἐν παντὶ καιρῷ. τὸ κύριε ἐλέησον, γ΄. δόξα, καὶ νῦν. τὴν τιμιωτέραν. ἐν ὀνόματι κυρίου. ὁ ἱερεὺς ἐκφωνεῖ, ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς. καὶ εἰ ἔστι τεσσαρακοστή, ποιοῦμεν τὰς γ΄. μεγάλας μετανοίας λέγοντες τὴν προγεγραμμένην εὐχήν, κύριε καὶ δέσποτα τῆς ζωῆς μου. ὁμοίως καὶ τὰς ἑτέρας μικράς, ιά. εἶτα καὶ τὴν τελευταίαν, γινόμεναι ὁμοῦ, ιέ. εἶτα, τρισάγιον. παναγία τριάς. πάτερ ἡμῶν, τὸ κύριε ἐλέησον, ιβ΄. καὶ τὴν παροῦσαν εὐχήν:~

Χριστὲ τὸ φῶς τὸ ἀληθινὸν τὸ φωτίζον, καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου. ἵνα ἐν αὐτῷ ὀψώμεθα φῶς τὸ ἀπρόσιτον. καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν, πρὸς ἐργασίαν τῶν ἐντολῶν σου. πρεσβείαις τῆς παναχράντου σου μητρός, καὶ πάντων σου τῶν ἁγίων, ἀμήν:~

δόξα καὶ νῦν. καὶ γίνεται ἀπόλυσις.

τέλος τῆς πρώτης ὥρας.

## μεσώριον τῆς αὐτῆς ὥρας.

Μετὰ τὸ εὐλογητόν, τρισάγιον, παναγία τριάς. πάτερ ἡμῶν. δεῦτε προσκυνήσωμεν, γ΄.

…ὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλί-
ψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. διὰ τοῦτο οὐ
φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ με-
τατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. ἤχησαν καὶ ἐτα-
ράχθησαν τὰ ὕδατα αὐτῶν. ἐταράχθησαν τὰ ὄρη ἐν τῇ
κραταιότητι αὐτοῦ. τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνου-
σι τὴν πόλιν τοῦ θεοῦ. ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος.
ὁ θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται. βοηθήσει
αὐτῇ ὁ θεὸς, τὸ πρὸς πρωῒ, πρωΐ. ἐταράχθησαν ἔθ-
νη. ἔκλιναν βασιλεῖαι. ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψιστος.
ἐσαλεύθη ἡ γῆ. κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀν-
τιλήπτωρ ἡμῶν ὁ θεὸς Ἰακώβ. δεῦτε καὶ ἴδετε τὰ ἔρ-
γα τοῦ θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς. ἀνταναιρῶν
πολέμους, μέχρι τῶν περάτων τῆς γῆς. τόξον συντρί-
ψει, καὶ συνθλάσει ὅπλον. καὶ θυρεοὺς κατακαύ-
σει ἐν πυρί. σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεός,
ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.
κύριος τῶν δυνάμεων μεθ' ἡμῶν. ἀντιλήπτωρ ἡμῶν,
ὁ θεὸς Ἰακώβ:~

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ, καὶ ψάλλειν τῷ
ὀνόματί σου ὕψιστε. τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός
σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. ἐν δεκα-
χόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς, ἐν κιθάρᾳ. ὅτι εὔφρα-
νάς με κύριε ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν
σου ἀγαλλιάσομαι. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε σφό-
δρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου. ἀνὴρ ἄφρων οὐ
γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα. ἐν τῷ ἀνα-
τεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάν-

Digitized by Google

τες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα κύριε ὅτι ἰδοὺ οἱ ἐχθροί σου κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται, καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, καὶ τὸ γῆράς μου, ἐν ἐλαίῳ πίονι. καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου. καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ᾽ ἐμὲ πονηρευομένοις. ἀκούσεται τὸ οὖς μου. δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται. πεφυτευμένοι ἐν τῷ οἴκῳ κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ ἡμῶν ἐξανθήσουσιν. ἔτι πληθυνθήσονται ἐν γήρᾳ πίονι. καὶ εὐπαθοῦντες ἔσονται τοῦ ἀναγγεῖλαι. ὅτι εὐθὺς κύριος ὁ θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ:~

Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. ἐνεδύσατο κύριος δύναμιν, καὶ περιεζώσατο. καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε. ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. ἐπῆραν οἱ ποταμοὶ κύριε ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν. θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ κύριος. τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε. εἰς μακρότητα ἡμερῶν:~

Δόξα, καὶ νῦν. τρισάγιον. μετάνοιας γ΄. παναγία τριάς. πάτερ ἡμῶν. ὅτι σοῦ, καὶ τὰ τροπάρια ταῦτα. εἰς τὸν ἦχον πλ. β΄.
Ἐλέησον ἡμᾶς, κύριε ἐλέησον ἡμᾶς. πάσης γὰρ ἀπολο-

γίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν τῷ δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς:~ δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν, μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος. καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. σὺ γὰρ εἶ θεὸς ἡμῶν. καὶ ἡμεῖς λαός σου. πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα~ καὶ νῦν θεοτ.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν εὐλογημένη θεοτόκε. ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. σὺ γὰρ εἶ σωτηρία τοῦ γένους τῶν χριστιανῶν:~

Τὸ κύριε ἐλέησον, μ΄. δόξα, καὶ νῦν, τὴν τιμιωτέραν τῶν χερουβίμ. ἐν ὀνόματι κυρίου εὐλόγησον πάτερ. καὶ ποιοῦμεν μετανοίας μεγάλας, γ΄. μετὰ καὶ τῆς εὐχῆς ὡς δεδήλωται. εἶτα λέγομεν τὴν παροῦσαν εὐχὴν, τοῦ μεγάλου βασιλείου.

Ὁ θεὸς ὁ αἰώνιος, τὸ ἄναρχον καὶ ἀΐδιον φῶς, ὁ πάσης κτίσεως δημιουργός. ἡ τοῦ ἐλέους πηγή, τὸ τῆς ἀγαθότητος πέλαγος. καὶ τῆς φιλανθρωπίας ἀνεξιχνίαστος ἄβυσσος, ἐπίφανον ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου. κύριε λάμψον ἐν ταῖς καρδίαις ἡμῶν, νοητὲ ἥλιε τῆς δικαιοσύνης, καὶ τῆς σῆς εὐφροσύνης, τὰς ψυχὰς ἡμῶν πλήρωσον, καὶ δίδαξον ἡμᾶς τὰ σὰ μελετᾶν ἀεί, καὶ φθέγγεσθαι κρίματα. καὶ ἐξομολογεῖσθαί σοι διηνεκῶς, τῷ ἡμετέρῳ δεσπότῃ καὶ εὐεργέτῃ. τὰ τῶν χειρῶν ἡμῶν ἔργα πρὸς τὸ σὸν κατεύθυνον θέλημα, καὶ ποιεῖν ἡμᾶς τὰ σοὶ εὐάρεστα καὶ φίλα εὐόδωσον. ἵνα καὶ διὰ τῶν ἀμα-

Digitized by Google

είων ἡμῶν, δοξάζηταί σου τὸ παμάγιον ὄνομα. τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, τῆς μιᾶς θεότητός τε καὶ βασιλείας. ἡ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας, ἀμήν:~

εἶτα ἐπισυνάπτομεν καὶ ταύτην, τοῦ αὐτοῦ.

Ὁ ἀποστέλλων τὸ φῶς, καὶ πορεύεται. ὁ ἀνατέλλων τὸν ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους, πονηρούς τε καὶ ἀγαθοὺς, ὁ ποιῶν ὄρθρον καὶ φωτίζων πᾶσαν τὴν οἰκουμένην, φώτισον καὶ ἡμῶν τὰς καρδίας δέσποτα τῶν ἁπάντων, χάρισαι ἡμῖν ἐν τῇ παρούσῃ ἡμέρᾳ εὐαρεστῆσαί σοι, διαφυλάττων ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, καὶ πάσης πονηρᾶς πράξεως. ῥυόμενος ἡμᾶς, ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, καὶ πάσης ἀντικειμένης δυνάμεως, πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοῦ. τῶν αὔλων σου λειτουργῶν, καὶ ἐπουρανίων δυνάμεων, καὶ πάντων τῶν ἁγίων, τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων. σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~ Δόξα, καὶ νῦν, τὴν τιμιωτέραν. καὶ γίνεται τελεία ἀπόλυσις:~

ὥρας μεγάλης λοιπὸν ἄρχου τῆς γ΄.

## ὥρα τρίτη.

Βασιλεῦ οὐράνιε, παράκλητε. τρισάγιον μετανοίας γ΄. παναγία τριὰς. πάτερ ἡμῶν. ὅτι σοῦ. τὸ κύριε ἐλέησον, ιβ΄. δεῦτε προσκυνήσωμεν ἐκ τρίτου, εἶτα τοὺς ψαλμούς.

Εἰσάκουσον

[redacted]ἰσάκουσον κύριε δικαιοσύνης μου, πρόσχες τῇ δεήσει
μου· ἐνώτισαι τὴν προσευχήν μου, οὐκ ἐν χείλε
σι δολίοις. ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλ-
θοι· οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας. ἐδοκίμα-
σας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός. ἐπύρωσάς
με καὶ οὐχ εὑρέθη ἐμ ἐμοὶ ἀδικία, ὅπως ἂμ μὴ λαλήσῃ
τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων. διὰ τοὺς λόγους τῶν χει-
λέων σου, ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς· κατάρτισαι
τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶ
σι τὰ διαβήματά μου. ἐγὼ ἐκέκραξα ὅτι ἐπήκουσάς
μου ὁ θεός. κλῖνον τὸ οὖς σου ἐμοὶ, καὶ εἰσάκουσον τῶν ῥη
μάτων μου. θαυμάστωσον τὰ ἐλέη σου ὁ σῴζων τοὺς ἐλ
πίζοντας ἐπὶ σέ. ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου.
φύλαξόν με κύριε ὡς κόρην ὀφθαλμοῦ· ἐν σκέπῃ τῶν
πτερύγων σου σκεπάσεις με, ἀπὸ προσώπου ἀσεβῶν
τῶν ταλαιπωρησάντων με. οἱ ἐχθροί μου τὴν ψυχήν μου
περιέσχον· τὸ στέαρ αὐτῶν συνέκλεισαν· τὸ στόμα αὐτῶν
ἐλάλησεν ὑπερηφανίαν. ἐκβαλόντες με νυνὶ περιε
κύκλωσάν με. τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖ-
ναι ἐν τῇ γῇ. ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θή
ραν, καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις. ἀνάστη
θι κύριε πρόφθασον αὐτούς, καὶ ὑποσκέλισον αὐτούς.
ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς ῥομφαίας σου,
ἀπὸ ἐχθρῶν τῆς χειρός σου· κύριε ἀπὸ ὀλίγων ἀπὸ γῆς
διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν· καὶ τῶν κεκρυμμέ
νων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν. ἐχορτάσθησαν ὑῶν, καὶ
ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν. ἐγὼ δὲ ἐν
δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου. χορτασθήσο-

g ii

Digitized by Google

μαι, ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου:~

Πρὸς σὲ κύριε ἦρα τὴν ψυχήν μου ὁ θεός μου ἐπὶ σοὶ πέποιθα. μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου. καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε, οὐ μὴ καταισχυνθῶσιν. αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. τὰς ὁδούς σου κύριε γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με. ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου. καὶ δίδαξόν με. ὅτι σὺ ὁ θεὸς ὁ σωτήρ μου. καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. μνήσθητι τῶν οἰκτιρμῶν σου κύριε. καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνος εἰσίν. ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς. κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ, ἕνεκεν τῆς χρηστότητός σου κύριε. χρηστὸς καὶ εὐθὴς ὁ κύριος. διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ. ὁδηγήσει πραεῖς ἐν κρίσει. διδάξει πραεῖς ὁδοὺς αὐτοῦ. πᾶσαι αἱ ὁδοὶ κυρίου, ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ. καὶ τὰ μαρτύρια αὐτοῦ, ἕνεκεν τοῦ ὀνόματός σου κύριε. καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστι. τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον. νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο. ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. κραταίωμα κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς. οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου. ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν. ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με, ἴδε τὴν ταπείνωσίν μου,

Digitized by Google

καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. ἴδε τοὺς ἐχθρούς μου ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με, μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ. ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε κύριε. λύτρωσαι ὁ θεὸς τὸν ἰσραὴλ, ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ:~

Καὶ εὐθὺς τὸ πεντηκοστόν. δόξα, καὶ νῦν. ἀλληλούϊα ἐν γ΄. καὶ εἰ μὲν θεὸς κύριος ψάλλεται. λέγε τὸ τῆς ἡμέρας τροπάριον. καὶ νῦν, θεοτοκίον τό. θεοτόκε σὺ εἶ ἡ ἄμπελος. εἰ δὲ ἀλληλούϊα, λέγε τὸ παρὸν τροπάριον, πρὸς ἦχον πλ β΄:~

Κύριε ὁ τὸ πανάγιόν σου πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις σου καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ' ἡμῶν, ἀλλ' ἐγκαίνισον ἡμῖν δεομένοις σου:~ στί. α΄.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός:~ στί. β΄.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου:~

Δόξα καὶ νῦν. θε.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. σὲ ἱκετεύομεν, πρέσβευε δέσποινα μετὰ τῶν ἀποστόλων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν:~

Κύριος ὁ θεὸς εὐλογητός. εὐλογητὸς κύριος ἡμέραν καθ' ἡμέραν. κατευοδώσαι ἡμῖν ὁ θεὸς τῶν σωτηρίων ἡμῶν. ὁ θεὸς ἡμῶν, ὁ θεὸς τοῦ σώζειν:~

Τρισάγιον. παναγία τριάς. πάτερ ἡμῶν. καὶ τὰ τροπάρια ταῦτα

Εὐλογητὸς εἶ χριστὲ ὁ θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σα-



Digitized by Google

γημένας, φιλάνθρωπε δόξα σοι :~ δόξα.

Ταχεῖαν καὶ σταθηρὰν δίδου παραμυθίαν τοῖς δού
λοις σου Ἰησοῦ, ἐν τῷ ἀκηδιάσαι τὰ πνεύματα ἡμῶν. μὴ
χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσι. μὴ μακρύ
νου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν, ἀλλ' ἀεὶ ἡ-
μᾶς πρόφθασον. ἔγγισον ἡμῖν ἔγγισον ὁ πανταχοῦ.
ὥσπερ καὶ τοῖς ἀποστόλοις σου πάντοτε συνῆς, οὕτω
καὶ τοῖς σὲ ποθοῦσιν ἕνωσον σεαυτὸν οἰκτίρμον, ἵνα
συνημμένοι σοι ὑμνῶμεν, καὶ δοξολογῶμεν τὸ πα-
νάγιον πνεῦμα :~ καὶ νῦν.

Ἡ ἐλπὶς καὶ προστασία, καὶ καταφυγὴ τῶν χριστια-
νῶν. τὸ ἀκαταμάχητον τεῖχος τῶν καταπονουμέ
νων. ὁ λιμὴν ὁ ἀχείμαστος. σὺ εἶ θεοτόκε ἄχραντε.
ἀλλ' ὡς τὸν κόσμον σώζουσα τῇ ἀπαύστῳ πρεσβεία
σου. μνήσθητι καὶ ἡμῶν παρθένε πανύμνητε :~

Τὸ κύριε ἐλέησον, μ΄. ὁ ἐν παντὶ καιρῷ, καὶ πάσῃ
ὥρα. μεθ' ὃ. κύριε ἐλέησον γ΄. δόξα καὶ νῦν, τὴν τι
μιωτέραν τῶν χερουβίμ. ἐν ὀνόματι κυρίου, εὐλό
γησον πάτερ. καὶ εἰ ἔστι μ΄. ποιοῦμεν τὰς μετανοίας ὡς
προεγράφη. μετὰ δὲ τὴν τελευταίαν μετάνοιαν,
λέγομεν τὴν εὐχὴν τοῦ ἁγίου μαρδαρίου. δέσποτα
θεὲ, πάτερ παντοκράτορ. ἥτις προεγράφη:~

τέλος τῆς τρίτης ὥρας.

## μεσώριον τῆς αὐτῆς ὥρας.

Μετὰ τὸ εὐλογητὸν, τρισάγιον. παναγία τριάς, πάτερ ἡμῶν. δεῦτε προσκυνήσωμεν, γ΄.

Digitized by Google

Ὑψώσωσε κέ, ὅτι ὑπέλαβές με· καὶ οὐκ εὔφρα-
νας τοὺς ἐχθρούς μου ἐπ᾽ ἐμέ. κύριε ὁ θεός μου
ἐκέκραξα πρὸς σὲ καὶ ἰάσομαι· κέ ἀνήγαγες ἐξ
ᾅδου τὴν ψυχήν μου. ἔσωσάς με ἀπὸ τῶν καταβαινόν-
των εἰς λάκκον. ψάλατε τῷ κῷ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξο-
μολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. ὅτι ὀργὴ ἐν τῷ
θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ. τὸ ἑσπέρας
αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις.
ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν
αἰῶνα. κέ ἐν τῷ θελήματί σου, παράσχου τῷ κάλλει-
μου δύναμιν. ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου καὶ ἐγε-
νήθην τεταραγμένος. πρὸς σὲ κέ κεκράξομαι, καὶ
πρὸς τὸν θεόν μου δεηθήσομαι. τίς ὠφέλεια ἐν τῷ
αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν. μὴ
ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;
ἤκουσε κέ καὶ ἠλέησέ με. κέ ἐγενήθη βοηθός μου. ἔστρε-
ψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί. διέρρηξας τὸν
σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνῃ. ὅπως ἂν
ψαλλῇ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ. κύριε ὁ θεός
μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι :~

Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἀπεκα-
λύφθησαν αἱ ἁμαρτίαι. μακάριος ἀνήρ, ᾧ οὐ
μὴ λογίσηται κέ ἁμαρτίαν, οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐ-
τοῦ δόλος. ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου ἀπὸ τοῦ
κράζειν με ὅλην τὴν ἡμέραν. ὅτι ἡμέρας καὶ νυκτὸς ἐβα-
ρύνθη ἐπ᾽ ἐμὲ ἡ χείρ σου. ἐστράφην εἰς ταλαιπωρίαν,
ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν. τὴν ἀνομίαν μου ἐγνώ-
ρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. εἶπα ἐξα-


Digitized by Google

γορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος, ἐν καιρῷ εὐθέτῳ. πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι. σύ μου εἶ καταφυγὴ, ἀπὸ θλίψεως τῆς περιεχούσης με. τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. συνετιῶ σε, καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ. ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου. μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις. ἐν κημῷ καὶ χαλινῷ, τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ κύριον, ἔλεος κυκλώσει. εὐφράνθητε ἐπὶ τὸν κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ:~

Εἰσάκουσον ὁ θεὸς τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου. ἀπὸ τῶν περάτων τῆς γῆς, πρὸς σὲ ἐκέκραξα. ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με. ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου. πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ. παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας. σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. ὅτι σὺ ὁ θεὸς εἰσήκουσας τῶν εὐχῶν μου. ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου. ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προσθήσεις. τὰ ἔτη αὐτοῦ, ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς, διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ θεοῦ. ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει. οὕτω ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας. τοῦ ἀποδοῦναί με τὰς εὐχάς

μου, ἡμέραν ἐξ ἡμέρας :~

Δόξα καὶ νῦν. Τρισάγιον. παναγία τριάς. πάτερ ἡμῶν, ὅτι σοῦ. καὶ τὰ τροπάρια ταῦτα.

Ὁ θεὸς τῶν πατέρων ἡμῶν, ὁ ὢν ἀεὶ μεθ᾿ ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσης τὸ ἔλεός σου ἀφ᾿ ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν :~ δόξα.

Οἱ μάρτυρές σου κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ θεοῦ ἡμῶν. ἔχοντες τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον. ἔθραυσαν καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. αὐτῶν ταῖς ἱκεσίαις χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν. καὶ νῦν.

Τεῖχος ἀκαταμάχητον ἡμῶν τῶν χριστιανῶν ὑπάρχεις θεοτόκε παρθένε. πρὸς σὲ γὰρ καταφεύγοντες, ἄτρωτοι διαμένομεν. καὶ πάλιν ἁμαρτάνοντες, ἔχομεν σὲ πρεσβεύουσαν. διὸ εὐχαριστοῦντες βοῶμέν σοι, χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ :~

Τὸ κύριε ἐλέησον, μ΄. δόξα καὶ νῦν, τὴν τιμιωτέραν τῶν χερουβίμ. ἐν ὀνόματι κυρίου εὐλόγησον πάτερ. ὁ ἱερεύς. δι᾿ εὐχῶν τῶν ἁγίων πατέρων. τὰς τρεῖς μεγάλας μετανοίας, μετὰ καὶ τῆς εὐχῆς, τοῦ ὁσίου ἐφραίμ, εἶθ᾿ οὕτως, τὴν παροῦσαν εὐχὴν, τοῦ μεγάλου βασιλείου.

Κύριε ὁ θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις, καὶ τὴν τοῦ παναγίου πνεύματος δωρεὰν τοῖς σοῖς μαθηταῖς καὶ ἀποστόλοις καταπέμψας, καὶ τὰ τούτων χείλη ἐν πυρίνων γλωσσῶν ἀνοίξας δυνάμει σου, διάνοιξον καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰ χείλη, καὶ δίδαξον ἡμᾶς πῶς δεῖ, καὶ ὑπὲρ ὧν χρὴ προσεύχεσθαι.



Digitized by Google

καὶ κυβέρνησον ἡμῶν τὴν ζωήν, ὁ εὔδιος τῶν χειμαζομένων λιμήν, καὶ γνώρισον ἡμῖν ὁδὸν ἐν ᾗ πορευσόμεθα. πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις ἡμῶν, καὶ πνεύματι ἡγεμονικῷ, τὸ τῆς διανοίας ἡμῶν στήριξον ὀλισθηρόν· ἵνα καθ᾽ ἑκάστην ἡμέραν τῷ πνεύματί σου τῷ ἀγαθῷ πρὸς τὸ συμφέρον ὁδηγούμενοι, καταξιωθῶμεν ποιεῖν τὰς ἐντολάς σου, καὶ τῆς σῆς ἀεὶ μνημονεύειν ἐνδόξου καὶ ἐρευνητικῆς τῶν πεπραγμένων ἀνθρώποις παρουσίας. καὶ μὴ τοῖς φθειρομένοις τοῦ κόσμου τούτου συναπατᾶσθαι τερπνοῖς, ἀλλὰ τῶν μελλόντων ὀρέγεσθαι τῆς ἀπολαύσεως ἐνίσχυσον θησαυρῶν. ὅτι εὐλογητὸς, καὶ αἰνετὸς ὑπάρχεις ἐν πᾶσι τοῖς ἁγίοις σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

ἑξῆς δὲ ὥρας ἄρχου τῆς ἕκτης.

## ὥρα ἕκτη.

Ὁ προεστὼς, δεῦτε προσκυνήσωμεν ἐκ γ΄, μετανοίας, γ΄.

Ὁ θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με. καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με. ὁ θεὸς εἰσάκουσον τῆς προσευχῆς μου. ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου, ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ᾽ ἐμὲ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου. καὶ οὐ προέθεντο τὸν θεὸν ἐνώπιον αὐτῶν. ἰδοὺ γὰρ ὁ θεὸς βοηθεῖ μοι, καὶ ὁ κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου. ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου. ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς. ἑκουσίως θύσω σοι. ἐξομολογήσομαι τῷ ὀνόματί σου κύριε ὅτι ἀγαθόν,

Digitized by Google

ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με. καὶ ἐν τοῖς ἐχθροῖς μου, ἐπεῖδεν ὁ ὀφθαλμός μου :~

Ἐνώτισαι ὁ θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου. πρόσχες μοι, καὶ εἰσάκουσόν μου. ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου καὶ ἐταράχθην, ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. ὅτι ἐξέκλιναν ἐπ᾽ ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί. καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ᾽ ἐμέ. φόβος καὶ τρόμος ἦλθεν ἐπ᾽ ἐμέ, καὶ ἐκάλυψέ με σκότος. καὶ εἶπα τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι καὶ καταπαύσω. ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. προσεδεχόμην τὸν θεὸν τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος. καταπόντισον κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν, ἐπὶ τὰ τείχη αὐτῆς. καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία. καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν. καὶ εἰ ὁ μισῶν με ἐπ᾽ ἐμὲ ἐμεγαλοῤῥημόνησεν, ἐκρύβην ἂν ἀπ᾽ αὐτοῦ. σὺ δὲ ἄνθρωπε ἰσόψυχε ἡγεμών μου καὶ γνωστέ μου. ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα. ἐν τῷ οἴκῳ τοῦ θεοῦ, ἐπορεύθημεν ἐν ὁμονοίᾳ, ἐλθέτω δὴ θάνατος ἐπ᾽ αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες. ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν. ἐγὼ πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ὁ κύριος εἰσήκουσέ μου. ἑσπέρας καὶ πρωὶ, καὶ μεσημβρείας, διηγήσομαι καὶ ἀπαγ-

γελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου, λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί. εἰσακούσεται ὁ θεός, καὶ ταπεινώσει αὐτούς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα; ὅτι οὐκ ἐφοβήθησαν τὸν θεόν. ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι. ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ. διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν. ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. ἐπίρριψον ἐπὶ κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. σὺ δὲ ὁ θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς. ἄνδρες αἱμάτων καὶ δολιότητος, οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν, ἐγὼ δὲ κύριε, ἐλπιῶ ἐπὶ σέ:~

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται, ἐρεῖ τῷ κυρίῳ, ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου ὁ θεός μου καὶ ἐλπιῶ ἐπ' αὐτόν. ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν. καὶ ἀπὸ λόγου ταραχώδους. ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι. καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας. ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου. ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου. πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοή-

Digitized by Google

σεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. ὅτι σὺ κύριε ἡ ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου. οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν. σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου. κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ. μετ' αὐτοῦ εἰμὶ ἐν θλίψει. ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν. μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου :~ δόξα καὶ νῦν. ἀλληλούϊα ἐκ γ'. καὶ εἰ μὲν ψάλλεται τὸ θεὸς κύριος, λέγομεν τὸ τῆς ἡμέρας τροπάριον. εἰ δὲ ἀλληλούϊα, τὸ παρὸν τροπάριον, εἰς ἦχον β'.

Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ, τῷ σταυρῷ προσηλώσας τὴν ἐν τῷ παραδείσῳ τολμηθεῖσαν τῷ Ἀδὰμ ἁμαρτίαν, καὶ τὸ τῶν πταισμάτων ἡμῶν τὸ χειρόγραφον, διάρρηξον χριστὲ ὁ θεὸς καὶ σῶσον ἡμᾶς :~ στίχος α'. ἐνώτισαι ὁ θεὸς τὴν προσευχήν μου. στίχος β'. ἐγὼ πρὸς τὸν θεὸν ἐκέκραξα :~ δόξα καὶ νῦν. θεοτοκίον.

Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα. σὺ τὸν ἐκ σοῦ γεννηθέντα, δυσώπησον θεοτόκε παρθένε. πολλὰ γὰρ ἰσχύει δέησις μητρός, πρὸς εὐμένειαν δεσπότου. μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστὶ καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος :~

Digitized by Google

τροπάρ. τῆς προφητείας. ὃ ἡ προφητεία. εἶτα.

Ψ αχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα. βοήθησον ἡμῖν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. κύριε ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου:~

Ψ εἶτα τρισάγιον παναγία τριάς. πάτερ ἡμῶν. ὃ τὰ τροπάρια ταῦτα εἰς ἦχον β'.

Ε είαν εἰργάσω ἐν μέσῳ τῆς γῆς χριστὲ ὁ θεός. ἐπὶ σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ ἔθνη κράζοντα, κύριε δόξα σοι. δόξα. μετάνοιαν α'.

Ψ Ἰω ἄχραντον εἰκόνα σου προσκυνοῦμεν ἀγαθέ. αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν χριστὲ ὁ θεός. βουλήσει γὰρ ηὐδόκησας ἀνελθεῖν ἐν τῷ σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ. ὅθεν εὐχαρίστως βοῶμέν σοι, χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον:~ καὶ νῦν. θεοτ.

Ε ὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς θεοτόκε. βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα. δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου. εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ χαῖρε βοῶμέν σοι, ὡς ποτὲ ὁ γαβριὴλ ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος:~

Ψ αῦτα λέγονται, τῇ δευτέρᾳ τῇ γ', καὶ τῇ πέμπτῃ, ὅτε οὐκ ἔχει ἡ ἡμέρα κοντάκιον. τὸ δὲ ὑποτεταγμένον, λέγεται τῇ τετράδι, καὶ τῇ παρασκευῇ. ἦχος β'. σταυροθεοτ.

Ψ προδεδοξασμένη ὑπάρχεις θεοτόκε παρθένε ὕμνου

Digitized by Google

μησε. διὰ γὰρ τοῦ σταυροῦ τοῦ υἱοῦ σου, κατεβλήθη ὁ ἅδης, καὶ ὁ θάνατος τέθνηκε. νεκρωθέντες ἀνέστημεν, τῆς ζωῆς ἠξιώθημεν. τὸν παράδεισον ἐλάβομεν. τὴν ἀρχαίαν ἀπόλαυσιν, διὸ ὡς χαρίζομεν ὑμνοῦντες, δοξολογοῦμεν ὡς κραταιὸν χριστὸν τὸν θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Τὸ κύριε ἐλέησον, μ΄. ἡ ὡχή, ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρα. μεθ' ἣν κύριε ἐλέησον, γ΄. δόξα, τὴν τιμιωτέραν. μετανοίας ὡς εἴρηται εἰ ἔστι τεσσαρακοστή, καὶ ἀπόλυσις.

## μεσώριον τῆς ἕκτης ὥρας.

Τὸ δεῦτε προσκυνήσωμεν ἐκ γ΄. καὶ τοὺς ψαλμούς.

Ἐλέησόν με ὁ θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος. ὅλην τὴν ἡμέραν πολεμῶν, ἔθλιψέ με. κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν. ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους. ἡμέρας οὐ φοβηθήσομαι. ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ. ἐν τῷ θεῷ ἐπαινέσω τοὺς λόγους μου. ἐπὶ τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ. ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο. κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν. παροικήσουσι, καὶ κατακρύψουσιν. αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι. καθάπερ ὑπέμειναν τὴν ψυχήν μου, ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτούς. ἐν ὀργῇ λαοὺς κατάξεις. ὁ θεὸς τὴν ζωήν μου ἐξήγγειλά σοι. ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου. ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω. ἐν ᾗ ἂν ἡμέρα ἐπικαλέσωμαί σε, ἰδοὺ ἔγνων, ὅτι θεός μου εἶ σύ. ἐπὶ τῷ θεῷ αἰνέσω ῥῆμα. ἐπὶ τῷ κυρίῳ αἰνέσω λόγον. ἐπὶ

τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. ἐν ἐμοὶ ὁ θεός, εὐχαὶ ἃς ἀποδώσω αἰνέσεώς σου, ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος· εὐαρεστήσω ἐνώπιον κυρίου, ἐν φωτὶ ζώντων :~

Ἐλέησόν με ὁ θεός ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου. καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθοι ἡ ἀνομία. κεκράξομαι πρὸς τὸν θεὸν τὸν ὕψιστον, τὸν θεὸν τὸν εὐεργετήσαντά με. ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με· ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με. ἐξαπέστειλεν ὁ θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων· ἐκοιμήθην τεταραγμένος· υἱοὶ ἀνθρώπων οἱ ὀδόντες αὐτῶν, ὅπλα καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα. ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου· παγίδα ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου. ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσον εἰς αὐτόν. ἑτοίμη ἡ καρδία μου ὁ θεός, ἑτοίμη ἡ καρδία μου. ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. ἐξεγέρθητι ἡ δόξα μου· ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα. ἐξεγερθήσομαι ὄρθρου. ἐξομολογήσομαί σοι ἐν λαοῖς κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν, ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου :~

Ὁ θεὸς εἰς τὴν βοήθειάν μου, πρόσχες, κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον :~

καὶ τὰ λοιπὰ ζήτει ἐν τῷ μεσονυκτικῷ. δόξα καὶ νῦν. τρισάγιον. παναγία τριάς. πάτερ ἡμῶν, καὶ τὰ παρόντα τροπάρια.

Σῶσον κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος. καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ σταυροῦ σου πολίτευμα :~ δόξα.

Τὰς ἀλγηδόνας τῶν ἁγίων ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι κύριε. καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα :~ καὶ νῦν.

Τῇ πρεσβείᾳ κύριε πάντων τῶν ἁγίων καὶ τῆς θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων. Τὸ κύριε ἐλέησον, μ΄. δόξα καὶ νῦν, τὴν τιμιωτέραν· ἐν ὀνόματι κυρίου εὐλόγησον πάτερ. ὁ ἱερεὺς, δι' εὐχῶν. εἶτα ποιοῦμεν τὰς μεγάλας τρεῖς μετανοίας, μετὰ καὶ τῆς εὐχῆς. καὶ εὐθὺς τὴν παροῦσαν εὐχὴν, τοῦ μεγάλου βασιλείου :~

Θεὲ καὶ κύριε τῶν δυνάμεων, καὶ πάσης κτίσεως δημιουργὲ, ὁ διὰ σπλάγχνα ἀνεικάστου ἐλέους σου, τὸν μονογενῆ σου υἱὸν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καταπέμψας ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν. καὶ διὰ τοῦ τιμίου αὐτοῦ σταυροῦ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν διαρρήξας, καὶ θριαμβεύσας ἐν αὐτῷ τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους. αὐτὸς δέσποτα φιλάνθρωπε, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν, τὰς εὐχαριστηρίους ταύτας καὶ ἱκετηρίους ἐντεύξεις. καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς ὀλεθρίου καὶ σκοτεινοῦ παραπτώματος, καὶ πάντων τῶν κακῶσαι ἡμᾶς ζητούντων, ὁρατῶν καὶ ἀοράτων ἐχ-

Digitized by Google

θρῶν. καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν, εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ τῷ πόθῳ σου τρῶσον ἡμῶν τὰς ψυχάς, ἵνα πρὸς σὲ διαπαντὸς ἀτενίζοντες, καὶ τῷ παρὰ σοῦ φωτὶ ὁδηγούμενοι, σὲ τὸ ἀπρόσιτον, καὶ ἀΐδιον κατοπτεύοντες φῶς, ἀκατάπαυστόν σοι τὴν ἐξομολόγησιν καὶ εὐχαριστίαν ἀναπέμπωμεν, τῷ ἀνάρχῳ πατρὶ, σὺν τῷ μονογενεῖ σου υἱῷ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

Καὶ εἰ μὲν θεὸς κύριος ἔψαλτο, τὰ τυπικὰ λέγομεν ὧδε. εἰ δὲ ἀλληλούϊα, ὕστερον θὲς αὐτὰ μετὰ τὴν ἐννάτην ὥραν.

Ἀρχὴ τῶν τυπικῶν. λέγε οὕτως.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, εὐλογητὸς εἶ κύριε.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ:~

Μέχρι τέλους. ζήτει εἰς τὸν ἑξάψαλμον, μετὰ δὲ τὴν συμπλήρωσιν αὐτοῦ, λέγομεν τὸ, δόξα τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι:~

Αἴνει ἡ ψυχή μου τὸν κύριον, αἰνέσω κύριον ἐν τῇ ζωῇ μου. ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω. Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία. Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες

οἱ διαλο-

Digitized by Google

οἱ διαλογισμοὶ αὐτοῦ. Μακάριος οὗ ὁ θεὸς Ἰακὼβ, βοηθὸς αὐτοῦ. ἡ ἐλπὶς αὐτοῦ, ἐπὶ κύριον τὸν θεὸν αὐτοῦ. Τὸν ποιήσαντα τὸν οὐρανὸν τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι. Κύριος λύει πεπεδημένους, κύριος σοφοῖ τυφλούς, κύριος ἀνορθοῖ κατερραγμένους, κύριος ἀγαπᾷ δικαίους, κύριος φυλάσσει τοὺς προσηλύτους. Ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, ὁ θεός σου Σιὼν, εἰς γενεὰν καὶ γενεάν:~

Ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι, ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ, ὁ θεὸς θανάτῳ, θάνατον πατήσας. εἷς ὢν τῆς ἁγίας τριάδος, συνδοξαζόμενος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, σῶσον ἡμᾶς:~

Εἰ δέ μὲν ἔχει, ὅτι τῇ μ[illegible] τυπικῶν ψαλμούς. [illegible] στοτα καὶ Ἰησοῦ Χριστὲ ὁ [illegible] οὕτως. μνήσθητι ἡμῶν κύριε, [illegible] καὶ αὖθις μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. [illegible] τὸ τέλος τῶν στίχων, [illegible] χορῶν, λέγουσιν οὕτως. μνήσθητι ἡμῶν κύριε, [illegible] ἐν τῇ βασιλείᾳ σου. μνήσθητι ἡμῶν κύριε ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου:~

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασ-



Digitized by Google

βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν, πολὺς ἐν τοῖς οὐρανοῖς:~ Καὶ ἐὰν μὲν ἐστὶ μ', ἑνούμενοι οἱ δύο χοροί, ψάλλουσι μετὰ μέλους τό, Μνήσθητι ἡμῶν. καὶ μετάνοιαν α'. εἰς τὸ καθ' ἕν. εἰ δ' οὖν χῦμα. δόξα καὶ νῦν.

Μνήσθητι ἡμῶν κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Μνήσθητι ἡμῶν δέσποτα, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Μνήσθητι ἡμῶν ἅγιε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Χορὸς ὁ ἐπουράνιος, ὑμνεῖ σε καὶ λέγει, ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. στίχ. Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν, οὐ μὴ καταισχυνθῇ. Χορὸς ὁ ἐπουράνιος, ὑμνεῖ σε καὶ λέγει, ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαώθ. δόξα. Χορὸς ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων, μετὰ πασῶν τῶν ἐπουρανίων δυνάμεων, ὑμνεῖ σε, καὶ λέγει, ἅγιος. ἅγιος. ἅγιος:~

Καὶ νῦν. Πιστεύω εἰς ἕνα θεόν.

Digitized by Google

Ἄνες, ἄφες, συγχώρησον ὁ θεὸς τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια, καὶ τὰ ἀκούσια· τὰ ἐν ἔργῳ καὶ λόγῳ· τὰ ἐν γνώσει, καὶ ἀγνοίᾳ· τὰ ἐν νυκτὶ, καὶ ἡμέρᾳ· τὰ κατὰ νοῦν καὶ διάνοιαν· τὰ πάντα ἡμῖν συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος :~ Καὶ εἰ μὲν ἔστι δεσποτικὴ ἑορτὴ, λέγομεν τὸ ταύτης κοντάκιον. εἰ δὲ τύχοι ὁ ἅγιος ἑορταζόμενος, ἐν ταὐτῷ λέγεται πρῶτον τὸ τοῦ ἁγίου· δόξα καὶ νῦν, τὸ τῆς ἑορτῆς. εἰ δ' ἀλληλούια ἐψάλλετο, ἢ οὐκ ἔστι δεσποτικὴ ἑορτὴ, λέγε πρῶτον, τὸ τῆς μεταμορφώσεως· εἶτα, τὸ τῆς ἡμέρας. τῇ δευτέρᾳ, τῶν ἀσωμάτων· δόξα, μετὰ τῶν ἁγίων ἀνά. καὶ νῦν. προστασία τῶν χριστιανῶν. ὡσαύτως, τῇ τρίτῃ, τοῦ προδρόμου, καὶ καθεξῆς. τὸ τῆς μεταμορφώσεως.

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ μαθηταί σου, τὴν δόξαν σου Χριστὲ ὁ θεὸς ἐθεάσαντο· ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν· ὅτι σὺ ὑπάρχεις ἀληθῶς τοῦ πατρὸς τὸ ἀπαύγασμα :~

τῇ β', κοντάκιον τῶν ἀσωμάτων. ἦχος β'.

Ἀρχιστράτηγοι θεοῦ, λειτουργοὶ θείας δόξης. τῶν ἀνθρώπων ὁδηγοὶ, καὶ ἀρχηγοὶ ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρεσβεύσατε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν ἀσωμάτων ἀρχιστράτηγοι :~ τῇ τρίτῃ, τοῦ προδρόμου, κοντάκιον. ἦχος β'. τὰ ἄνω ζητῶν.

Προφῆτα θεοῦ, καὶ πρόδρομε τῆς χάριτος, τὴν κάραν τὴν σὴν ὡς ῥόδον ἱερώτατον ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν. καὶ γὰρ πάλιν ὡς πρότερον ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.



Digitized by Google

τῇ τετράδι καὶ τῇ παρασκευῇ, τοῦτο. ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ, ἑκουσίως τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι χριστὲ ὁ θεός. εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς σε ὑμνοῦντας. νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων. τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης ἀήττητον τρόπαιον.

τῇ πέμπτῃ, τῶν ἁγίων ἀποστόλων. ἦχος β΄.

Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους κήρυκας, τὴν κορυφὴν τῶν μαθητῶν σου κύριε, προσελάβου εἰς ἀπόλαυσιν τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν. τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια. τῇ αὐτῇ ἡμέρᾳ, τοῦ ἁγίου Νικολάου. ἦχος γ΄. ἡ παρθένος σήμερον.

Ἐν τοῖς μύροις ἅγιε, ἱερουργὸς ἀνεδείχθης. τοῦ χριστοῦ γὰρ ὅσιε τὸ εὐαγγέλιον πληρώσας. ἔθηκας τὴν ψυχήν σου ὑπὲρ λαοῦ σου, ἔσωσας τοὺς ἀθῴους, ἐκ τοῦ θανάτου. διὰ τοῦτο ἡγιάσθης, ὡς μέγας μύστης θεοῦ τῆς χάριτος :~

Τῷ σαββάτῳ λέγε πρῶτον τοῦ ἁγίου τῆς μονῆς, δόξα. μετὰ τῶν ἁγίων. καὶ νῦν τὸ παρὸν μαρτυρικὸν τροπάριον. ἦχος πλ. δ΄.

Ὡς ἀπαρχὰς τῆς φύσεως τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι κύριε, τοὺς θεοφόρους μάρτυρας. ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ, τὴν ἐκκλησίαν σου διὰ τῆς θεοτόκου συντήρησον πολυέλεε.

Γίνωσκε ὅτι, ὅταν λέγεις τὸ κοντάκιον τῆς ἡμέρας. λέγε καὶ τοῦ ἁγίου τῆς μονῆς.

τοῦτο δὲ λέγεται καθ᾽ ἑκάστην, ἐκτὸς σαββάτου.

Digitized by Google

Προστασία τῶν χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεὶ θεοτόκε τῶν τιμώντων σε:~

Τὸ κύριε ἐλέησον. μ΄. καὶ εἰ ἔστι μ΄. τὴν τιμιωτέραν τῶν χερουβίμ. ἐν ὀνόματι κυρίου εὐλόγησον πάτερ. ὁ ἱερεύς. ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς. καὶ τὰς τετυπωμένας μετανοίας· εἶτα, τρισάγιον παναγία τριάς· πάτερ ἡμῶν· κύριε ἐλέησον, ιβ΄. εἶτα τὸ ὄνομα κυρίου εὐλογημένον καὶ τὸν ψαλμόν· εἰ δ᾽ οὐκ ἔστι μ΄. μετὰ τὸ κύριε ἐλέησον, μ΄. ὠδή.. τό, εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἐκ γ΄. δόξα καὶ νῦν.

Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ. διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου· ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου. ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν. μεγαλύνατε τὸν κύριον σὺν ἐμοί· καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. ἐξεζήτησα τὸν κύριον καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με. προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ· οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ, ἔσωσεν αὐτόν. παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς. γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος· μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ᾽ αὐτόν. φοβήθητε τὸν κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις



Digitized by Google

αὐτόν· πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. δεῦτε τέκνα ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς· τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς. παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον· ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους. καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν, ἐρρύσατο αὐτούς. ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν, ῥύσεται αὐτοὺς ὁ κύριος. φυλάσσει κύριος πάντα τὰ ὀστᾶ αὐτῶν. ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι. λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν:~

δόξα καὶ νῦν· καὶ λέγεται ἀπόλυσις·

Περὶ τῆς τροφῆς, ὕμνησον δ' αὖθις τὸν κτίστην· ἐρχόμενοι δὲ εἰς τὴν τράπεζαν, λέγομεν·

Ὑψώσω σε ὁ θεός μου ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα, τοῦ αἰῶνος. μέγας κύριος καὶ αἰνετὸς σφόδρα. καὶ τῆς μεγαλωσύνης αὐτοῦ, οὐκ ἔστι πέρας· γενεὰ, καὶ γενεὰ ἐπαινέσει τὰ

ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι. τὴν μεγα-
λοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ
τὰ θαυμάσιά σου διηγήσονται, καὶ τὴν δύναμιν τῶν φο-
βερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.
μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ
τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. οἰκτίρμων καὶ ἐλεή-
μων ὁ κύριος. μακρόθυμος καὶ πολυέλεος. χρηστὸς κύριος
τοῖς σύμπασι. καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ, ἐπὶ πάντα τὰ ἔργα
αὐτοῦ, ἐξομολογησάσθωσάν σοι κύριε πάντα τὰ ἔργα σου. καὶ
οἱ ὅσιοί σου, εὐλογησάτωσάν σε. δόξαν τῆς βασιλείας σου
ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι. τοῦ γνωρίσαι
τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς με-
γαλοπρεπείας τῆς βασιλείας σου. ἡ βασιλεία σου βασι-
λεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πά-
σῃ γενεᾷ καὶ γενεᾷ. πιστὸς κύριος ἐν πᾶσι τοῖς λόγοις
αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. ὑποστηρίζει κύ-
ριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάν-
τας τοὺς κατερραγμένους. οἱ ὀφθαλμοὶ πάντων εἰς
σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐ-
καιρίᾳ. ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς
πᾶν ζῷον εὐδοκίας. δίκαιος κύριος ἐν πάσαις ταῖς
ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.
ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι
τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. θέλημα τῶν
φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσα-
κούσεται καὶ σώσει αὐτούς. φυλάσσει κύριος πάντας
τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξο-
λοθρεύσει. αἴνεσιν κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλο-



Digitized by Google

γέτω πᾶσα σάρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος :~

[illegible] ιων. κε ἐλέησον ἐκ γ'. καὶ ὁ ἱερεὺς εὐλογεῖ τ[illegible] πόμα καὶ λέγει τὴν ἁγίαν τῆς τραπέζης.

Χε ὁ θς ἡμῶν εὐλόγησον τὴν βρῶσιν, καὶ τὴν πόσιν τῶν δούλων σου, ὅτι ἅγιος εἶ πάντοτε· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν :~

Κ[illegible] τὸ γεῦσασθαι, ποιοῦντος τοῦ διακόνου τὴν στάσιν, ἀνιστάμενοι λέγομεν·

Εὐλογητὸς ὁ θς, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς, ἐκ νεότητος ἡμῶν· ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύοιμεν εἰς πᾶν ἔργον ἀγαθόν, ἐν Χῷ Ἰυ τῷ κῷ ἡμῶν μεθ' οὗ σοι δόξα πρέπει, κράτος, τιμή, καὶ προσκύνησις, σὺν ἁγίῳ πνι, εἰς τοὺς αἰῶνας, ἀμήν. Δόξα σοι κε. δόξα σοι ἅγιε. δόξα σοι βασιλεῦ, ὅτι ἔδωκας ἡμῖν βρώματα εἰς εὐφροσύνην. πλήρωσον ἡμᾶς καὶ πνς ἁγίου· ἵνα εὑρεθῶμεν ἐνώπιόν σου εὐάρεστοι, καὶ μὴ αἰσχυνόμενοι, ὅταν ἀποδώσῃς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ·

Δ[illegible] καὶ νῦν. κε ἐλέησον, κε ἐλέησον, κε εὐλόγησον. καὶ [illegible] μετάνοιαν ὁ μέλλων ὑψῶσαι τὴν παναγίαν, λέγει οὕτως. εὐλογεῖτε πρέσβυτεροι ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ. καὶ λαβὼν τὴν παναγίαν ἄκροις δακτύλοις τῶν ἀμφοτέρων χειρῶν, ὑψοῖ αὐτὴν μικρόν. λέγων. μέγα τὸ ὄνομα. καὶ ἡμεῖς. τῆς ἁγίας τριάδος.

[illegible] παναγία θκε βοήθει ἡμῖν·

Digitized by Google

καὶ ὑμεῖς. Ταῖς αὐτῆς πρεσβείαις, ὁ θεὸς ἐλέησον, καὶ σῶσον ἡμᾶς. εἶτα, δ',

Μακαριζόμενόν σε πᾶσαι αἱ γενεαὶ θεοῦ παρθένε· ἐν σοὶ γὰρ ὁ ἀχώρητος χριστὸς ὁ θεὸς ἡμῶν, χωρηθῆναι ηὐδόκησε. μακάριοι ἐσμὲν καὶ ἡμεῖς προστασίαν σε ἔχοντες. ἡμέρας γὰρ καὶ νυκτὸς πρεσβεύεις ὑπὲρ ἡμῶν, καὶ τὰ σκῆπτρα τῆς βασιλείας, ταῖς σαῖς ἱκεσίαις κραταιοῦνται. διὸ ἀνυμνοῦντες βοῶμέν σοι, χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ καὶ διὰ σοῦ μεθ' ἡμῶν·

Εἶτα, ἄξιόν ἐστιν ὡς ἀληθῶς. πληρουμένης γοῦν τῆς παναγίας, καὶ ἡμῶν ἀναθέντων, πίνομεν ἀνὰ ἑνὸς ποτήριον εἰς πρεσβείαν τῆς ὑπεραγίας θεοτόκου. εἶτα λέγει ὁ ἱερεύς.

Ἐλεήμων, καὶ οἰκτίρμων ὁ κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. εἶτα, δ',

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον κυρίου πορευσόμεθα. ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν, ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί. φυλαὶ κυρίου μαρτύριον τῷ Ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι κυρίου. ὅτι ἐκεῖ ἐκάθησαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ. ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου. καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου, ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. ἕνεκα τοῦ οἴκου κυρίου τοῦ θεοῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά σοι:~ Τρισάγιον παναγία τριάς, σὺν τῷ πάτερ ἡμῶν. καὶ εἰ μὲν ἐστι δεσποτικὴ ἑορτή, λέγεται τὸ κοντάκιον. εἰ δ' οὖν, ταῦτα.

Digitized by Google

Ὁ ἐν μέσῳ τῶν μαθητῶν παραγενόμενος σῶτερ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ' ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Δόξα, ὁ θεὸς τῶν πατέρων ἡμῶν. καὶ νῦν. τῇ πρεσβείᾳ κύριε πάντων τῶν ἁγίων. οἱ ἀπογεγράφηκασιν. κύριε ἐλέησον. κύριε ἐλέησον. κύριε εὐλόγησον.

Εὐλογητὸς ὁ θεὸς, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς, ἐκ τῶν αὐτοῦ πλουσίων δωρεῶν. τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἑσπέρας δὲ ἐρχόμενοι ἐν τῇ τραπέζῃ, λέγομεν τό, φάγονται πένητες, καὶ τὰ λοιπά, ἐν τῷ τέλει τοῦ ἑσπερινοῦ. Περὶ τῆς ὑψώσεως τῆς παναγίας, ὅπως γέγονε, καὶ διατί.

Μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φρικτὴν ἀνάστασιν, καὶ τὴν τοῦ ἁγίου πνεύματος κάθοδον, καὶ ἕως τοῦ μερισμοῦ τῶν ἁγίων ἀποστόλων, διὰ τὸ κήρυγμα ἦσαν πάντες οἱ ἀπόστολοι ὁμοθυμαδόν. καὶ μετὰ τὴν ᾠδὴν ἐν τῷ ἀρίστῳ ἀνακεκλιμένοι, ἀφιέντες κενὸν τόπον, ἐν αὐτῷ προσκεφάλαιον ἐπιθέσαν. καὶ ἐπὶ τῷ προσκεφαλαίῳ τμῆμα ἄρτου. ἐξ οὗ ἦθιον εἰς μοῖραν Χριστοῦ. μετὰ δὲ τὸ ἄριστον ἀνιστάμενοι καὶ εὐχόμενοι καὶ εὐχαριστοῦντες, ἐλάμβανον τὸ τμῆμα τοῦ ἄρτου, ὃ εἰς τὴν τοῦ κυρίου ἐπικέκλιτο μοῖραν. τοῦτο δὲ ὑψοῦντες, ἔλεγον. δόξα σοι ὁ θεὸς ἡμῶν δόξα σοι. δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. καὶ ἀπὸ τοῦ μέγα τὸ ὄνομα, τὸ Χριστὸς ἀνέστη ἕως τῆς ἀναλήψεως. ἔκτοτε δὲ, μέγα τὸ ὄνομα τῆς ἁγίας τριάδος. κύριε Ἰησοῦ Χριστὲ βοήθει ἡμῖν. καὶ ταῦτα μὲν ἐτελεῖτο οὕτως. ἐποίει δὲ καὶ τοῦτο ἕκαστος αὐτῶν ἔνθα ἔτυχε, μέχρι

Digitized by Google

τῆς κοιμήσεως τῆς θκῦ. ὅτε δὲ τὴν παγκόσμιον σύναξιν διὰ νεφελῶν ἐποιήσαντο. διὰ τὴν τῆς θκῦ δεσποίνης μετάστασιν, τὰ εἰκότα τελέσαντες, μετὰ τὴν ταφὴν αὐτῆς δηλονότι τῇ τρίτῃ ἡμέρᾳ παραμυθίαν ποιούμενοι, καὶ μετὰ τὸ ἄριστον ἀναστάντες, τὸ τμῆμα, τοῦ ἄρτου τοῦ εἰς ὄνομα κειμένου Χῦ κατὰ τὸ εἰωθὸς ἀνυψώσαντες, καὶ τὸ μέγα τὸ ὄνομα προσειπόντες, ὢ θαύματος παραδόξου, ἡ νεκρὰ ὡς πρὶν ζῶσα μετὰ νεφέλης καὶ φωτοποιῶν ἀγγέλων παρισταμένων αὐτῇ, ἐπὶ τῷ ἀέρι ἐπιφαίνεται. χαίρετε λέγουσα, ὅτι μεθ᾽ ἡμῶν εἰμὶ πάσας τὰς ἡμέρας. τοῦτο ἐκ τοῦ υἱοῦ τὸ χαροποιὸν αὐτοῖς ἐπιδιδοῦσα. οἱ δὲ μαθηταὶ τοῦ θαύματος ἐκπλαγέντες. ἀντὶ τοῦ κε Ἰῦ Χε, παναγία θκε βοήθει ἡμῖν ἀνεκραύγασαν. εἶτα τῷ τάφῳ προσελθόντες, καὶ μὴ εὑρόντες τὸ πανάγιον αὐτῆς σῶμα, ἐπείσθησαν ἀληθῶς, ὅτι σύσσωμος ζῶσα τετήρηκεν ὡς ὁ υἱὸς αὐτῆς ἐκ νεκρῶν ἀναστᾶσα, καὶ μεταστᾶσα, εἰς οὐρανοὺς μεταβέβηκεν. σὺν χῷ βασιλεύουσα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ἡ τῆς ἐννάτης τάξις ὥρας ὧδέ πως ἔχει.

## Περὶ ὥρα ἐννάτη. ⁘

Μετὰ τὸ ἐν ὀνόματι ... εὐλογητὸν βασιλεῦ οὐράνιε. τρισάγιον. παναγία τριάς. πάτερ ἡμῶν κε ἐλέησον, ιβ' τὸ, δεῦτε προσκυνήσωμεν. ἐκ γ'. εἶτα τοὺς ψαλμούς.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου κε τῶν δυνάμεων, ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυ. ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ θεὸν ζῶντα. καὶ γὰρ στρουθίον

ὗρεν ἑαυτῷ οἰκίαν καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει
τὰ νοσσία ἑαυτῆς. τὰ θυσιαστήριά σου κύριε τῶν δυνάμεων,
ὁ βασιλεύς μου καὶ ὁ θεός μου. μακάριοι οἱ κατοικοῦντες
ἐν τῷ οἴκῳ σου. εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.
μακάριος ἀνήρ, ᾧ ἐστιν ἀντίληψις αὐτοῦ παρὰ σοί. ἀνα-
βάσεις, ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο. εἰς τὴν κοιλάδα
τοῦ κλαυθμῶνος εἰς τὸν τόπον, ὃν ἔθετο. καὶ γὰρ εὐλογίας
δώσει ὁ νομοθετῶν. πορεύσονται ἐκ δυνάμεως εἰς δύ-
ναμιν, ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν σιών. κύριε ὁ θεὸς τῶν
δυνάμεων εἰσάκουσον τῆς προσευχῆς μου. ἐνώτισαι ὁ
θεὸς Ἰακώβ. ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ θεός, καὶ ἐπίβλε-
ψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου. ὅτι κρείσσων ἡμέρα μία
ἐν ταῖς αὐλαῖς σου, ὑπὲρ χιλιάδας. ἐξελεξάμην πα-
ραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μᾶλλον, ἢ οἰκεῖν με ἐν
σκηνώμασιν ἁμαρτωλῶν. ὅτι ἔλεος καὶ ἀλήθειαν
ἀγαπᾷ κύριος, ὁ θεὸς χάριν καὶ δόξαν δώσει. κύριος οὐ στερήσει
τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. κύριε ὁ θεὸς τῶν
δυνάμεων, μακάριος ἄνθρωπος, ὁ ἐλπίζων ἐπὶ σέ.

Εὐδόκησας κύριε τὴν γῆν σου. ἀπέστρεψας τὴν αἰχμα-
λωσίαν Ἰακώβ. ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ
σου. ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. κατέ-
παυσας πᾶσαν τὴν ὀργήν σου. ἀπέστρεψας ἀπὸ ὀργῆς
θυμοῦ σου. ἐπίστρεψον ἡμᾶς ὁ θεὸς τῶν σωτήρων ἡμῶν, καὶ
ἀπόστρεψον τὸν θυμόν σου ἀφ᾽ ἡμῶν. μὴ εἰς τοὺς αἰῶνας
ὀργισθῇς ἡμῖν, ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς
εἰς γενεάν. ὁ θεὸς σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς. καὶ ὁ
λαός σου, εὐφρανθήσεται ἐπὶ σοί. δεῖξον ἡμῖν κύριε

τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δώης ἡμῖν. ἀκούσομαι τί λαλήσει ἐν ἡμῖν κύριος ὁ θεός. ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ᾽ αὐτόν. πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν, τὸ σωτήριον αὐτοῦ τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν. ἔλεος καὶ ἀλήθεια συνήντησαν δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. καὶ γὰρ ὁ κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ:~

Κλῖνον κύριε τὸ οὖς σου καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι. σῶσον τὸν δοῦλόν σου, ὁ θεός μου τὸν ἐλπίζοντα ἐπὶ σέ. ἐλέησόν με κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν. εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. ὅτι σὺ κύριε χρηστὸς, καὶ ἐπιεικὴς, καὶ πολυέλεος, πᾶσι τοῖς ἐπικαλουμένοις σε. ἐνώτισαι κύριε τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκουσάς μου. οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς κύριε, οὐκ ἔστι κατὰ τὰ ἔργα σου. πάντα τὰ ἔθνη ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου, ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ ὁ θεὸς μόνος. ὁδήγησόν με κύριε ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. ἐξομολογήσομαί σοι κύριε ὁ θεός μου ἐν

Digitized by Google

ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα. ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, καὶ ἐῤῥύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. ὁ θεὸς παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προεθέντό σε ἐνώπιον αὐτῶν. καὶ σὺ κύριε ὁ θεός μου, οἰκτίρμων, καὶ ἐλεήμων, μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός. ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με. δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν, ὅτι σὺ κύριε ἐβοήθησάς μοι. καὶ παρεκάλεσάς με:~ πάλιν.

Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν, ὅτι σὺ κύριε ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με:~ Δόξα καὶ νῦν. ἀλληλούια ἐκ γ'. κύριε ἐλέησον γ'. καὶ εἰ μὲν θεὸς κύριος ἔψαλτο, λέγομεν τὸ τῆς ἡμέρας τροπάριον. εἰ δὲ ἀλληλούια, τὸ παρὸν, εἰς ἦχον πλ. δ'.

Ὁ ἐν τῇ ἐννάτῃ ὥρᾳ δι' ἡμᾶς σαρκὶ θανάτου γευσάμενος, νέκρωσον τῆς σαρκὸς ἡμῶν τὸ φρόνημα χριστὲ ὁ θεὸς, καὶ σῶσον ἡμᾶς:~ στίχ. α'.

Ἐγγισάτω ἡ δέησίς μου, ἐνώπιόν σου κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με:~ στίχ. β'.

Εἰσέλθοι τὸ ἀξίωμά σου ἐνώπιόν σου κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με:~ δόξα καὶ νῦν. θεοτ.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας

χειρί σου. δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον. δέξαι τὴν τεκοῦσάν σε θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον:~

Μὴ δὴ παραδώῃς ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου. καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ᾽ ἡμῶν. δι᾽ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου:~

Ψ εσπέριον, παρακλητικόν. πᾶ τῇ ἡμ. εἰ μὴ ἔστιν ἑορτὴ, λέγε τὸ κοντάκιον αὐτῆς. εἶτα τὰ παρόντα.

Βλέπων ὁ λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς ἐπὶ σταυροῦ κρεμάμενον ἔλεγεν. εἰ μὴ θεὸς ὑπῆρχε σαρκωθεὶς ὁ συνημῖν σταυρωθεὶς, οὐκ ἂν ὁ ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο. ἀλλ᾽ ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου. δόξα.

Ἐν μέσῳ δύο λῃστῶν, ζυγὸς δικαιοσύνης εὑρέθη ὁ σταυρός σου. τοῦ μὲν καταγομένου εἰς ἅδην, τῷ βάρει τῆς βλασφημίας. τοῦ δὲ κουφιζομένου πταισμάτων πρὸς γνῶσιν θεολογίας. χριστὲ ὁ θεὸς δόξα σοι:~ καὶ νῦν.

Τὸν ἀμνὸν, καὶ ποιμένα, καὶ σωτῆρα τοῦ κόσμου, ἐν τῷ σταυρῷ θεωροῦσα ἡ τεκοῦσα ἔλεγε δακρύουσα. ὁ μὲν κόσμος ἀγάλλεται δεχόμενος τὴν λύτρωσιν. τὰ δὲ σπλάγχνα μου φλέγονται ὁρώσης σου τὴν σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις, ὁ υἱὸς καὶ θεός μου:~

Κύριε ἐλέησον, μ΄. ὁ ἐν παντὶ καιρῷ καὶ ἐλεῶν, γ΄. δόξα καὶ νῦν. τὴν τιμιωτέραν. ἐν ὀνόματι κυ. ὁ ἱερεὺς. ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς. καὶ εἰ ἔστι, μ΄. τὰς τετυπωμένας ιέ. μετανοίας, ἤγουν, τὸν χριστογενῆκον,

Digitized by Google

μεσώριον τῆς ἐννάτης.

καὶ τὸ ἀξίωμα ἀπολύων, διὰ τὸ ψάλλειν τὰ μεσώρια. τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ μ΄. μόνας γ΄. μεγάλας μετανοίας ποιητέον. καὶ εὐθὺς τὴν εὐχήν. εἶθ᾽ οὕτω μετὰ τὴν ἐκφώνησιν, τὴν εὐχὴν λέγομεν. δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν. ὁ μακροθυμήσας:~

τέλος τῆς ἐννάτης ὥρας.

μεσώριον τῆς αὐτῆς ὥρας.

πρὸ δὲ τῶν προσκυνήσωμεν γ΄. καὶ τοὺς ψαλμούς.

Αἰνεῖτε παῖδες κύριον, αἰνεῖτε τὸ ὄνομα κυρίου. εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομα κυρίου. ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ. τίς ὡς κύριος ὁ θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ. ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην:~

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου, καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι, ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου. προσκυνήσω πρὸς ναὸν ἅγιόν σου. καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου, ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσομαί σε, ταχὺ ἐπάκουσόν μου. πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου. ἐξομολογησάσθωσάν σοι κύριε πάντες οἱ βα-

σιλεῖς

Digitized by Google

σιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου. καὶ ᾀσάτωσαν ἐν ταῖς ᾠδαῖς κυρίου, ὅτι μεγάλη ἡ δόξα κυρίου. ὅτι ὑψηλὸς κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ, καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει. ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με. ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου. κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς :~

Ἐξελοῦ με κύριε ἐξ ἀνθρώπου πονηροῦ. ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με, οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ. ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους. ἠκόνησαν γλῶσσαν αὐτῶν, ὡσεὶ ὄφεως. ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. φύλαξόν με κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με, οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. ἔκρυψαν ὑπερήφανοι παγίδα μοι, καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσίν μου. ἐχόμενα τρίβους σκάνδαλα ἔθεντό μοι. εἶπα τῷ κυρίῳ, θεός μου εἶ σύ. ἐνώτισαι κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου κύριε, κύριε, δύναμις τῆς σωτηρίας μου. ἐπεσκίασας τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου, μὴ παραδῷς με κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ. διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν. ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς. πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες ἐν πυρί. καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν. ἀνὴρ γλωσσώδης, οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν. ἔγνων ὅτι ποιήσει κύριος τὴν κρίσιν τῶν πτωχῶν καὶ τὴν δίκην



Digitized by Google

τῶν πενήτων. πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς, σὺν τῷ προσώπῳ σου:~

Καὶ εὐθὺς ὁ πεντηκοστός. δόξα καὶ νῦν. τρισάγιον, παναγία τριάς, πάτερ ἡμῶν, καὶ τὰ τροπάρια ταῦτα.

Ὁ φωτίσας τὰ ἐπίγεια διὰ σταυροῦ, καὶ καλέσας εἰς μετάνοιαν ἁμαρτωλούς, μὴ χωρίσῃς με τῆς ποίμνης σου, ὁ ποιμὴν ὁ καλός, ἀλλὰ ζήτησόν με δέσποτα τὸ πλανώμενον, καὶ τῇ ἁγίᾳ σου ποίμνῃ συναρίθμησόν με, ὡς μόνος ἐλεήμων καὶ φιλάνθρωπος:~ δόξα.

Ὡς ὁ λῃστὴς ὁμολογῶ ἀναβοῶν σοι τῷ ἀγαθῷ, ἐν τῇ βασιλείᾳ σου μνήσθητί μου κύριε. σὺν αὐτῷ με ἀρίθμησον, ὁ ἑκουσίως τὰ πάθη ὑπὲρ ἡμῶν καταδεξάμενος:~ καὶ νῦν.

Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν. αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν. εἰ καὶ σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ υἱὸς καὶ θεός μου:~ Τὸ κύριε ἐλέησον, μ΄. δόξα καὶ νῦν. τὴν τιμιωτέραν. καὶ τὰς γ΄. μετανοίας. εἶτα λέγομεν τὴν εὐχὴν ταύτην τοῦ μεγάλου Βασιλείου.

Δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, ὁ μακροθυμήσας ἐπὶ τοῖς ἡμῶν πλημμελήμασι, καὶ ἄχρι τῆς παρούσης ὥρας ἀγαγὼν ἡμᾶς, ἐν ᾗ ἐπὶ τοῦ ζωοποιοῦ ξύλου κρεμάμενος, τῷ εὐγνώμονι λῃστῇ τὴν εἰς τὸν παράδεισον ὁδοποιήσας εἴσοδον, καὶ θανάτῳ τὸν θάνατον ὤλεσας, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου. ἡμάρτομεν γὰρ καὶ ἠνομήσαμεν, καὶ οὐκ ἐσμὲν ἄξιοι ἆραι τὰ ὄμματα ἡμῶν καὶ βλέψαι εἰς τὸ ὕψος τοῦ οὐρ-

Digitized by Google

διότι κατελίπομεν τὴν ὁδὸν τῆς δικαιοσύνης σου, καὶ ἐπορεύθημεν ἐν τοῖς θελήμασι τῶν καρδιῶν ἡμῶν. ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀνείκαστον ἀγαθότητα, φεῖσαι ἡμῶν κύριε κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ σῶσον ἡμᾶς, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν. ἐξελοῦ ἡμᾶς τῆς τοῦ ἀντικειμένου χειρὸς, καὶ ἄφες ἡμῖν τὰ ἁμαρτήματα, καὶ νέκρωσον τὸ σαρκικὸν ἡμῶν φρόνημα. ἵνα τὸν παλαιὸν ἀποθέμενοι ἄνθρωπον, τὸν νέον ἐνδυσώμεθα, καὶ συζήσωμεν τῷ ἡμετέρῳ δεσπότῃ καὶ κηδεμόνι. καὶ οὕτω τοῖς σοῖς ἀκολουθοῦντες προστάγμασιν, εἰς τὴν αἰώνιον ἀνάπαυσιν καταντήσωμεν, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία. σὺ γὰρ εἶ ὄντως ἀληθινὴ εὐφροσύνη καὶ ἀγαλλίασις τῶν ἀγαπώντων σε Χριστὲ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~ καὶ ἀπόλυσις.

τέλος τοῦ τῆς ἐννάτης μεσωρίου.

## Ἀρχὴ τοῦ ἑσπερινοῦ.

Ποιεῖ ὁ ἱερεὺς εὐλογητόν. καὶ ἄρχεται ὁ ταχθεὶς ἀναγινώσκειν τὸν προοιμιακὸν ψαλμὸν, λέγων οὕτως.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν θεῷ. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν θεῷ. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ θεῷ ἡμῶν.

Digitized by Google

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον. κύριε ὁ θεός μου ἐμε-
γαλύνθης σφόδρα. ἐξομολόγησιν καὶ μεγαλοπρέ-
πειαν ἐνεδύσω. ἀναβαλλόμενος φῶς ὡς ἱμάτι-
ον. ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν. ὁ στεγάζων ἐν ὕδασι
τὰ ὑπερῷα αὐτοῦ. ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ. ὁ
περιπατῶν ἐπὶ πτερύγων ἀνέμων, ὁ ποιῶν τοὺς ἀγγέ-
λους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλό-
γα. ὁ θεμελιῶν τὴν γῆν, ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς.
οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἄβυσσος ὡς ἱμά-
τιον τὸ περιβόλαιον αὐτοῦ. ἐπὶ τῶν ὀρέων στήσονται ὕδα-
τα, ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βρον-
τῆς σου δειλιάσουσιν. ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνου-
σι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. ὅριον
ἔθου ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι
τὴν γῆν. ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέ-
σον τῶν ὀρέων διελεύσονται ὕδατα. ποτιοῦσι πάντα τὰ
θηρία τοῦ ἀγροῦ. προσδέξονται ὄναγροι εἰς δίψαν αὐ-
τῶν. ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει. ἐκ
μέσου τῶν πετρῶν δώσουσι φωνήν. ποτίζων ὄρη ἐκ τῶν
ὑπερῴων αὐτοῦ. ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσε-
ται ἡ γῆ. ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην
τῇ δουλείᾳ τῶν ἀνθρώπων. τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ
οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. τοῦ ἱλαρῦναι πρόσωπον
ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. χορ-
τασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου
ἃς ἐφύτευσας, ἐκεῖ στρουθία ἐννοσσεύσουσι. τοῦ ἐρω-
διοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. ὄρη τὰ ὑψηλὰ ταῖς

Digitized by Google

ἐλάφοις. πέτρα καταφυγὴ τοῖς λαγωοῖς. ἐποίησε
σελήνην εἰς καιρούς. ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
ἔθου σκότος, καὶ ἐγένετο νύξ. ἐν αὐτῇ διελεύσονται
πάντα τὰ θηρία τοῦ δρυμοῦ. σκύμνοι ὠρυόμενοι, τοῦ
ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ θεῷ βρῶσιν αὐτοῖς. ἀ-
νέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν. καὶ εἰς τὰς μάνδρας
αὐτῶν κοιτασθήσονται. ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ
ἔργον αὐτοῦ. καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ, ἕως ἑσπέρας. ὡς
ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίη-
σας. ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. αὕτη ἡ θάλασσα
ἡ μεγάλη καὶ εὐρύχωρος. ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀ-
ριθμός. ζῶα μικρὰ μετὰ μεγάλων, ἐκεῖ πλοῖα διαπο-
ρεύονται. δράκων οὗτος ὃν ἔπλασας, ἐμπαίζειν αὐ-
τῷ. πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τρο-
φὴν αὐτῶν εἰς εὔκαιρον. δόντος σου αὐτοῖς, συλλέξου-
σιν. ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθή-
σονται χρηστότητος. ἀποστρέψαντος δέ σου τὸ πρόσω-
πον, ταραχθήσονται. ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ
ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.
ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαι-
νιεῖς τὸ πρόσωπον τῆς γῆς. ἤτω ἡ δόξα κυρίου εἰς τοὺς
αἰῶνας, εὐφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. ὁ ἐπι-
βλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. ὁ
ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. ᾄσω τῷ κυρίῳ ἐν
τῇ ζωῇ μου, ψαλῶ τῷ θεῷ μου, ἕως ὑπάρχω. ἡδυνθείη
αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ
κυρίῳ. ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνο-
μοι ὥστε μὴ ὑπάρχειν αὐτούς. εὐλόγει ἡ ψυχή μου



Digitized by Google

τὸν κύριον. Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. ἔθου σκότος καὶ ἐγένετο νύξ. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας :~ Δόξα καὶ νῦν. ἀλληλούϊα ἐκ γ'. μετὰ δὲ τὸ κάθισμα τοῦ ψαλτηρίου, τὸ κύριε ἐκέκραξα, εἰς τὸν τυχόντα ἦχον.

Κύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. ἐν τῷ κεκραγέναι με πρὸς σέ, εἰσάκουσόν μου κύριε. Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή, εἰσάκουσόν μου κύριε. Θοῦ κύριε φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν. Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με· ἔλαιον δὲ ἁμαρτωλοῦ, μὴ λιπανάτω τὴν κεφαλήν μου. Ὅτι ἔτι καὶ ἡ προσευχή μου, ἐν ταῖς εὐδοκίαις αὐτῶν· κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν. Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἡδύνθησαν ὡσεὶ πάχος γῆς, ἐρράγη ἐπὶ τῆς γῆς. διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην. Ὅτι πρὸς σὲ κύριε, κύριε οἱ ὀφθαλμοί μου ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου. Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί· καταμόνας εἰμὶ ἐγώ, ἕως ἂν παρέλθω. Φωνῇ μου πρὸς κύριον ἐκέκραξα. φωνῇ μου πρὸς κύριον ἐδεήθην. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ

Digitized by Google

πνεῦμά μου καὶ σὺ ἔγνως τὰς τρίβους μου. Ἐν ὁδῷ ταύτῃ ᾗ
ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. Κατενόουν εἰς
τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.
Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυ
χήν μου. Ἐκέκραξα πρὸς σὲ κύριε, εἶπα σὺ εἶ ἡ ἐλπίς
μου μερίς μου εἶ ἐν γῇ ζώντων. Πρόσχες πρὸς τὴν δέη
σίν μου ὅτι ἐταπεινώθην σφόδρα. Ῥῦσαί με ἐκ τῶν κα
ταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. εἰς ι·
Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογή
σασθαι τῷ ὀνόματί σου. Ἐμὲ ὑπομενοῦσι δίκαιοι ἕως
οὗ ἀνταποδῷς μοι :~ εἰς ή.

Ἐκ βαθέων ἐκέκραξά σοι κύριε, κύριε εἰσάκουσον
τῆς φωνῆς μου. Γενηθήτω τὰ ὦτά σου προσέχοντα
εἰς τὴν φωνὴν τῆς δεήσεώς μου :~ εἰς ϛ·

Ἐὰν ἀνομίας παρατηρήσῃς κύριε, κύριε τίς ὑποστήσεται, ὅτι
παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέ
μεινά σε κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου,
ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον :~ εἰς δ·

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς
πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον. Ὅτι πα
ρὰ τῷ κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις,
καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐ
τοῦ. Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν
πάντες οἱ λαοί. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ'
ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου, μένει εἰς τὸν αἰῶνα :~

Δόξα τῶν ὕμνων. Τὸ φῶς ἱλαρόν. ὕμνος τοῦ ἁγίου μάρτυρος Ἀθη
νογένους, οὐχ ὥς φασί τινες ἀμαθῶς, Σωφρονίου πατριάρ
χου Ἱεροσολύμων· μάρτυς τούτου ὁ μέγας Βασίλειος.

Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου πρς̄, οὐρανίου
ἁγίου μάκαρος. Ἰῡ Χε̄ ἐλθόντες ἐπὶ τὴν ἡλίου δύ-
σιν. ἰδόντες φῶς ἑσπερινὸν ὑμνοῦμεν πρᾱ υἱὸν, καὶ
ἅγιον πνᾱ θν̄. ἄξιόν σε ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φω
ναῖς αἰσίαις υἱὲ θῦ, ζωὴν ὁ διδοὺς, διὸ ὁ κόσμος σὲ δοξάζει.

Χρὴ εἰδέναι ὅτι ἐὰν τύχῃ μία τῶν τεσσαρακοστῶν, καὶ
ἔστιν ἀλληλούϊα, ἀντὶ τῶν προκειμένων τῆς ἑβδομά-
δος, ψάλλομεν ταῦτα. τῇ β΄ ἑσπέρας. ἀλληλούϊα.
Κε̄ μὴ τῷ θυμῷ σου ἐλέγξῃς με:~ τῇ γ΄ ἀλληλούϊα.
Καὶ προσκυνεῖτε τὸ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. στί.
τῶν αἰώνων ἀμήν. τῇ δ΄. ἀλληλούϊα. Καὶ εἰς τὰ
πέρατα τῆς οἰκουμένης. τῇ ε΄. ἀλληλούϊα. Καὶ προσ
κυνεῖτε τὸ ὑποπόδιον. τῇ παρασκευῇ. Ὁ θεὸς
ἀντιλήπτωρ μου εἶ σὺ ἔλεός σου προφθάσαι με:~

εἶτα τὰ προκείμενα τῆς ἑβδομάδος.

τῇ κυριακῇ ἑσπέρας. ἦχος πλ δ΄.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον, πάντες οἱ δοῦλοι κῡ.
στί. Οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου:~

τῇ δευτέρα ἑσπέρας. ἦχος δ΄.

Κύριος εἰσακούσεταί μου, ἐν τῷ κεκραγέναι με. στί.
Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου:~

τῇ τρίτῃ ἑσπέρας. ἦχος α΄.

Τὸ ἔλεός σου κύριε καταδιώξαι με:~ στί.
Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει εἰς τόπον
χλόης:~ τῇ δ΄. ἑσπέρας. ἦχος πλ α.
Ὁ θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με:~
Ὁ θεὸς εἰσάκουσον τῆς προσευχῆς μου:~

τῇ πέμπτῃ ἑσπέρας. ἦχος πλ β΄.

Ἡ βοήθειά μου παρὰ κυρίου τοῦ ποιήσαντος τὸν οὐρα-

Digitized by Google

μὸν, καὶ τὴν γῆν:~ δόξα.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει:~

τῇ παρασκευῇ ἑσπέρας. ἦχος βαρύς.

Ὁ θεὸς ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεός σου προφθάσαι με. δόξα.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ θεός:~

τῷ σαββάτῳ ἑσπέρας. ἦχος πλ. β΄.

Ὁ κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο ὁ κύριος δύναμιν καὶ περιεζώσατο. δόξα. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην ἥτις οὐ σαλευθήσεται. στίχ. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε, εἰς μακρότητα ἡμερῶν:~

καὶ μετὰ τὰ προκείμενα τὸ καταξίωσον

ὕμνος ἀπὸ ῥητῶν ψαλμικῶν.

Καταξίωσον κύριε ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτως φυλαχθῆναι ἡμᾶς. εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. ἀμήν. γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς. καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. εὐλογητὸς εἶ κύριε δίδαξόν με τὰ δικαιώματά σου. εὐλογητὸς εἶ δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. εὐλογητὸς εἶ ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. σοὶ πρέπει αἶνος. σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει τῷ πατρὶ καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~ Εἶτα. τὰ στιχηρὰ τοῦ στίχου. ἐν οἷς λέγομεν τοὺς παρόντας στίχους διόλου, εἰ οὐκ ἔστι μ΄, ἢ δεσποτικὴ ἑορτή:~ στίχ. α΄.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου. τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ, ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν

Digitized by Google

κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς:~ στ. β΄.

Ἐλέησον ἡμᾶς κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως. ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις. Εἰ μὲν ἐστὶ σάββατον, λέγομεν, τὸ, ὁ κύριος ἐβασίλευσεν, ὡς προεγράφη. εἰ δὲ δεσποτικὴ ἑορτή, τοῖς αὐτῆς στίχοις· ὡσαύτως καὶ ἐὰν τύχῃ ἅγιος ἑορταζόμενος. δόξα καὶ νῦν. τὴν εὐχαριστίαν συμεῶνος τοῦ θεοδόχου.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου ἰσραήλ:~ Εἶτα τρισάγιον, παναγία τριάς. πάτερ ἡμῶν, τὸ τροπάριον τῆς τυχούσης ἑορτῆς, ἢ τοῦ ἁγίου, ἢ τῆς ἡμέρας. δόξα καὶ νῦν, θεοτοκίον. καὶ ἀπόλυσις. εἰ δὲ ἐστὶ μ΄. λέγομεν τὰ τροπάρια ταῦτα, εἰς ἦχον δ΄.

Θεοτόκε παρθένε, χαῖρε κεχαριτωμένη μαρία ὁ κύριος μετὰ σοῦ. εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν:~ μετάνοια α΄.

Βαπτιστὰ τοῦ χριστοῦ πάντων ἡμῶν μνήσθητι ἵνα ῥυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν. σοὶ γὰρ ἐδόθη χάρις πρεσβεύειν ὑπὲρ ἡμῶν:~ μετάνοια α΄. δόξα.

Ἱκετεύσατε ὑπὲρ ἡμῶν ἅγιοι ἀπόστολοι καὶ ἅγιοι πάντες, ἵνα ῥυσθῶμεν κινδύνων καὶ θλίψεων. ἡμᾶς γὰρ

Digitized by Google

θερμὰς πρεσβείας, τοὺς τὴν σὴν κεκτήμεθα. καὶ νῦν.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν καταφεύγομεν θεοτόκε, τὰς ἡμῶν ἱκεσίας μὴ παρίδῃς ἐν περιστάσει. ἀλλ᾽ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, μόνη ἁγνή, μόνη εὐλογημένη :~ Κύριε ἐλέησον, μ΄. δόξα καὶ νῦν. τὴν τιμιωτέραν. καὶ ὁ ἱερεύς, ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ θεὸς ἡμῶν. καὶ ἡμεῖς στερεοῦμεν τοὺς βασιλεῖς. ἐπουράνιε βασιλεῦ τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον. καὶ εὐθὺς τὰς ιε΄ μετανοίας. εἶτα τρισάγιον. κύριε ἐλέησον ιβ΄. δόξα καὶ νῦν. εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως αἰῶνος, ἐκ γ΄. καὶ μετανοίας γ΄. εὐλογήσω τὸν κύριον. καὶ γίνεται ἀπόλυσις. ταῦτα δὲ γίνονται, ὅταν ἐστὶ νηστεία. εἰ δὲ ἔστι θεὸς κύριος, μετὰ τὸ τρισάγιον, τὸ ἀπολυτίκιον τῆς ἡμέρας. εἰ βούλει σὺν τῷ πάτερ ἡμῶν. καὶ τὴν εὐχὴν ταύτην τοῦ μεγάλου Βασιλείου.

Εὐλογητὸς εἶ δέσποτα παντοκράτωρ. ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ. καὶ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός. ὁ τὸ μῆκος τῆς ἡμέρας διελθεῖν ἡμᾶς καταξιώσας, καὶ προσεγγίσαι ταῖς ἀρχαῖς τῆς νυκτός. ἐπάκουσον τῆς δεήσεως ἡμῶν, καὶ παντὸς τοῦ λαοῦ σου. καὶ πᾶσιν ἡμῖν συγχωρήσας τὰ ἑκούσια καὶ τὰ ἀκούσια ἁμαρτήματα. πρόσδεξαι τὰς ἑσπερινὰς ἡμῶν ἱκεσίας. καὶ κατάπεμψον τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου ἐπὶ τὴν κληρονομίαν σου. τείχισον ἡμᾶς ἁγίοις σου ἀγγέλοις. ὅπλισον ἡμᾶς ὅπλοις δικαιοσύνης. περιχαράκωσον ἡμᾶς ἐν τῇ ἀληθείᾳ σου. φρούρησον ἡμᾶς τῇ δυνάμει σου. ῥῦσαι ἡμᾶς ἐκ πάσης περιστάσεως, καὶ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου.

Digitized by Google

παράσχου δὲ ἡμῖν καὶ τὴν παροῦσαν ἑσπέραν, σὺν τῇ ἐπερχομένῃ νυκτὶ, τελείαν ἁγίαν εἰρηνικήν. ἀναμάρτητον. ἀσκανδάλιστον. ἀφάνταστον, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. πρεσβείαις τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων, ἀμήν:~

τὴν τιμιωτέραν. καὶ γίνεται ἀπόλυσις.

τέλος τοῦ ἑσπερινοῦ.

Ἐρχόμενοι δὲ εἰς τὴν τράπεζαν λέγομεν.

Φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον, οἱ ἐκζητοῦντες αὐτόν. ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος:~

Δόξα καὶ νῦν. καὶ εὐλογεῖ ὁ ἱερεὺς τὴν τράπεζαν. μετὰ δὲ τὸ φαγεῖν, δόξα καὶ νῦν. καὶ ὕψοῦ τὴν παναγίαν.

Ταῖς αὐτῆς πρεσβείαις ὁ θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Γέγονεν ἡ κοιλία σου ἁγία τράπεζα, ἔχουσα τὸν οὐράνιον ἄρτον Χριστὸν τὸν θεὸν ἡμῶν. ἐξ οὗ πᾶς ὁ τρώγων οὐ θνήσκει ὡς ἔφησεν ὁ τοῦ παντὸς θεογεννῆτορ τροφεύς:~

Τῶν σῶν δωρεῶν ἀξίους ἡμᾶς ποίησον θεοτόκε παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν. καὶ παρέχουσα ἰάματα, τοῖς ἐν πίστει λαμβάνουσι τὴν εὐλογίαν σου ἄχραντε:~ καὶ ψάλλομεν, τό,

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν θεοτόκον. τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ θεοῦ ἡμῶν. τὴν τιμιωτέραν τῶν χερουβίμ. καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν σεραφίμ. τὴν ἀδιαφθόρως, θεὸν λόγον τεκοῦσαν τὴν ὄντως θεοτόκον, σὲ μεγαλύνομεν:~ εἶτα.

Digitized by Google

ε ὔφρανας ἡμᾶς κύριε ἐν τοῖς ποιήμασί σου. καὶ ἐν τοῖς ἔρ
γοις τῶν χειρῶν σου ἀγαλλιασόμεθα. ἐσημειώθη ἐφ'
ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου κύριε ἔδωκας εὐφροσύνην
εἰς τὴν καρδίαν μου. ἀπὸ καρποῦ σίτου οἴνου καὶ ἐλαίου
αὐτῶν ἐπληθύνθησαν. ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθή
σομαι καὶ ὑπνώσω. ὅτι σὺ κύριε κατὰ μόνας ἐπ' ἐλπί
δι κατῴκισάς με:~ Δόξα καὶ νῦν. Ὁ ἱερεύς.

Μεθ' ἡμῶν ὁ θεὸς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε.
νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

## Ἀρχὴ τοῦ μεγάλου ἀποδείπνου.

Λέγει ὁ ἱερεύς, εὐλογητόν. εἶθ' οὕτω λέγε στίχον, δι' εὐ
χῶν τῶν ἁγίων πατέρων. καὶ ἄρχονται οἱ ἀδελφοί. Βασι
λεῦ οὐράνιε. τρισάγιον. παναγία τριάς. πάτερ ἡμῶν. κύ
ριε ἐλέησον ιβ'. δεῦτε προσκυνήσωμεν ἐκ γ'. μετα
νοίας γ'. καὶ οὕτως, εἰ ἔστιν ἡ πρώτη ἑβδομὰς τῆς μεγά
λης τεσσαρακοστῆς, ἀρχόμεθα τοῦ, ὁ θεὸς εἰς τὴν βοή
θειάν μου πρόσχες. καὶ πληρουμένου τούτου, ψάλ
λομεν τὸ μέγαν κανόνα. εἰ δ' οὔ. ἀρχόμεθα οὕτως.

Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου ὁ θεὸς τῆς
δικαιοσύνης μου. ἐν θλίψει ἐπλάτυνάς με. οἰκ
τείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου. υἱοὶ
ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι. ἵνα τί ἀγαπᾶτε ματαιό
τητα, καὶ ζητεῖτε ψεῦδος. καὶ γνῶτε ὅτι ἐθαυμάστωσε κύριος
τὸν ὅσιον αὐτοῦ. κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με
πρὸς αὐτόν. ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. ἃ λέγετε

Digitized by Google

ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατα-
νύγητε. θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ
κύριον. πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά. ἐση-
μειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου κύριε. ἔδω-
κας εὐφροσύνην εἰς τὴν καρδίαν μου. ἀπὸ καρποῦ
σίτου οἴνου καὶ ἐλαίου αὐτῶν, ἐπληθύνθησαν. ἐν εἰ-
ρήνῃ ἐπὶ τὸ αὐτὸ, κοιμηθήσομαι καὶ ὑπνώσω. ὅτι σὺ κύ-
ριε κατὰ μόνας, ἐπ' ἐλπίδι κατῴκησάς με :~

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου
παιδεύσῃς με. ἐλέησόν με κύριε, ὅτι ἀσθενής εἰμι.
ἴασαί με κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐτα-
ράχθη σφόδρα. καὶ σὺ κύριε ἕως πότε. ἐπίστρεψον κύριε ῥῦ-
σαι τὴν ψυχήν μου. σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, ὅτι
οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου. ἐν δὲ τῷ
ᾅδῃ, τίς ἐξομολογήσεταί σοι. ἐκοπίασα ἐν τῷ στεναγμῷ
μου. λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου. ἐν
δάκρυσί μου τὴν στρωμνήν μου βρέξω, ἐταράχθη ἀπὸ
θυμοῦ ὁ ὀφθαλμός μου. ἐπαλαιώθην ἐν πᾶσι τοῖς
ἐχθροῖς μου. ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμε-
νοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε κύριος τῆς φωνῆς τοῦ
κλαυθμοῦ μου. ἤκουσε κύριος τῆς δεήσεώς μου. κύριος
τὴν προσευχήν μου προσεδέξατο. αἰσχυνθείησαν
καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου. ἀποστραφείη-
σαν, καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους :~

Ἕως πότε κύριε ἐπιλήσῃ μου εἰς τέλος. ἕως πότε
ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. ἕως τίνος,
θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου

Digitized by Google

ἡμέρας καὶ νυκτός· ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ· ἐπίβλεψον εἰσάκουσόν μου κύριε ὁ θεός μου· φώτισον τοὺς ὀφθαλμούς μου μήποτε ὑπνώσω εἰς θάνατον. μήποτε εἴπῃ ὁ ἐχθρός μου, ἴσχυσα πρὸς αὐτόν. οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ. ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα. ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. ᾄσω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου. δίς. ἐπίβλεψον εἰσάκουσόν μου κύριε ὁ θεός μου. φώτισον τοὺς ὀφθαλμούς μου μήποτε εἴπῃ ὁ ἐχθρός μου ἴσχυσα πρὸς αὐτόν:~

Δόξα καὶ νῦν. ἀλληλούϊα. ἐκ γ΄. καὶ μετανοίας γ΄. κύριε ἐλέησον γ΄. δόξα καὶ νῦν.

Πρὸς σὲ κύριε ἦρα τὴν ψυχήν μου. ὁ θεός μου ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου. καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν. αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. τὰς ὁδούς σου κύριε γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με. ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με· ὅτι σὺ εἶ ὁ θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. μνήσθητι τῶν οἰκτιρμῶν σου κύριε. καὶ τὰ ἐλέη σου ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν. ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς. κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ· ἕνεκεν τῆς χρηστότητός σου κύριε. χρηστὸς καὶ εὐθὴς ὁ κύριος. διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ. ὁδηγήσει πραεῖς ἐν κρίσει. διδάξει πραεῖς ὁδοὺς αὐτοῦ· πᾶσαι αἱ ὁδοὶ κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ. ἕνεκεν τοῦ ὀνόματός σου κύριε, καὶ ἱλάσθητι τῇ

Digitized by Google

ἁμαρτίαν μου, πολλὴ γάρ ἐστι. τίς ἐστιν ἄνθρωπος ὁ φο-
βούμενος τὸν κύριον. νομοθετήσει αὐτῷ, ἐν ὁδῷ ᾗ ᾑρε-
τίσατο. ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ
σπέρμα αὐτοῦ κληρονομήσει γῆν. κραταίωμα κύριος τῶν
φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.
οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν κύριον, ὅτι αὐτὸς ἐκ-
σπάσει ἐκ παγίδος τοὺς πόδας μου. ἐπίβλεψον ἐπ᾽
ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.
αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν ἐκ τῶν ἀ-
ναγκῶν μου ἐξάγαγέ με. ἴδε τὴν ταπείνωσίν μου καὶ
τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. ἴδε
τοὺς ἐχθρούς μου ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον
ἐμίσησάν με. φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με. μὴ
καταισχυνθείην ὅτι ἤλπισα ἐπὶ σέ. ἄκακοι καὶ εὐθεῖς
ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε κύριε. λύτρωσαι ὁ
θεὸς τὸν Ἰσραήλ, ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ:~

Ἐπὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν
αἰῶνα. ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ-
με. κλῖνον πρός με τὸ οὖς σου. τάχυνον τοῦ ἐξελέσθαι
με γενοῦ μοι εἰς θεὸν ὑπερασπιστήν, καὶ εἰς οἶκον καταφυ-
γῆς τοῦ σῶσαί με. ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ
σύ. καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέ-
ψεις με. ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν
μοι. ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου κύριε. εἰς χεῖράς σου πα-
ραθήσομαι τὸ πνεῦμά μου. ἐλυτρώσω με κύριε ὁ θεὸς τῆς ἀλη-
θείας. ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας δια-
κενῆς. ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ ἤλπισα. ἀγαλλιάσομαι καὶ

εὐφραν-

εὐφρανθήσομαι σοὶ τῷ ἐλέει σου. ὅτι ἐπεῖδες σοὶ τὴν
ταπείνωσίν μου. ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν
μου, καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν. ἔστησας
ἐν εὐρυχώρῳ τοὺς πόδας μου, ἐλέησόν με κύριε, ὅτι θλί-
βομαι. ἐταράχθη ἐν θυμῷ, ὁ ὀφθαλμός μου. ἡ ψυχή
μου καὶ ἡ γαστήρ μου. ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου,
καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς. ἠσθένησεν ἐν πτωχείᾳ ἡ
ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν, παρὰ πάντας
τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου
σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου. οἱ θεωροῦντές με
ἔξω ἔφυγον ἀπ᾿ ἐμοῦ. ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ
καρδίας. ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός. ὅτι ἤκου-
σα ψόγον πολλῶν παροικούντων κυκλόθεν. ἐν τῷ
ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ᾿ ἐμέ, τοῦ λαβεῖν τὴν
ψυχήν μου ἐβουλεύσαντο, ἐγὼ δὲ ἐπὶ σοὶ κύριε ἤλπισα.
εἶπα σὺ εἶ ὁ θεός μου ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. ῥῦ-
σαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων
με. ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου. σῶ-
σόν με ἐν τῷ ἐλέει σου. κύριε μὴ καταισχυνθείην ὅτι ἐπε-
καλεσάμην σε. αἰσχυνθείησαν ἀσεβεῖς καὶ καταχθείη-
σαν εἰς ᾅδου. ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια,
τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανίᾳ
καὶ ἐξουδενώσει. ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου
κύριε. ἧς ἔκρυψας τοῖς φοβουμένοις σε, ἐξειργάσω τοῖς ἐλ-
πίζουσιν ἐπὶ σὲ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων. κατακρύ-
ψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου. ἀπὸ τα-
ραχῆς ἀνθρώπων. σκεπάσεις αὐτοὺς, ἐν σκηνῇ ἀπὸ ἀντι-
λογίας γλωσσῶν. εὐλογητὸς κύριε ὅτι ἐθαυμάστωσε τὸ ἔλεος

αὐτοῦ ἐν πόλει περιοχῆς. ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου· διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ. ἀγαπήσατε τὸν κύριον πάντες οἱ ὅσιοι αὐτοῦ. ὅτι ἀληθείας ἐκζητεῖ κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν· ἀνδρίζεσθε καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ κύριον :~

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. ἐρεῖ τῷ κυρίῳ. ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου. ὁ θεός μου καὶ ἐλπιῶ ἐπ' αὐτόν, ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους· ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου· ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου. πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. ὅτι σὺ κύριε ἡ ἐλπίς μου τὸν ὕψιστον ἔθου καταφυγήν σου. οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. ὅτι τοῖς ἀγγέλοις αὐτοῦ, ἐντελεῖται περὶ σοῦ. τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου, ἐπὶ χειρῶν ἀροῦσί σε. μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύ-

Digitized by Google

σομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου· κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· μετ' αὐτοῦ εἰμι ἐν θλίψει. ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν. μακρότητα ἡμερῶν, ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου :~

Δόξα καὶ νῦν. ἀλληλούϊα ἐκ γ'. κύριε ἐλέησον γ'. δόξα καὶ νῦν. εἰ ἔστι νηστεία, μετανοίας γ'. εἶτα ἀρχόμεθα λέγειν τοὺς στίχους, οὐ μετὰ μέλους, ἀλλὰ χύμα, ἀργῶς καὶ μεγάλῃ φωνῇ. ὁ πρῶτος χορός, ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς. ὁ δεύτερος, ἰσχυκότες ἡττᾶσθε:~ καὶ καθεξῆς ἕκαστος χορὸς τὸν ἴδιον στίχον.

Μεθ' ἡμῶν ὁ θεός, γνῶτε ἔθνη καὶ ἡττᾶσθε:~
ὅτι μεθ' ἡμῶν ὁ θεός.

Ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς:~ ὅτι μεθ' ἡμῶν ὁ θεός.

Ἰσχυκότες ἡττᾶσθε:~ ὅτι μεθ' ἡμῶν ὁ θεός.

Ἐὰν γὰρ πάλιν ἰσχύσητε, καὶ πάλιν ἡττηθήσεσθε:~
ὅτι μεθ' ἡμῶν ὁ θεός.

Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε διασκεδάσει κύριος:~
ὅτι μεθ' ἡμῶν ὁ θεός.

Καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν.
ὅτι μεθ' ἡμῶν ὁ θεός.

Τὸν δὲ φόβον ὑμῶν οὐ μὴ φοβηθῶμεν, οὐδ' οὐ μὴ ταραχθῶμεν:~ ὅτι μεθ' ἡμῶν ὁ θεός.

Κύριον δὲ τὸν θεὸν ὑμῶν αὐτὸν ἁγιάσωμεν, καὶ αὐτὸς ἔσται ἡμῖν φόβος:~ ὅτι μεθ' ἡμῶν ὁ θεός.

Καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ὦ, ἔσται μοι εἰς ἁγιασμόν:~ ὅτι μεθ' ἡμῶν ὁ θεός.

Καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, καὶ σωθήσομαι



Digitized by Google

μέγα ἀπόδειπνον.

δι' αὐτοῦ :~ ὅτι μεθ' ἡμῶν ὁ θεός.

Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός :~

ὅτι μεθ' ἡμῶν ὁ θεός.

Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδε φῶς μέγα :~

ὅτι μεθ' ἡμῶν ὁ θεός.

Οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ἡμᾶς :~ ὅτι μεθ' ἡμῶν ὁ θεός.

Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν :~

ὅτι μεθ' ἡμῶν ὁ θεός.

Οὗ ἡ ἀρχὴ ἐγεννήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ :~

ὅτι μεθ' ἡμῶν ὁ θεός.

Καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον :~

ὅτι μεθ' ἡμῶν ὁ θεός.

Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος :~ ὅτι μεθ' ἡμῶν ὁ θεός.

Θαυμαστὸς σύμβουλος :~ ὅτι μεθ' ἡμῶν ὁ θεός.

Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς ἄρχων εἰρήνης :~

ὅτι μεθ' ἡμῶν ὁ θεός.

Πατὴρ τοῦ μέλλοντος αἰῶνος :~ ὅτι μεθ' ἡμῶν ὁ θεός.

Πληρωθέντων δὲ τῶν στίχων ὡς προείρηται, λέγεται τό. μεθ' ἡμῶν ὁ θεὸς πάλιν ἅπαξ παρέκαστον. δόξα. ὁ πρῶτος χορὸς, τὸ μεθ' ἡμῶν ὁ θεός. καὶ νῦν. ὁ ἕτερος, τὸ αὐτό. εἶτα οἱ δύο χοροὶ ὁμοῦ. ὅτι μεθ' ἡμῶν ὁ θεός. καὶ εὐθὺς τὰ παρόντα τροπάρια. ὁ πρῶτος χορός.

Τὴν ἡμέραν διελθὼν εὐχαριστῶ σοι κύριε. τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀναμάρτητον παράσχου μοι σωτὴρ, καὶ σῶσόν με :~ ὁ δεύτερος χορὸς, δόξα.

Digitized by Google

Τὴν ἡμέραν παρελθὼν, δοξολογῶ σε δέσποτα. τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀσκανδάλιστον παράσχου μοι σῶτερ καὶ σῶσόν με :~ καὶ νῦν οἱ δύο χοροί.

Τὴν ἡμέραν διαβὰς, ὑμνολογῶ σε ἅγιε. τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ, ἀνεπίβουλον παράσχου μοι σῶτερ καὶ σῶσόν με :~ ὁμοῦ οἱ δύο χοροί.

Η ἀσώματος φύσις τὰ χερουβὶμ ἀσιγήτοις σε ὕμνοις δοξολογεῖ. ἑξαπτέρυγα ζῶα τὰ σεραφὶμ, ταῖς ἀπαύστοις φωναῖς σε ὑπερυψοῖ. τῶν ἀγγέλων τε πᾶσαι αἱ στρατιαὶ, τρισαγίοις σε ᾄσμασιν εὐφημεῖ. πρὸ γὰρ πάντων ὑπάρχεις ὁ ὢν πατὴρ, καὶ συνάναρχον ἔχεις τὸν σὸν υἱόν. καὶ ἰσότιμον φέρων πνεῦμα ζωῆς, τῆς τριάδος δεικνύεις τὸ ἀμερές. παναγία παρθένε μῆτερ θεοῦ, οἱ τοῦ λόγου αὐτόπται καὶ ὑπουργοί. προφητῶν καὶ μαρτύρων πάντες χοροὶ, ὡς ἀθάνατον ἔχοντες τὴν ζωήν. ὑπὲρ πάντων πρεσβεύσατε ἐκτενῶς, ὅτι πάντες ὑπάρχομεν ἐν δεινοῖς. ἵνα πλάνης ῥυσθέντες τοῦ πονηροῦ, τῶν ἀγγέλων βοήσωμεν τὴν ᾠδήν. ἅγιε, ἅγιε, ἅγιε, τρισάγιε, κύριε ἐλέησον καὶ σῶσον ἡμᾶς :~

εἶτα χθαμαλῇ τῇ φωνῇ, τὸ,

Πιστεύω εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων :~

ἅπαντα λέγομεν ἐκ δευτέρου.

Παναγία δέσποινα θεοτόκε, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν :~

Πᾶσαι αἱ οὐράνιαι δυνάμεις τῶν ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιε ἰωάννη προφῆτα καὶ πρόδρομε, καὶ βαπτιστὰ τοῦ κυ-



Digitized by Google

ἡμῶν Ἰυ̃ Χυ̃ πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιοι ἔνδοξοι ἀπόστολοι προφῆται καὶ μάρτυρες, καὶ πάντες ἅγιοι, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν:~

Ὅσιοι θεοφόροι πατέρες ἡμῶν, ποιμένες καὶ διδάσκαλοι τῆς οἰκουμένης, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν:~

εἰ βούλει λέγε καὶ τοῦ ἁγίου τῆς μονῆς.

Ἡ ἀήττητος καὶ ἀκατάληπτος, καὶ θεία δύναμις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἁμαρτωλούς:~

Ὁ θεὸς ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς:~

Ὁ θεὸς ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἐλέησον ἡμᾶς:~ καὶ τὸ τρισάγιον παναγία τριάς. πάτερ ἡμῶν. καὶ ψάλλομεν εἰς ἦχον β'. τὰ τροπάρια ταῦτα. ἂν δὲ τύχῃ ἑορτή, ψάλλομεν καὶ τῆς ἑορτῆς.

Φώτισον τοὺς ὀφθαλμούς μου Χε̃ ὁ θεός, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου ἴσχυσα πρὸς αὐτόν:~ δόξα.

Ἀντιλήπτωρ τῆς ψυχῆς μου γενοῦ ὁ θεός. ὅτι μέσον διαβαίνω παγίδων πολλῶν ῥῦσαί με ἐξ αὐτῶν καὶ σῶσόν με ἀγαθὲ ὡς φιλάνθρωπος:~

καὶ νῦν, θτ.

Ὅτι οὐκ ἔχομεν παρρησίαν, διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα. σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον θεοτόκε παρθένε. πολλὰ γὰρ ἰσχύει δέησις μητρὸς πρὸς εὐμένειαν δεσπότου. μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστί, καὶ

Digitized by Google

σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος:~

Ἕτερα τροπάρια ψαλλόμενα ἡμέραν παρ' ἡμέραν, εἰς ἦχον πλ. δ'.

Τῶν ἀοράτων ἐχθρῶν μου τὸ ἄθυμον ἐπίστασαι κύριε. καὶ τῆς ἀθλίας σαρκός μου τὸ ἄτονον ἔγνως ὁ πλάσας με. διὸ εἰς χεῖράς σου παρατίθημαι τὸ πνεῦμά μου. σκέπασόν με πτέρυξι τῆς σῆς ἀγαθότητος, ἵνα μὴ ὑπνώσω εἰς θάνατον. καὶ τοὺς νοερούς ὀφθαλμούς μου φώτισον, ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου. καὶ διέγειρόν με ἐν καιρῷ εὐθέτῳ πρὸς σὴν δοξολογίαν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος:~

Στίχος. ἐπίβλεψον εἰσάκουσόν μου κύριε.

Ὡς φοβερὰ ἡ κρίσις σου κύριε, τῶν ἀγγέλων παρισταμένων, τῶν ἀνθρώπων εἰσαγομένων, τῶν βίβλων ἀνεῳγμένων. τῶν ἔργων ἐρευνωμένων, τῶν λογισμῶν ἐξεταζομένων. ποία κρίσις ἔσται ἐν ἐμοὶ τῷ συλληφθέντι ἐν ἁμαρτίαις. τίς μου τὴν φλόγα κατασβέσει, τίς μου τὸ σκότος καταλάμψει, εἰ μὴ σὺ κύριε ἐλεήσεις με ὡς φιλάνθρωπος:~ δόξα.

Δάκρυά μοι δὸς ὁ θεὸς ὥς ποτε τῇ γυναικὶ τῇ ἁμαρτωλῷ, καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου, τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ τῆς πλάνης ἐλευθερώσαντας. καὶ μύρον εὐωδίας σοι προσφέρειν βίον καθαρὸν ἐν μετανοίᾳ μοι κτισθέντα, ἵνα ἀκούσω κἀγὼ τῆς εὐκταίας σου φωνῆς. ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην:~ καὶ νῦν.

Τὴν ἀκαταίσχυντον θεοτόκε ἐλπίδα σου ἔχων σωθήσομαι. τὴν προστασίαν σου κεκτημένος πανάχραντε, οὐ

φοβηθήσομαι. καταδιώξω τοὺς ἐχθρούς μου καὶ τρο-
πώσομαι. μόνην ἀμπεχόμενος ὡς θώρακα τὴν σκέ-
πην σου καὶ τὴν παντοδύναμον βοήθειάν σου, καὶ ἱκε-
τεύων βοῶ σοι, δέσποινα, σωθῶμεν ταῖς πρεσβείαις σου.
καὶ ἀναστησόμεθα ἐκ ζοφώδους ὕπνου πρὸς τὴν δοξο-
λογίαν, δυνάμει τοῦ ἐκ σοῦ σαρκωθέντος θεοῦ:~

Τὸ κύριε ἐλέησον, μ´. τὴν τιμιωτέραν. ἐν ὀνόματι κυρίου. ὁ ἱερεὺς, διὰ εὐχῶν τῶν ἁγίων πατέρων, καὶ τὴν εὐχὴν ταύτην, τοῦ μεγάλου Βασιλείου.

Κύριε κύριε ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, ῥῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. πρόσδεξαι θυσίαν ἑσπερινὴν, τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. καταξίωσον δὲ ἡμᾶς, καὶ τὸ νυκτερινὸν στάδιον ἀμέμπτως διελθεῖν, ἀπειράστους κακῶν. καὶ λύτρωσαι ἡμᾶς πάσης ταραχῆς καὶ δειλίας τῆς ἐκ τοῦ διαβόλου ἡμῖν προσγινομένης. χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν. καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν, τῆς ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου κρίσει ἐξετάσεως. καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν. καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς. ἵνα καὶ ἐν τῇ καθ' ὕπνον ἡσυχίᾳ, ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. ἀπόστησον δὲ ἀφ' ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ, καὶ ἐπιθυμίαν βλαβεράν. διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς, ἐστηριγμένους ἐν τῇ πίστει, καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου. εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου υἱοῦ. μεθ' οὗ, εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου

πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων, ἀμήν:~ Καὶ αὖθις δεῦτε προσκυνήσω-
μεν ἐκ γ΄. καὶ μετανοίας γ΄. εἶτα τὸν ν΄.

Ἐλέησόν με ὁ θεὸς, κατὰ τὸ μέγα ἔλεός σου. καὶ κατὰ
τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμη-
μά μου. ἐπὶ πλεῖον πλῦνόν με, ἀπὸ τῆς ἀνομίας μου.
καὶ ἀπὸ τῆς ἁμαρτίας μου, καθάρισόν με. ὅτι τὴν ἀνο-
μίαν μου, ἐγὼ γινώσκω. καὶ ἡ ἁμαρτία μου, ἐνώπιόν μου
ἐστὶ διαπαντός. σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώ-
πιόν σου ἐποίησα. ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις
σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. ἰδοὺ γὰρ ἐν ἀνο-
μίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ
μήτηρ μου. ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας. τὰ ἄδηλα καὶ
τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. ῥαντιεῖς με
ὑσσώπῳ καὶ καθαρισθήσομαι. πλυνεῖς με καὶ ὑπὲρ χιό-
να λευκανθήσομαι. ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐ-
φροσύνην. ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. ἀπό-
στρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου. καὶ πά-
σας τὰς ἀνομίας μου ἐξάλειψον. καρδίαν καθαρὰν
κτίσον ἐν ἐμοὶ ὁ θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν
τοῖς ἐγκάτοις μου. μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώ-
που σου. καὶ τὸ πνεῦμά σου τὸ ἅγιον, μὴ ἀντανέλῃς ἀπ᾽ ἐ-
μοῦ. ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ
πνεύματι ἡγεμονικῷ στήριξόν με. διδάξω ἀνόμους τὰς
ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. ῥῦσαί με ἐξ
αἱμάτων, ὁ θεὸς ὁ θεὸς τῆς σωτηρίας μου. ἀγαλλιάσε-
ται ἡ γλῶσσά μου, τὴν δικαιοσύνην σου. κύριε, τὰ χεί-
λη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνε-

Digitized by Google

στήριξον. ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν. ὁλοκαυ-
τώματα, οὐκ εὐδοκήσεις. θυσία τῷ θεῷ, πνεῦμα συντε-
τριμμένον. καρδίαν συντετριμμένην, καὶ τεταπεινω-
μένην, ὁ θεὸς οὐκ ἐξουδενώσει. ἀγάθυνον κύριε ἐν τῇ
εὐδοκίᾳ σου, τὴν σιών. καὶ οἰκοδομηθήτω, τὰ τείχη
ἱερουσαλήμ. τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης,
ἀναφορὰν καὶ ὁλοκαυτώματα. τότε ἀνοίσουσιν ἐπὶ
τὸ θυσιαστήριόν σου μόσχους:~

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου
πρὸς σὲ ἐλθέτω. μὴ ἀποστρέψῃς τὸ πρόσωπόν
σου ἀπ' ἐμοῦ, ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον
πρός με τὸ οὖς σου. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε,
ταχὺ ἐπάκουσόν μου. ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ
ἡμέραι μου. καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.
ἐπλήγην ὡσεὶ χόρτος καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι
ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου, ἀπὸ φωνῆς τοῦ στε-
ναγμοῦ μου. ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. ὁμοιώ-
θην πελεκᾶνι ἐρημικῷ. ἐγενήθην ὡσεὶ νυκτικόραξ
ἐν οἰκοπέδῳ. ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονά-
ζον ἐπὶ δώματος. ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ
ἐχθροί μου. καὶ οἱ ἐπαινοῦντές με, κατ' ἐμοῦ ὤμνυον,
ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον. καὶ τὸ πόμα μου μετὰ
κλαυθμοῦ ἐκίρνων. ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυ-
μοῦ σου, ὅτι ἐπάρας κατέρραξάς με. αἱ ἡμέραι μου, ὡσεὶ
σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. σὺ δὲ
κύριε εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν
καὶ γενεάν. σὺ ἀναστὰς οἰκτειρήσεις τὴν σιών, ὅτι και-

Digitized by Google

τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός. ὅτι εὐδόκησαν
οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκ-
τειρήσουσι, καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα κυρίου, καὶ
πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου. ὅτι οἰκοδομή-
σει κύριος τὴν σιών, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.
ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ
ἐξουδένωσε τὴν δέησιν αὐτῶν. γραφήτω αὕτη εἰς γενεὰν
ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν κύριον, ὅτι ἐξέ-
κυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ. κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν
γῆν ἐπέβλεψε, τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημέ-
νων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. τοῦ ἀναγγεῖ-
λαι ἐν σιὼν τὸ ὄνομα κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν ἱερουσαλήμ.
ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό, καὶ βασιλεῖς
τοῦ δουλεύειν τῷ κυρίῳ. ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος
αὐτοῦ. τὴν ὀλιγότητα τῶν ἡμερῶν μου. ἀνάγγειλόν μοι, μὴ
ἀναγάγῃς με, ἐν ἡμίσει ἡμερῶν μου ἐν γενεᾷ γενεῶν
τὰ ἔτη σου. κατ᾽ ἀρχὰς σὺ κύριε τὴν γῆν ἐθεμελίωσας. καὶ
ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. αὐτοὶ ἀπολοῦνται,
σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσον-
ται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγή-
σονται. σὺ δὲ, ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψου-
σιν. οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρ-
μα αὐτῶν, εἰς τὸν αἰῶνα κατευθυνθήσεται:~

Προσευχὴ Μανασσῆ βασιλέως τῆς Ἰουδαίας.

Κύριε παντοκράτορ ὁ θεὸς τῶν πατέρων ἡμῶν. τοῦ
Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, καὶ τοῦ σπέρμα-
τος αὐτῶν τοῦ δικαίου. ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν
γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν. ὁ πεδήσας τὴν

Digitized by Google

θάλασσαν, τῷ λόγῳ τοῦ προστάγματός σου. ὁ κλείσας
τὴν ἄβυσσον καὶ σφραγισάμενος αὐτὴν, τῷ φοβερῷ
καὶ ἐνδόξῳ ὀνόματί σου· ὃν πάντα φρίσσει καὶ τρέμει,
ἀπὸ προσώπου τῆς δυνάμεώς σου. ὅτι ἄστεκτος ἡ με-
γαλοπρέπεια τῆς δόξης σου, καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς
ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου. ἀμέτρητόν τε, καὶ ἀνε-
ξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου. σὺ γὰρ εἶ κύριος,
ὕψιστος, εὔσπλαγχνος, μακρόθυμος, καὶ πολυέλεος,
καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων. σὺ κύριε κα-
τὰ τὸ πλῆθος τῆς χρηστότητός σου, ἐπηγγείλω μετά-
νοιαν καὶ ἄφεσιν τοῖς ἡμαρτηκόσι σοι, καὶ τῷ πλήθει τῶν
οἰκτιρμῶν σου, ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σω-
τηρίαν. σὺ οὖν κύριε ὁ θεὸς τῶν δυνάμεων, οὐκ ἔθου μετά-
νοιαν δικαίοις τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ
τοῖς οὐχ ἡμαρτηκόσι σοι, ἀλλ' ἔθου μετάνοιαν ἐπ' ἐμοὶ
τῷ ἁμαρτωλῷ, διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμ-
μου θαλάσσης. ἐπλήθυναν αἱ ἀνομίαι μου κύριε ἐπλή-
θυναν αἱ ἀνομίαι μου, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι καὶ
ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τοῦ πλήθους τῶν ἀδικιῶν
μου, κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρῳ· εἰς τὸ
μὴ ἀνανεῦσαι τὴν κεφαλήν μου καὶ οὐκ ἔστι μοι ἄνεσις,
διότι παρώργισα τὸν θυμόν σου, καὶ τὸ πονηρὸν ἐνώπιόν
σου ἐποίησα· μὴ ποιήσας τὸ θέλημά σου, καὶ μὴ φυλά-
ξας τὰ προστάγματά σου. καὶ νῦν κλίνω γόνυ καρδίας,
δεόμενος τῆς παρὰ σοῦ χρηστότητος. ἡμάρτηκα κύριε
ἡμάρτηκα, καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω, ἀλλ' αἰ-
τοῦμαι δεόμενος. ἄνες μοι κύριε ἄνες μοι, καὶ μὴ συνα-

Digitized by Google

πολέσῃς με ταῖς ἀνομίαις μου. μηδὲ εἰς τὸν αἰῶνα μηνίσας, τηρήσῃς τὰ κακά μοι. μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς, διότι σὺ εἶ θεός, θεὸς τῶν μετανοούντων, καὶ ἐν ἐμοὶ δείξεις πᾶσαν τὴν ἀγαθωσύνην σου. ὅτι ἀνάξιον ὄντα, σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου. καὶ αἰνέσω σε διαπαντὸς ἐν ταῖς ἡμέραις τῆς ζωῆς μου. ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

Τρισάγιον, μετὰ παρρησίας. γ΄. παναγία τριάς. πάτερ ἡμῶν, καὶ τὰ τροπάρια ταῦτα εἰς ἦχον πλ. β΄. χύμα. ἰστέον ὅτι ὅταν τύχῃ δεσποτικὴ ἑορτή, λέγομεν τὸ κοντάκιον αὐτῆς.

Ἐλέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν ἐλέησον ἡμᾶς. δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. σὺ γὰρ εἶ θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου. πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα:~ καὶ νῦν. θεοτ.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν εὐλογημένη θεοτόκε. ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν. ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. σὺ γὰρ εἶ σωτηρία τοῦ γένους τῶν χριστιανῶν:~ Τὸ κύριε ἐλέησον, μ΄. δόξα καὶ νῦν. τὴν τιμιωτέραν. ἐν ὀνόματι κυρίου. ὁ ἱερεύς, δι' εὐχῶν τῶν ἁγίων. καὶ ἡ παροῦσα εὐχή:~

Δέσποτα θεὲ πάτερ παντοκράτορ, κύριε υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ καὶ ἅγιον πνεῦμα· μία θεότης, μία

Digitized by Google

δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν. καὶ οἷς ἐπίστασαι
κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου. ὅτι εὐλογη-
τὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν :~

δεῦτε προσκυνήσωμεν ἐκ γ'. καὶ εὐθύς.

Ὁ θεὸς εἰς τὴν βοήθειάν μου. πρόσχες, κύριε εἰς τὸ βοηθῆ-
σαί μοι σπεῦσον. αἰσχυνθήτωσαν, καὶ ἐντραπήτω-
σαν, οἱ ζητοῦντες τὴν ψυχήν μου. ἀποστραφήτωσαν
εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι
κακά. ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι, οἱ
λέγοντές μοι εὖγε, εὖγε. ἀγαλλιάσθωσαν καὶ εὐφρανθή-
τωσαν, ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε ὁ θεός. καὶ λεγέτωσαν
διαπαντός, μεγαλυνθήτω ὁ θεός οἱ ἀγαπῶντες τὸ σωτή-
ριόν σου. ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης. ὁ θεὸς βοήθησόν
μοι. βοηθός μου καὶ ῥύστης μου εἶ σύ, κύριε μὴ χρονίσῃς:~

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν
δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. εἰσάκουσόν μου ἐν τῇ
δικαιοσύνῃ σου καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ
δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς
ζῶν. ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου. ἐταπεί-
νωσεν εἰς γῆν τὴν ζωήν μου. ἐκάθισέ με ἐν σκοτεινοῖς
ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου.
ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. ἐμνήσθην ἡμερῶν ἀρ-
χαίων. ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου. ἐν ποιήμα-
σι τῶν χειρῶν σου ἐμελέτων. διεπέτασα πρὸς σὲ τὰς
χεῖράς μου. ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. ταχὺ εἰσάκ-
ουσόν μου κύριε. ἐξέλιπε τὸ πνεῦμά μου. μὴ ἀποστρέψῃς τὸ πρό-
σωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαί-

Digitized by Google

ουσιν εἰς λάκκον. ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. γνώρισόν μοι κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου. κύριε πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ θεός μου. τὸ πνεῦμά σου τὸ ἀγαθὸν, ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός σου κύριε ζήσεις με. ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί:~

Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία. ὑμνοῦμέν σε, εὐλογοῦμέν σε. προσκυνοῦμέν σε, δοξολογοῦμέν σε. εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν. κύριε βασιλεῦ ἐπουράνιε, θεὲ πάτερ παντοκράτορ· κύριε υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ καὶ ἅγιον πνεῦμα. κύριε ὁ θεὸς, ὁ ἀμνὸς τοῦ θεοῦ. ὁ υἱὸς τοῦ πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς. ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, πρόσδεξαι τὴν δέησιν ἡμῶν. ὁ καθήμενος ἐν δεξιῶν τοῦ πατρὸς, καὶ ἐλέησον ἡμᾶς. ὅτι σὺ εἶ μόνος ἅγιος. σὺ εἶ μόνος κύριος, Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρὸς, ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος:~

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. ἐγὼ εἶπα κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου. ὅτι ἥμαρτόν σοι. κύριε πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ ὁ θεός μου ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Digitized by Google

παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε :~ μετανοίας γ΄. εἰ ἔστι νηστεία. ὕμνος ἀπὸ ῥητῶν ψαλμικῶν.

Καταξίωσον κύριε ἐν τῇ νυκτὶ ταύτῃ, ἀναμαρτήτως φυλαχθῆναι ἡμᾶς. εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν. καὶ αἰνετὸν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, ἀμήν. γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. εὐλογητὸς εἶ κύριε δίδαξόν με τὰ δικαιώματά σου. εὐλογητὸς εἶ δέσποτα συνέτισόν με τὰ δικαιώματά σου. εὐλογητὸς εἶ ἅγιε φώτισόν με τοῖς δικαιώμασί σου. κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. σοὶ πρέπει αἶνος. σοὶ πρέπει ὕμνος. σοὶ δόξα πρέπει τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἐνταῦθα λέγομεν κανόνα τοῦ θεοῦ. καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ κανόνος καὶ τῶν τροπαρίων, τρισάγιον. παναγία τριάς. πάτερ ἡμῶν. καὶ τὸ τροπάριον, τὸ, κύριε τῶν δυνάμεων ἐκ β΄. εἶτα ὁ μὲν πρῶτος χορὸς λέγει τοὺς στίχους. ὁ δὲ δεύτερος, τὸ τροπάριον. τροπάριον ἦχος πλ. β΄

Κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ. ἄλλον γὰρ ἐκτός σου βοηθὸν ἐν θλίψεσιν οὐκ ἔχομεν. κύριε τῶν δυνάμεων, ἐλέησον ἡμᾶς :~ Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ.

κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ :~

κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ

Digitized by Google

ψαλτηρίῳ καὶ κιθάρᾳ :~

κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ :~

κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον.

κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ.

εἶτα ὁ μὲν α΄ χορός.

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ.

ὁ δὲ δεύτερος χορός.

Αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ. καὶ πάλιν οἱ β΄ χοροὶ ὁμοῦ. δόξα τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι:~

Κε εἰ μὴ τοὺς ἁγίους σου εἴχομεν πρεσβευτὰς, καὶ τὴν ἀγαθότητά σου συμπαθοῦσαν ἡμῖν, πῶς ἐτολμῶμεν σῶτερ ὑμνῆσαί σε, ὃν εὐλογοῦσιν ἀπαύστως ἄγγελοι. καρδιογνῶστα, φεῖσαι τῶν ψυχῶν ἡμῶν. καὶ νῦν θεοτ.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν θεοτόκε πταισμάτων. πρὸς σὲ κατέφυγον ἁγνὴ σωτηρίας δεόμενος. ἐπίσκεψαι τὴν ἀσθενοῦσαν μου ψυχὴν, καὶ πρέσβευε τῷ υἱῷ σου καὶ θεῷ ἡμῶν δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν μόνη εὐλογημένη :~

Παναγία θεοτόκε τὸν χρόνον τῆς ζωῆς μου μὴ ἐγκαταλίπῃς με. ἀνθρωπίνῃ προστασίᾳ μὴ καταπιστεύσῃς με, ἀλλ' αὐτὴ ἀντιλαβοῦ καὶ ἐλέησόν με:~

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι. μῆτερ τοῦ φωτὸς φύλαξόν με ὑπὸ τὴν σκέπην σου:~



Digitized by Google

μέγα ἀπόδειπνον.

Ψό κύριε ἐλέησον μ'.

Ο ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεός, ὁ μακρόθυμος ὁ πολυέλεος, ὁ τοὺς δικαίους ἀγαπῶν, καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν, διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν. αὐτὸς κύριε πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις. καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον. τοὺς λογισμοὺς διόρθωσον. τὰς ἐννοίας κάθαρον, καὶ ῥῦσαι ἡμᾶς, ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. τείχισον ἡμᾶς ἁγίοις σου ἀγγέλοις. ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι, καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης. ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Κύριε ἐλέησον, γ'. δόξα καὶ νῦν. τὴν τιμιωτέραν. ἐν ὀνόματι κυρίου εὐλόγησον πάτερ. ὁ ἱερεύς, ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. καὶ ἡμεῖς ἱστάμενοι μικρόν, λέγομεν καθ' ἑαυτοὺς τὴν εὐχὴν ταύτην.

Κύριε καὶ δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας, καὶ ἀργολογίας, μή μοι δῷς. μετάνοια ά. Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης, χάρισαί μοι τῷ σῷ δούλῳ. μετάνοια ά. Ναὶ κύριε βασιλεῦ δώρησαί μοι ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου. ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Μετάνοια ά, ποιοῦμεν καὶ τάς, ιβ', καὶ πάλιν τὴν

αὐτὴν ὄχλον· καὶ μετάνοιαν α΄. καὶ Τρισάγιον, καὶ Παναγία Τριάς. καὶ Πάτερ ἡμῶν. ὁ ἱερεὺς. ὅτι σοῦ ἐστὶν ἡ βασιλεία. καὶ Κύριε ἐλέησον, ιβ΄. καὶ ὠχὴ ἱκέσιος εἰς τὴν ὑπεραγίαν θεοτόκον, παύλου μοναχοῦ μονῆς τῆς εὐεργέτιδος.

Ἄσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε, ἁγνὴ, παρθένε, θεόνυμφε δέσποινα. ἡ θεὸν λόγον τοῖς ἀνθρώποις, τῇ παραδόξῳ σου κυήσει ἑνώσασα. καὶ τὴν ἀπωσθεῖσαν φύσιν τοῦ γένους ἡμῶν τοῖς οὐρανίοις συνάψασα. ἡ τῶν ἀπελπισμένων μόνη ἐλπὶς, καὶ τῶν πολεμουμένων βοήθεια. ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων, καὶ πάντων τῶν χριστιανῶν τὸ καταφύγιον. μὴ βδελύξῃ με τὸν ἁμαρτωλὸν, τὸν ἐναγῆ, τὸν αἰσχροῖς λογισμοῖς καὶ λόγοις καὶ πράξεσιν, ὅλον ἐμαυτὸν ἀχρειώσαντα. καὶ τῇ τῶν ἡδονῶν τοῦ βίου ῥαθυμίᾳ, γνώμῃ δοῦλον γενόμενον. ἀλλ᾽ ὡς τοῦ φιλανθρώπου θεοῦ μήτηρ φιλανθρώπως σπλαγχνίσθητι ἐπ᾽ ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀσώτῳ. καὶ δέξαι μου τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοι δέησιν. καὶ τὸν σὸν υἱὸν καὶ ἡμῶν δεσπότην καὶ κύριον, τῇ μητρικῇ σου παῤῥησίᾳ χρωμένη, δυσώπησον, ἵνα ἀνοίξῃ κἀμοὶ τὰ φιλάνθρωπα σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος, καὶ παριδὼν μου τὰ ἀναρίθμητα πταίσματα, ἐπιστρέψῃ με πρὸς μετάνοιαν. καὶ τῶν αὐτοῦ ἐντολῶν, ἐργάτην δόκιμον ἀναδείξῃ με. καὶ πάρεσό μοι ἀεὶ ὡς ἐλεήμων καὶ συμπαθὴς, καὶ φιλάγαθος. ἐν μὲν τῷ παρόντι βίῳ, θερμὴ προστάτις καὶ βοηθὸς, τὰς τῶν ἐναντίων ἐφόδους ἀποτειχίζουσα, καὶ πρὸς σωτηρίαν καθοδηγοῦσά με. καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου, τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα. καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονηρῶν δαιμό-



Digitized by Google

μων, πόῤῥω αὐτῆς ἀπελαύνουσα. ἐν δὲ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, τῆς αἰωνίου με ῥυομένη κολάσεως, καὶ τῆς ἀποῤῥήτου δόξης τοῦ σοῦ υἱοῦ καὶ θεοῦ ἡμῶν, κληρονόμον με ἀποδεικνύουσα. ἧς καὶ τύχοιμι δέσποινά μου ὑπεραγία θεοτόκε, διὰ τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως. χάριτι καὶ φιλανθρωπία, τοῦ μονογενοῦς σου υἱοῦ, τοῦ κυρίου, καὶ θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εὐχὴ ἑτέρα ἐπικοίτιος, εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἀντιόχου μοναχοῦ τοῦ πανδέκτου.

Καὶ δὸς ἡμῖν δέσποτα πρὸς ὕπνον ἀπιοῦσιν, ἀνάπαυσιν σώματος καὶ ψυχῆς. καὶ διαφύλαξον ἡμᾶς ἀπὸ τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας. καὶ ἀπὸ πάσης σκοτεινῆς καὶ νυκτερινῆς ἡδυπαθείας. παῦσον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ, τὰ καθ' ἡμῶν δολίως κινούμενα. τὰς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις, κατάστειλον. καὶ πᾶν γεῶδες καὶ ὑλικὸν ἡμῶν φρόνημα κοίμησον. καὶ δώρησαι ἡμῖν ὁ θεὸς, γρήγορον νοῦν, σώφρονα λογισμὸν, καρδίαν νήφουσαν, ὕπνον ἐλαφρὸν, καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον. διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν ταῖς ἐντολαῖς σου. καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντες. παννύχιον ἡμῖν τὴν σὴν δοξολογίαν χάρισαι, εἰς τὸ ὑμνεῖν, καὶ εὐλογεῖν, καὶ δοξάζειν, τὸ

πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν :~

Ψ ὁ ἄξιον ἐστί. δόξα σοι ὁ θεὸς ἡ ἐλπὶς ἡμῶν. δόξα καὶ νῦν. κύριε ἐλέησον γ'. καὶ εἰ ἔστιν ἱερεὺς, ἐκφωνεῖ, ἡμῶν ἐπὶ ἐδάφους κεκλιμένων.

Ἐλέησον ἡμᾶς πολυέλεε, κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν. πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου μαρίας. δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων. τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου, καὶ βαπτιστοῦ Ἰωάννου. τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων. τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων. τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν. τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης. καὶ πάντων σου τῶν ἁγίων, εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν. Δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν :~

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. Ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον. Εἰρήνευσον ἡμῶν τὴν ζωήν. Κύριε ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου. Καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος :~

Εἶτα οὕτω ποιήσας ὁ προεστὼς μετάνοιαν ἐπὶ γῆς, λέγει τοῖς ἀδελφοῖς. εὐλογεῖτε πατέρες ἅγιοι συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ. καὶ οἱ ἀδελφοί, ὁ θεὸς συγχωρήσει σοι πάτερ ἅγιε. καὶ ἄρχονται οἱ ἀδελφοὶ ἀπὸ τοῦ δεξιοῦ καὶ ἀριστεροῦ χοροῦ κατὰ τάξιν εἰς εἰς ποιεῖν ὁμοίως, καὶ αἰτεῖσθαι καὶ λαμβάνειν συγχώρησιν



Digitized by Google

μέχρις ἂν πληρωθῶσιν ἅπαντες. ὁ δὲ ἱερεὺς λέγει. Εὐξώμεθα ὑπὲρ τῶν ὀρθοδόξων χριστιανῶν. καὶ ἡμεῖς συνεχῶς τὸ κύριε ἐλέησον.

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν καὶ πάσης τῆς ἐν χριστῷ ἡμῶν ἀδελφότητος. Ὑπὲρ τῶν ἀπολειφθέντων πρῶν καὶ ἀδελφῶν ἡμῶν. Ὑπὲρ τῶν διακονούντων καὶ διακονησάντων ἡμῖν. Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς. Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων. Ὑπὲρ τῶν ἐν θαλάσσῃ δικαίως πλεόντων. Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων. Ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς. Καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων. εἴπωμεν καὶ ὑπὲρ αὐτῶν τὸ κύριε ἐλέησον.

Ὁ προεστώς. δι' εὐχῶν τῶν ἁγίων. καὶ λαμβάνομεν οἱ πάντες συγχώρησιν ἀπὸ τοῦ προεστῶτος, καὶ ἀπερχόμενοι ἐν τοῖς κελλίοις ἡμῶν, λέγομεν τὴν εὐχὴν ταύτην, ἥτις καὶ ὑπὸ ἰδιώτου λέγεται.

Τοῖς μισοῦσι καὶ ἀδικοῦσιν ἡμᾶς συγχώρησον κύριε. Τοῖς ἀγαθοποιοῦσιν, ἀγαθοποίησον. Τοῖς ἀδελφοῖς καὶ ἰδίοις ἡμῶν, χάρισαι τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ζωὴν τὴν αἰώνιον. Τοὺς ἐν ἀσθενείᾳ ἐπίσκεψαι, καὶ ἴασιν δώρησαι. Τοὺς ἐν θαλάσσῃ, κυβέρνησον. Τοῖς ἐν ὁδοιπορίαις, συνόδευσον. Τῷ βασιλεῖ, συμμάχησον. Τοῖς διακονοῦσι καὶ ἐλεοῦσιν ἡμᾶς,

Digitized by Google

ἁμαρτιῶν ἄφεσιν δωρήσαι. Τοὺς ἐμπεριειλημμένους ἡ-
μῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν, ἐλέησον κατὰ
τὸ μέγα σου ἔλεος. Μνήσθητι κύριε τῶν προκοιμηθέντων
πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ ἀνάπαυσον αὐτούς, ὅπου
ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Μνήσθητι κύριε καὶ
τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων, καὶ λύτρωσαι αὐ-
τοὺς ἀπὸ πάσης περιστάσεως. Μνήσθητι κύριε τῶν καρπο-
φορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκ-
κλησίαις, καὶ δὸς αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ
ζωὴν τὴν αἰώνιον. Μνήσθητι κύριε, καὶ ἡμῶν τῶν ταπεινῶν,
καὶ ἁμαρτωλῶν, καὶ ἀναξίων δούλων σου. καὶ φώτισον ἡμῶν
τὸν νοῦν, τῷ φωτὶ τῆς γνώσεώς σου. καὶ ὁδήγησον ἡμᾶς ἐν
τῇ τρίβῳ τῶν ἐντολῶν σου. Πρεσβείαις τῆς πανα-
χράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου μα-
ρίας, καὶ πάντων σου τῶν ἁγίων. ὅτι εὐλογητὸς εἶ, εἰς
τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν :~

Ἔνδοξε ἀειπάρθενε εὐλογημένη θεοτόκε προσά-
γαγε τὴν ἡμετέραν προσευχὴν τῷ υἱῷ σου καὶ θεῷ
ἡμῶν, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν :~

Εὐχὴ ἑτέρα τοῦ ἁγίου Ἰωαννικίου.

Ἡ ἐλπίς μου ὁ πατήρ. καταφυγή μου ὁ υἱός. σκέπη μου
τὸ πνεῦμα τὸ ἅγιον, τριὰς ἁγία δόξα σοι :~

τέλος τοῦ μεγάλου ἀποδείπνου.

Ἀρχὴ τοῦ μικροῦ ἀποδείπνου.

Ποιοῦντες στίχον. λέγομεν δόξα σοι ὁ θεὸς ἡμῶν δόξα σοι.
Βασιλεῦ οὐράνιε, παράκλητε τὸ πνεῦμα τῆς ἀληθείας,
ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν. ὁ θη-
σαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός. ἐλθὲ καὶ


Digitized by Google

σκήνωσον ἐν ἡμῖν. καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν :~

Τὸ τρισάγιον, τὸ παναγία τριάς· τὸ πάτερ ἡμῶν. ὅτι σοῦ ἐστι. τὸ κύριε ἐλέησον, ιβʹ. τὸ δεῦτε προσκυνήσωμεν τρίς, καὶ τὸν πεντηκοστόν. Ἐλέησόν με ὁ θεός.

Ο θεὸς εἰς τὴν βοήθειάν μου. πρόσχες, κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν, οἱ ζητοῦντες τὴν ψυχήν μου ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι, οἱ λέγοντές μοι εὖγε, εὖγε. ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν, ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε ὁ θεός. καὶ λεγέτωσαν διαπαντὸς μεγαλυνθήτω ὁ θεὸς οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης. ὁ θεὸς βοήθησόν μοι. βοηθός μου καὶ ῥύστης μου εἶ σύ, κύριε μὴ χρονίσῃς :~

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου. ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου. ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου. ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. ἐμνήσθην ἡμερῶν ἀρχαίων. ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου. ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. ταχὺ εἰσάκουσόν μου κύριε. ἐξέλιπε τὸ πνεῦμά μου μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ,

καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. ἀ-
κουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλ-
πισα. γνώρισόν μοι κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς
σὲ ἦρα τὴν ψυχήν μου. ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου. κύριε
πρὸς σὲ κατέφυγον. δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά-
σου, ὅτι σὺ εἶ ὁ θεός μου. τὸ πνεῦμά σου τὸ ἀγαθὸν, ὁδηγήσει με
ἐν γῇ εὐθείᾳ. ἕνεκεν τοῦ ὀνόματός σου κύριε ζήσεις με. ἐν τῇ
δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου,
καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου,
καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν-
μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί :~

Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐ-
δοκία. ὑμνοῦμέν σε, εὐλογοῦμέν σε. προσκυνοῦμέν
σε, δοξολογοῦμέν σε. εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην-
σου δόξαν. κύριε βασιλεῦ ἐπουράνιε. θεὲ πάτερ παντοκράτορ.
κύριε υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ καὶ ἅγιον πνεῦμα. κύριε ὁ θεὸς ὁ ἀμ-
νὸς τοῦ θεοῦ. ὁ υἱὸς τοῦ πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου
ἐλέησον ἡμᾶς. ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, πρόσ-
δεξαι τὴν δέησιν ἡμῶν. ὁ καθήμενος ἐκ δεξιῶν τοῦ πατρὸς,
ἐλέησον ἡμᾶς. ὅτι σὺ εἶ μόνος ἅγιος. σὺ εἶ μόνος κύριος,
Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρὸς, ἀμήν. Καθ' ἑκάστην
ἑσπέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου, εἰς τὸν
αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος :~

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.
ἐγὼ εἶπα κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου.
ὅτι ἥμαρτόν σοι. κύριε πρὸς σὲ κατέφυγον. δίδαξόν
με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ θεός μου ὅτι παρὰ
σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. παρά-

Digitized by Google

τειμον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε. Καταξίωσον [illegible] ἐν τῇ νυκτὶ ταύτῃ. εἶθ' οὕτω λέγομεν τὸ ἄξιόν [illegible] τὴν τιμιωτέραν. εἶτα τὸ πιστεύω εἰς [illegible]γιον. τὸ παναγία τριάς. τὸ πάτερ ἡμῶν. [illegible] τὰ τὴν ἡμέραν ἁγίου. καὶ ταῦτα. ἦχος δ'.

Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ὢν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου. ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα. ἡ ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι Χριστὲ ὁ θεός. τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον. εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι. καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. δόξα.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον Χριστὲ, τὰς ψυχὰς τῶν δούλων σου. ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος. καὶ νῦν.

Ταῖς πρεσβείαις κύριε πάντων τῶν ἁγίων, καὶ τῆς θεοτόκου. τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς ὡς μόνος οἰκτίρμων. τὸ κύριε ἐλέησον μ'. εἶτα, καὶ τὴν εὐχήν.

Ὁ ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρᾳ, ἐν οὐρανῷ καὶ γῆς ὁ, κύριε ἐλέησον, γ'. δόξα καὶ νῦν. τὴν τιμιωτέραν. ἐν ὀνόματι κυρίου εὐλόγησον πάτερ. δι' εὐχῶν τῶν ἁγίων πατέρων.

Ἄσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε, ἁγνὴ παρθένε, θεόνυμφε δέσποινα. ἡ θεὸν λόγον τοῖς ἀνθρώποις, τῇ παραδόξῳ σου κυήσει ἑνώσασα. καὶ τὴν ἀπωσθεῖσαν φύσιν τοῦ γένους ἡμῶν τοῖς οὐρανίοις συνάψασα. ἡ τῶν ἀπελ

πισμένων μόνη ἐλπὶς, καὶ τῶν πολεμουμένων βοήθεια. ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων, καὶ πάντων τῶν χριστιανῶν τὸ καταφύγιον. μὴ βδελύξῃς με τὸν ἁμαρτωλὸν, τὸν μιαρὸν, τὸν αἰσχροῖς λογισμοῖς καὶ λόγοις καὶ πράξεσιν. ὅλον ἐμαυτὸν ἀχρειώσαντα. καὶ τῇ τῶν ἡδονῶν τοῦ βίου ῥαθυμίᾳ, γνώμῃ δοῦλον γενόμενον. ἀλλ' ὡς τοῦ φιλανθρώπου θεοῦ μήτηρ φιλανθρώπως σπλαγχνίσθητι ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀσώτῳ. καὶ δέξαι μου τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοι δέησιν. καὶ τὸν σὸν υἱὸν καὶ ἡμῶν δεσπότην καὶ κύριον, τῇ μητρικῇ σου παρρησίᾳ χρωμένη, δυσώπησον, ἵνα ἀνοίξῃ κἀμοὶ τὰ φιλάνθρωπα σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος, καὶ παριδὼν μου τὰ ἀναρίθμητα πταίσματα, ἐπιστρέψῃ με πρὸς μετάνοιαν. καὶ τῶν αὐτοῦ ἐντολῶν, ἐργάτην δόκιμον ἀναδείξῃ με. καὶ παρέσο μοι ἀεὶ ὡς ἐλεήμων καὶ συμπαθὴς, καὶ φιλάγαθος. ἐν μὲν τῷ παρόντι βίῳ, θερμὴ προστάτις καὶ βοηθὸς, τὰς τῶν ἐναντίων ἐφόδους ἀποτειχίζουσα, καὶ πρὸς σωτηρίαν καθοδηγοῦσά με. καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου, τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα. καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονηρῶν δαιμόνων, πόρρω αὐτῆς ἀπελαύνουσα. ἐν δὲ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, τῆς αἰωνίου με ῥυομένη κολάσεως, καὶ τῆς ἀπορρήτου δόξης τοῦ σοῦ υἱοῦ καὶ θεοῦ ἡμῶν, κληρονόμον με ἀποδεικνύουσα. ἧς καὶ τύχοιμι δέσποινά μου ὑπεραγία θεοτόκε, διὰ τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως. χάριτι καὶ φιλανθρωπίᾳ, τοῦ μονογενοῦς σου υἱοῦ, τοῦ κυρίου, καὶ θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις,

Digitized by Google

σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρί, καὶ τῷ παναγίῳ, καὶ
ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ πνεύματι. νῦν καὶ ἀεί, καὶ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

Καὶ δὸς ἡμῖν δέσποτα πρὸς ὕπνον ἀπιοῦσιν, ἀνά-
παυσιν σώματος καὶ ψυχῆς. καὶ διαφύλαξον
ἡμᾶς. ἀπὸ τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας. καὶ ἀπὸ
πάσης σκοτεινῆς καὶ νυκτερινῆς ἡδυπαθείας. παῦ-
σον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα
βέλη τοῦ πονηροῦ, τὰ καθ' ἡμῶν δολίως κινούμενα.
τὰς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις, κατάστειλον. καὶ
πᾶν γεῶδες καὶ ὑλικὸν ἡμῶν φρόνημα κοίμισον. καὶ
δώρησαι ἡμῖν ὁ θεός, γρήγορον νοῦν, σώφρονα λογι-
σμόν, καρδίαν νήφουσαν, ὕπνον ἐλαφρόν, καὶ πάσης
σατανικῆς φαντασίας ἀπηλλαγμένον. διανάστησον δὲ
ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς, ἐστηριγμένους ἐν
ταῖς ἐντολαῖς σου. καὶ τὴν μνήμην τῶν σῶν κριμάτων
ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντες. παννύχιον ἡμῖν
τὴν σὴν δοξολογίαν χάρισαι, εἰς τὸ ὑμνεῖν, καὶ εὐλο-
γεῖν, καὶ δοξάζειν, τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνο-
μά σου, τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~ καὶ ἡ ἀπόλυσις.

Ἐπιγράμματα, εἰς τοὺς ιβ' μῆνας. ἄρχεται
πρῶτον, τοῦ σεπτεβρίου.

Βρίθω ἐγὼ σταφυλῇ, βρίθω δ' ἐπὶ πάσῃ ὀπώρῃ,
αὐτὴ δ' ἰσοπαλὴς γίγνεται ἤματι νύξ.

Μηνο λόγιον  σεπτεμ βρίου.

Μηνολόγιον σὺν θεῷ τοῦ ὅλου ἐνιαυτοῦ, ἔχον ἀπολυτίκια καὶ κοντάκια.

Μὴν σεπτέβριος ἔχων ἡμέρας τριάκοντα.
Ἡ ἡμέρα ἔχει ὥρας ιβ΄. ἡ δὲ νὺξ ὥρας ιβ΄.

Εἰς τὴν πρώτην, ἀρχὴ τῆς ἰνδίκτου, ἤτοι τοῦ νέου ἔτους, καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ στυλίτου, καὶ ἡ σύναξις τῆς ὑπεραγίας θεοτόκου τῶν Μιασηνῶν, καὶ τοῦ ἁγίου μάρτυρος Ἀειθαλᾶ, καὶ τῶν ἁγίων μαρτύρων μ΄ γυναικῶν καὶ Ἀμμοῦν διακόνου, καὶ διδασκάλου αὐτῶν. καὶ τῶν ἁγίων μαρτύρων, Καλλίστης, Εὐόδου, καὶ Ἑρμογένους τῶν αὐταδέλφων. καὶ μνήμη τοῦ δικαίου Ἰησοῦ τοῦ Ναυῆ. καὶ ἡ ἀνάμνησις τοῦ μεγάλου ἐμπρησμοῦ. ἀπολυτίκιον τῆς ἰνδίκτου ἦχος β΄.

Ὁ πάσης δημιουργὸς τῆς κτίσεως, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου κύριε. φυλάττων ἐν εἰρήνῃ τοὺς βασιλεῖς καὶ τὴν πόλιν σου. πρεσβείαις τῆς θεοτόκου καὶ σῶσον ἡμᾶς:— δόξα. τοῦ ὁσίου. ἦχος α΄.

Ὑπομονῆς στῦλος γέγονας, ζηλώσας τοὺς προπάτορας ὅσιε. τὸν Ἰὼβ ἐν τοῖς πάθεσι. τὸν Ἰωσὴφ, ἐν τοῖς πειρασμοῖς. καὶ τὴν τῶν ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι. Συμεὼν πατὴρ ἡμῶν πρέσβευε Χριστῷ τῷ θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν:— καὶ νῦν. τῆς θεοτόκου. ἦχος α΄.

Digitized by Google

Χαῖρε κεχαριτωμένη θεοτόκε παρθένε, λιμὴν καὶ προστασία, τοῦ γένους τῶν ἀνθρώπων. ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ λυτρωτὴς τοῦ κόσμου. μόνη ὑπάρχεις μήτηρ καὶ παρθένος, ἀεὶ εὐλογημένη, καὶ δεδοξασμένη, πρέσβευε Χριστῷ τῷ θεῷ, εἰρήνην δωρήσασθαι πάσῃ τῇ οἰκουμένῃ.

κοντάκιον τοῦ ὁσίου ἦχος β΄. τὰ ἄνω ζητῶν.

Τὰ ἄνω ζητῶν, τοῖς ἄνω συναπτόμενος. καὶ ἅρμα πυρὸς τὸν ζῆλον ἐργασάμενος, δι' αὐτοῦ συνόμιλος τῶν ἀγγέλων γέγονας ὅσιε, σὺν αὐτοῖς, Χριστῷ τῷ θεῷ μὴ παύσῃ πρεσβεύων, ὑπὲρ πάντων ἡμῶν:~

β΄ Τοῦ ἁγίου μάρτυρος μάμαντος, καὶ τοῦ ὁσίου πρς ἡμῶν, Ἰωάννου τοῦ νηστευτοῦ. ἀπολυτίκιον τοῦ μάρτυρος. ἦχος δ΄.

Ὁ μάρτυς σου κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ θεοῦ ἡμῶν. ἔχων γὰρ τὴν ἰσχύν σου τοὺς τυράννους καθεῖλεν. ἔθραυσε καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. αὐτοῦ ταῖς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν:~ τοῦ ὁσίου. ἦχος δ΄.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος. ἐγκρατείας διδάσκαλον ἀνέδειξέ σε τῇ ποίμνῃ σου ἡ τῶν πραγμάτων ἀλήθεια. διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. πάτερ Ἰωάννη πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~

κοντάκιον τοῦ μάρτυρος. ἦχος γ΄. ἡ παρθένος σήμερον.

Ἐν τῇ ῥάβδῳ ἅγιε, τῇ ἐκ θεοῦ σοι δοθείσῃ. τὸν λαόν σου ποίμαινον, ἐπὶ νομὰς ζωηφόρους. θῆρας δὲ τοὺς ἀοράτους καὶ ἀνημέρους, σύντριψον ὑπὸ τοὺς πόδας τῶν σε ὑμνούντων. ὅτι πάντες οἱ ἐν κινδύνοις, προσ-

Digitized by Google

στάτην μάμα, θερμῶς σε κέκλησαι:~

γ' Τοῦ ἁγίου ἱερομάρτυρος Ἀνθίμου, ἐπισκόπου Νικομηδείας. καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν θεοκτίστου συνασκητοῦ τοῦ μεγάλου Εὐθυμίου. Τροπάριον. ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος τῶν ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε. εἰς θεωρίας ἐπίβασιν. διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, ἱερομάρτυς Ἄνθιμε, πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~ Τοῦ ὁσίου. ἦχος πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐμβάθοις στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ τῇ οἰκουμένῃ, λάμπων τοῖς θαύμασι. θεόκτιστε πατὴρ ἡμῶν, πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~ Κοντάκιον τοῦ ἱερομάρτυρος· ἦχος δ'.

ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ἐν ἱερωσύνῃ ἀκριβῶς διαπρέψας, καὶ μαρτυρίου τὴν ὁδὸν διανύσας, τὰ τῶν εἰδώλων ἔσβεσας σεβάσματα, πρόμαχος γενόμενος τῆς σῆς ποίμνης θεόφρον. διό σε καὶ γεραίρει νῦν μυστικῶς ἐκβοῶσα. ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ταῖς σαῖς πρεσβείαις ἀοίδιμε Ἄνθιμε.

δ' Τοῦ ἁγίου ἱερομάρτυρος Βαβύλα Ἀντιοχείας. καὶ τοῦ ἁγίου καὶ θεόπτου Μωϋσέως τοῦ προφήτου. Τροπάριον τοῦ ἱερομάρτυρος· ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος τῶν ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε. εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρ-

Digitized by Google

ἀποτομῶν, καὶ τῇ πίστει ἐναθλήσας μέχρις αἵματος. ἱερομάρτυς Βαβύλα. πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν :~ τοῦ προφήτου. ἦχος β'.

Τοῦ προφήτου Μωϋσέως τὴν μνήμην κε ἑορτάζοντες, δι' αὐτοῦ σε δυσωποῦμεν, σῶσον τὰς ψυχὰς ἡμῶν :~ κοντάκιον τοῦ ἱερομάρτυρος. ἦχος δ'. ἐπεφάνης σήμερον.

Μεγαλεῖα πίστεως ἐν σῇ καρδίᾳ. περιθεὶς ἐφύλαξας ἱερομάρτυς Βαβύλα. μὴ δειλιάσας τὸν τύραννον. Χριστοῦ θεράπον, διὸ ἡμᾶς φύλαττε :~

ε' Τοῦ ἁγίου προφήτου Ζαχαρίου τοῦ πατρὸς τοῦ προδρόμου. τροπάριον. ἦχος δ'.

Ἱερωσύνης στολισμὸν περιβαλλόμενος σοφὲ, κατὰ τὸν νόμον τοῦ θεοῦ ὁλοκαυτώματα δεκτὰ, ἱεροπρεπῶς προσενήνοχας Ζαχαρία. καὶ γέγονας φωστὴρ, καὶ θεατὴς μυστικῶν. τὰ σύμβολα ἐν σοὶ τὰ τῆς χάριτος φέρων ἐκδήλως πάνσοφε. καὶ ξίφει ἀναιρεθεὶς ἐν τῷ ναῷ τοῦ θεοῦ, Χριστοῦ προφῆτα σὺν τῷ προδρόμῳ πρέσβευε. σωθῆναι τὰς ψυχὰς ἡμῶν :~

κοντάκιον, ἦχος γ'. ἡ παρθένος.

Ὁ προφήτης σήμερον. καὶ ἱερεὺς τοῦ ὑψίστου. Ζαχαρίας προὔθηκεν ὁ τοῦ προδρόμου γεννέτης, τράπεζαν τῆς αὐτοῦ μνήμης πιστοῖς ἐκτρέφων. πόμα γὰρ δικαιοσύνης πᾶσι κεράσας, διατοῦτο τελειοῦται, ὡς θεῖος μύστης θεοῦ τῆς χάριτος :~

ϛ' Ἡ ἀνάμνησις τοῦ γενομένου θαύματος ἐν Κολασσαῖς ἤτοι ἐν Χώναις, παρὰ τοῦ ἀρχιστρατήγου Μιχαήλ. τροπάριον ἦχος δ'.

Τῶν

Τῶν οὐρανίων στρατιῶν ἀρχιστράτηγε. δυσωποῦμέν σε ἀεὶ οἱ ἀνάξιοι, ἵνα ταῖς σαῖς δεήσεσι τειχίσῃς ἡμᾶς. σκέπη τῶν πτερύγων τῆς ἀΰλου σου δόξης. φρουρῶν ἡμᾶς προσπίπτοντας ἐκτενῶς καὶ βοῶντας. ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς ταξιάρχης τῶν ἄνω δυνάμεων:~ κοντάκιον ἦχος β΄. τοὺς ἀσφαλεῖς.

Ο τῇ τελειάδι παρεστὼς ὁλόφωτος, μετὰ πασῶν ἐπουρανίων τάξεων. καὶ τὸ ἔνθεον μελῴδημα, σὺν αὐταῖς ἀναφωνῶν σοφὲ μιχαὴλ, καὶ τὴν γῆν θεία μάστει διερχόμενος, καὶ τέρασι μεγίστοις θαυμαζόμενος, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν. ἕτερον, ἦχος β΄.

Αρχιστράτηγε θεοῦ, λειτουργὲ θείας δόξης. τῶν ἀνθρώπων ὁδηγὲ, καὶ ἀρχηγὲ ἀσωμάτων. τὸ συμφέρον ἡμῖν πρέσβευε καὶ τὸ μέγα ἔλεος, ὡς τῶν ἀσωμάτων ἀρχιστράτηγος:~

ζ΄ Προεόρτιον τῆς γεννήσεως τῆς ὑπεραγίας θεοτόκου καὶ ἁγίου μάρτυρος σώζοντος. τροπάριον, προεόρτιον. ἦχος δ΄.

Εκ τῆς ῥίζης Ιεσσαὶ, καὶ ἐξ ὀσφύος τοῦ Δαδ. ἡ θεόπαις Μαριὰμ, τίκτεται σήμερον ἡμῖν. διὸ καὶ χαίρει ἡ σύμπασα καινουργουμένη, συγχαίρει τε ὁμοῦ ὁ οὐρανὸς καὶ ἡ γῆ. αἰνοῦσι δὲ αὐτὴν αἱ πατριαὶ τῶν ἐθνῶν. ἰωακεὶμ εὐφραίνεται, καὶ ἄννα πανηγυρίζει κραυγάζουσα, ἡ στεῖρα τίκτει τὴν θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν:~ κοντάκιον τοῦ θεοτόκου. ἦχος δ΄. ἐπεφάνης σήμερον.

Η σὴ γέννησις ἡ οἰκουμένη. τῷ ἀΰλῳ πνεύματι πεποικιλμένη νοερῶς. ἐν εὐφροσύνῃ κραυγάζουσα. χαῖρε παρθένε, χριστιανῶν τὸ καύχημα. καὶ τοῦ μάρτυρος. ὁ μάρτυς σου κύριε.

κοντάκιον, τοῦ αὐτοῦ, ἦχος β΄. τοὺς ἀσφαλεῖς.

Τὸν ἀληθῆ καὶ θεοφόρον μάρτυρα, καὶ ἀθλητὴν τῆς εὐσεβείας δόκιμον. συνελθόντες σήμερον μεγαλοφώνως βοήσωμεν σώζοντα ὃν μύστην τῆς χάριτος. ἰάσεων δοτῆρα πλουσιώτατον. πρεσβεύει γὰρ Χριστῷ τῷ θεῷ, ὑπὲρ πάντων ἡμῶν:~

Τὸ γενέσιον τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου. τροπάριον. ἦχος δ΄.

Ἡ γέννησίς σου θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης Χριστὸς ὁ θεὸς ἡμῶν, καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν. καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον:~ κοντάκιον. ἦχος δ΄.

Ἰωακεὶμ καὶ ἄννα, ὀνειδισμοῦ ἀτεκνίας, καὶ ἀδὰμ καὶ εὔα ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου. αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου ἐνοχῆς τῶν πταισμάτων λυτρωθείς. ἐν τῷ κράζειν σοι, ἡ στεῖρα τίκτει τὴν θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν:~

Θ΄ τῶν ἁγίων καὶ δικαίων θεοπατόρων, Ἰωακεὶμ καὶ Ἄννης. καὶ τοῦ ἁγίου μάρτυρος σεβηριανοῦ. τροπάριον τῆς ἑορτῆς. εἰ βούλει καὶ τῶν ἁγίων. ἦχος β΄.

Τῶν δικαίων σου κύριε τὴν μνήμην ἑορτάζοντες, δι᾽ αὐτῶν σε δυσωποῦμεν, σῶσον τὰς ψυχὰς ἡμῶν:~

κοντάκιον, ἦχος δ΄. τὰ ἄνω ζητῶν.

Εὐφραίνεται νῦν, ἡ Ἄννα τῆς στειρώσεως. λυθεῖσα δεσμῶν, καὶ τρέφει τὴν παναχραντον. συγκαλεῖσα ἅπαντας ἀνυμνῆσαι τὸν δωρησάμενον. ἐκ νηδύος αὐτῆς τοῖς βροτοῖς, τὴν μόνην μητέρα καὶ ἀπειρανδρον.

Ι΄ τῶν ἁγίων μαρτύρων, μηνοδώρας μητροδώρας καὶ

Digitized by Google

νυμφοδώρας. ἀπολυτίκιον τῆς ἑορτῆς. κοντάκιον τῶν ἁγίων. ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ:~

Τῶν ἱεριάδος καρτερῶς ἐναθλοῦσαι, τοῦ πολυμηχάνου ἐχθροῦ ἐτροπώσασθε, ἀδελφικῶς συνδυόμεναι τῷ πνεύματι, ὅθεν εἰσοικίσθητε, συνὼ ταῖς πέντε παρθένοις· πρὸς τὸν ἐπουράνιον ἀθλοφόροι νυμφῶνα. καὶ σὺν ἀγγέλοις τῷ παμβασιλεῖ, ἐν ἀφθαρσίᾳ ἀπαύστως παρίστασθε.

ιά τῆς ὁσίας μητρὸς ἡμῶν θεοδώρας, τῆς ἐν ἀλεξανδρείᾳ. τροπάριον τῆς ἑορτῆς. καὶ τῆς ἁγίας. ἦχος πλ. δ'.

Ἐν σοὶ μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα. λαβοῦσα γὰρ τὸν σταυρὸν, ἠκολούθησας τῷ χριστῷ. καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν, σαρκός. παρέρχεται γὰρ ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου. διὸ καὶ μετὰ ἀγγέλων συναγάλλεται, ὁσία θεοδώρα τὸ πνεῦμά σου:~ κοντάκιον ἦχος β'. τὰ ἄνω ζητῶν.

Τὸ σῶμα τὸ σὸν, νηστείαις κατατήξασα. ἀγρύπνοις εὐχαῖς τὸν κτίστην καθικέτευσας, διὰ τὴν ἁμαρτίαν σου. ὅπως λάβῃς τελείαν συγχώρησιν, καὶ ἐδέξω τὴν ἄφεσιν. ὁδὸν μετανοίας ὑποδείξασα:~

ιβ' τοῦ ἁγίου ἱερομάρτυρος αὐτονόμου. ἡ τούτου ἀκολουθία, ψάλλεται εἰς τὰς ιά. διὰ τὸ ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοσθαι τὴν ἑορτὴν τῆς ὑπεραγίας θεοτόκου. κοντάκιον τοῦ ἁγίου. τὰ ἄνω ζητῶν.

Ἀθεΐα σοφὲ, ἀμέμπτως ἐμυσταγώγησας. θυσία δεκτὴ ἐγένου θεομακάριστε. τοῦ χριστοῦ γὰρ ἔπεσες, καὶ ποτήριον ἔνδοξε. φωστὴρ παγκόσμιος. πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν:~

ιγ' τὰ ἐγκαίνια τοῦ ναοῦ, τῆς ἁγίας τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν

μὴν σεπτέβριος.

ἀναστάσεως. καὶ προεόρτια τοῦ τιμίου σταυροῦ, καὶ τοῦ ἁγίου ἱερομάρτυρος Κορνηλίου, τοῦ ἑκατοντάρχου. ἀπολυτίκιον, ἦχος δ'.

Τ ῆς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ ἁγίου σκηνώματος τῆς δόξης σου κύριε, στερέωσον αὐτὸν εἰς αἰῶνα αἰῶνος. καὶ πρόσδεξαι ἡμῶν, τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις, διὰ τῆς θεοτόκου, ἡ πάντων ζωὴ καὶ ἀνάστασις :~ τοῦ σταυροῦ. ἦχος δ'.

Τ ὸν ζωοποιὸν σταυρὸν τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις κύριε, σοὶ προσάγομεν εἰς πρεσβείαν, σῶζε τοὺς βασιλεῖς καὶ τὴν πόλιν σου, εἰρηνεύοντας διὰ τῆς θεοτόκου μόνε φιλάνθρωπε :~ κοντάκιον, ἦχος δ'. ἐπεφάνης.

Ο ὐρανὸς πολύφωτος, ἡ ἐκκλησία, ἀνεδείχθη ἅπαντας, φωταγωγοῦσα τοὺς πιστούς. ἐν ᾧ ἑστῶτες κραυγάζομεν, τοῦτον τὸν οἶκον στερέωσον κύριε :~ ὅμοιον τοῦ ἁγίου.

Α παρχὴν ἁγίασε, ἡ ἐκκλησία. ἐξ ἐθνῶν ἐδέξατο, καταφωτίζουσα αὐτήν. ταῖς ἐναρέτοις σου πράξεσιν, ἱερομύστα θεόφρον κορνήλιε :~

ιδ' Η παγκόσμιος ὕψωσις, τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. ἀρχὴ μὲν ἀπολυτίκιον. ἦχος α'.

Σ ῶσον κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος. καὶ τὸ σὸν φυλάττων διὰ τοῦ σταυροῦ σου πολίτευμα :~ κοντάκιον. ἦχος δ'.

Ο ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι χριστὲ ὁ θεός, εὔφρα

μον ἐν τῇ δυνάμει σου, Ἰησοῦ, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν· νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων. τὴν συμμαχίαν ἔχοιεν τὴν σὴν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

ιε· Τοῦ ἁγίου μάρτυρος Νικήτα. τροπάριον τῆς ἑορτῆς. σῶσον κύριε. καὶ τοῦ ἁγίου. ἦχος δ'.

Ὁ μάρτυς σου κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ θεοῦ ἡμῶν. ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν. ἔθραυσε καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. αὐτοῦ ταῖς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν. κοντάκιον. ἦχος β'. τὰ ἄνω ζητ.

Τῆς πλάνης τεμὼν, τὸ κράτος τῇ ἐνστάσει σου. καὶ νίκην λαβὼν τὸ στέφος ἐν τοῖς ἄθλοις σου, τοῖς ἀγγέλοις ἐνδόξε συναγάλλῃ, Νικήτα φερώνυμε. σὺν αὐτοῖς Χριστῷ τῷ θεῷ πρεσβεύων ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν.

ις· Τῆς ἁγίας μεγαλομάρτυρος Εὐφημίας τῆς πανευφήμου. τροπάριον, τῆς ἑορτῆς, καὶ τῆς ἁγίας. ἦχος δ'.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ. σὲ νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ. καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου. καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω ἐν σοί. καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω σὺν σοί. ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. αὐτῆς πρεσβείαις ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

κοντάκιον. ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ἐν τῇ ἀθλήσει σου καλῶς ἠγωνίσω, καὶ μετὰ θάνατον ἡμᾶς ἁγιάζεις, ταῖς τῶν θαυμάτων βλύσεσι πανεύφημε. ὅθεν σου τὴν κοίμησιν τὴν ἁγίαν τιμῶμεν, πίστει παριστάμενοι τῷ σεπτῷ σου λειψάνῳ, ἵνα

ῥυσθῶμεν νόσων ψυχικῶν, καὶ τῶν θαυμάτων τὴν χάριν ἀντλήσωμεν:~

ἕτερον κοντάκιον. τῆς αὐτῆς. ἦχος πλ β'.

Ἀγῶνας ἐν ἀθλήσει, ἀγῶνας ἐν τῇ πίστει κατεβάλλου θερμῶς, ὑπὲρ Χριστοῦ τοῦ νυμφίου σου. ἀλλὰ καὶ νῦν ὡς τὰς αἱρέσεις, καὶ τὸ ἐχθρῶν τὸ φρύαγμα, ἐν τοῖς ποσὶ τῶν βασιλέων ὑποταγῆναι. πρέσβευε διὰ τῆς θεοτόκου, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων πατέρων ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε:~

ιζ' τῆς ἁγίας μάρτυρος σοφίας, καὶ τῶν τριῶν αὐτῆς θυγατέρων, πίστεως, ἐλπίδος, καὶ ἀγάπης. τροπά. τῆς ἑορτ. κοντάκιον, τῶν ἁγίων. ἦχος α'. τὸν τάφον σου σωτὴρ.

Σοφίας τῆς σεμνῆς, ἱερώτατοι κλάδοι. ἡ πίστις καὶ ἐλπὶς, καὶ ἀγάπη δειχθεῖσαι. σοφίαν ἀπεμώραναν, τῶν ἑλλήνων ἐν χάριτι. καὶ ἀθλήσασαι καὶ νικηφόροι φανεῖσαι. στέφος ἄφθαρτον παρὰ τοῦ πάντων δεσπότου Χριστοῦ ἀνεδύσαντο:~

ιη' τοῦ ὁσίου πατρὸς ἡμῶν εὐμενίου, ἐπισκόπου γορτύνης, τοῦ θαυματουργοῦ. τροπάριον. καὶ κοντάκιον, τῆς ἑορτῆς.

ιθ' τῶν ἁγίων μαρτύρων. τροφίμου, σαββατίου, καὶ δορυμέδοντος. τροπάριον τῆς ἑορτῆς. κοντάκιον τῶν ἁγίων. ἦχος δ'. ἐπεφάνης σήμερον.

Ποταμὸς πληρούμενος τῶν χαρισμάτων. οἱ ἅγιοι σου ἀποδειχθέντες ἀθληταί. τὴν οἰκουμένην ἀρδεύουσι ταῖς τῶν θαυμάτων καλαῖς ἀναβλύσεσιν:~

κ' τοῦ ἁγίου μεγαλομάρτυρος, εὐσταθίου, καὶ τῆς συνο-

Digitized by Google

δίας αὐτοῦ. τροπάριον τῆς ἑορτῆς. καὶ τῶν ἁγίων.

Οἱ μάρτυρές σου κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν τὸ στέφος ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ θεοῦ ἡμῶν. ἔχοντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον. ἔθραυσαν καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. αὐτῶν ταῖς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν:~

κοντάκιον, ἦχος β'. τὰ ἄνω ζητῶν.

Τὰ πάθη Χριστοῦ, παμμάκαρ μιμησάμενος, καὶ τούτου πιὼν προθύμως τὸ ποτήριον, κοινωνὸς Εὐστάθιε, καὶ τῆς δόξης σύγκληρος γέγονας. παρ' αὐτοῦ τοῦ πάντων θεοῦ, λαμβάνων θαυμάτων θείαν δύναμιν:~

κα'. τοῦ ἁγίου ἀποστόλου Κοδράτου, τοῦ ἐν Μαγνησίᾳ. ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ ἑορτὴ τοῦ σταυροῦ, καὶ ψάλλονται πάντα τὰ αὐτῆς. ἡ δὲ τοῦ ἀποστόλου, ψάλλεται τῇ κβ'.

κβ'. τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ. τροπάριον τοῦ ἁγίου ἀποστόλου Κοδράτου. ἀπόστολε ἅγιε. τοῦ ἱερομάρτυρος. καὶ τρόπων μέτοχος.

κοντάκιον τοῦ ἀποστόλου. ἦχος πλ. δ'.

ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς ἱεράρχην τίμιον, καὶ ἀθλητὴν στεῤῥότατον, ἡ οἰκουμένη προσάγει σοι κύριε, Κοδράτον τὸν ἀπόστολον. καὶ τοῖς ὕμνοις γεραίρει, τὴν σεπτὴν αὐτοῦ μνήμην, αἰτοῦσα πάντοτε πταισμάτων ἄφεσιν, δι' αὐτοῦ δωρηθῆναι τοῖς μέλπουσι τοῦτον εὔσπλαγχνε:~

κγ'. ἡ σύλληψις, τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου, καὶ βαπτιστοῦ Ἰωάννου. τροπάριον. ἦχος δ'.



Digitized by Google

Ἡ πρώην οὐ τίκτουσα στεῖρα εὐφράνθητι. ἰδοὺ γὰρ συνέλαβες ἡλίου λύχνον σαφῶς. φωτίζειν τὸν μέλλοντα πᾶσαν τὴν οἰκουμένην, ἀβλεψίᾳ νοσοῦσαν. χόρευε Ζαχαρία, ἐκβοῶν παρρησίᾳ. προφήτης ὑψίστου ἐστὶν, ὁ μέλλων τίκτεσθαι. κοντάκιον, ἦχος α΄. χορὸς ἀγγελι.

Εὐφραίνεται λαμπρῶς. Ζαχαρίας ὁ μέγας, σὺν τῇ πανευκλεεῖ, Ἐλισάβετ συζύγῳ· ἀξίως λαμβάνοντες Ἰωάννην τὸν πρόδρομον. ὃν ἀρχάγγελος εὐηγγελίσατο χαίρων, καὶ οἱ ἄνθρωποι ἀξιοχρέως τιμῶμεν, ὡς μύστην τῆς χάριτος:~

κδ΄ τῆς ἁγίας πρωτομάρτυρος, καὶ ἰσαποστόλου Θέκλης. Τροπάριον. ἡ ἀμνάς σου Ἰησοῦ κράζει. κοντάκιον. ἦχος πλ. δ΄

Τῆς παρθενίας τῷ κάλλει ἐξέλαμψας, καὶ μαρτυρίου στεφάνῳ κεκόσμησαι. ἀποστολὴν πιστεύη παρθένε ὡς ἔνδοξον. καὶ τοῦ πυρὸς μὲν τὴν φλόγα εἰς δρόσον μετέβαλες. τοῦ ταύρου δὲ τὸν θυμὸν, προσευχῇ σου ἡμέρωσας ὡς πρωτάθλος:~

κε΄ τῆς ὁσίας μητρὸς ἡμῶν Εὐφροσύνης. Τροπάριον. ἦχος πλ. δ΄. ἐν σοὶ μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα.
κοντάκιον ἦχος β΄. τὰ ἄνω ζητῶν.

Τῆς ἄνω ζωῆς ποθοῦσα ἐπιτεύξασθαι. τὴν κάτω τρυφὴν σπουδαίως καταλέλοιπας. καὶ σαυτὴν κατέμιξας. ἀνὰ μέσον ἀνδρῶν παναοίδιμε. διὰ γὰρ Χριστὸν τὸν νυμφίον σου. μνηστῆρος πρόσκαιρου καταπεφρόνηκας.

κς΄ Ἡ μετάστασις τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου. τροπάριον. ἦχος β΄.

Ἀπόστολε, Χριστῷ τῷ θεῷ ἠγαπημένε. ἐπιτάχυνον ῥῦσαι λαὸν ἀναπολόγητον. δέχεταί σε προσπίπτοντα ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος. ὃν ἱκέτευε θεολόγε, καὶ ἐπίμονον νέφος ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος:~ Κοντάκιον. ἦχος β΄.

Τὰ μεγαλεῖα σου παρθένε, τίς διηγήσεται. βρύεις γὰρ θαύματα, καὶ πηγάζεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς θεολόγος καὶ φίλος Χριστοῦ:~

κζ΄ τοῦ ἁγίου μάρτυρος Καλλιστράτου καὶ τῆς συνοδίας αὐτοῦ. Τροπάριον. οἱ μάρτυρές σου κύριε.

Κοντάκιον. ἦχος δ΄. ἐπεφάνης σήμερον.

Πανήγυριν σήμερον ἡ ἐκκλησία. νῦν τελοῦσιν ἅγιοι. ἀνευφημοῦσι μυστικῶς, ὡς ὑπὲρ ταύτης ἀθλήσαντες. μάρτυρες θεῖοι καλλίνικοι πάνσοφοι:~

κη΄ τοῦ ὁσίου πατρὸς ἡμῶν, καὶ ὁμολογητοῦ Χαρίτωνος. Τροπάριον. ἦχος πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ῥοαῖς. τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας. καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας. καὶ γέγονας φωστὴρ τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι. Χαρίτων πατὴρ ἡμῶν, πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~ Κοντάκιον. ἦχος β΄. τὴν ἐν πρεσβείαις.

Κατατρυφήσας θεόφρον τῆς ἐγκρατείας, καὶ τῆς σαρκός σου τὰς ὀρέξεις χαλινώσας, ὤφθης τῇ πίστει αὐξανόμενος. καὶ ὡς ζωῆς ξύλον, ἐν μέσῳ τοῦ παραδείσου ἐξήνθησας, Χαρίτων παμμάκαρ ἱερώτατε:~

κθ΄ τοῦ ὁσίου πατρὸς ἡμῶν Κυριακοῦ τοῦ ἀναχω-

Digitized by Google

ρητοῦ. τροπάριον, ἦχος ά.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε πατὴρ ἡμῶν κυριακέ. νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ οὐράνια χαρίσματα λαβὼν, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. δόξα τῷ δεδωκότι σοι ἰσχὺν, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα :~

κοντάκιον. ἦχος πλ. δ'. τῇ ὑπερμάχῳ.

Ὡς ὑπερμάχῳ κραταιῷ, καὶ ἀντιλήπτορι, ἡ σὲ τιμῶσα ἱερῶς λαύρα ἑκάστοτε, ἑορτάζει ἐτήσια τὰ μνημόσυνα. ἀλλ' ὡς ἔχων παρρησίαν πρὸς τὸν κύριον, ἐξ ἐχθρῶν ἐπεμβαινόντων ἡμᾶς φρούρησον ἵνα κράζωμεν, χαίροις πάτερ τρισόλβιε :~

λ' τοῦ ἁγίου ἱερομάρτυρος Γρηγορίου τῆς μεγάλης Ἀρμενίας. τροπάριον, ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε. τῆς θεωρίας ἐπίβασιν. διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, ἱερομάρτυς Γρηγόριε. πρέσβευε χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν. κοντάκιον ἦχος β'. τοὺς ἀσφαλεῖς.

Τὸν εὐκλεῆ καὶ ἱεράρχην ἅπαντες, ὡς ἀθλητὴν τῆς ἀληθείας σήμερον οἱ πιστοὶ, ἐν ᾠδαῖς καὶ ὑμνῳδίαις εὐφημήσωμεν, Γρηγόριον ποιμένα καὶ διδάσκαλον. τὸν ἔκλαμπρον φωστῆρα, καὶ ὑπέρμαχον. χριστῷ γὰρ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς :~

Digitized by Google

Μηνολόγιον



τοῦ ὀκτωβρίου.

Τίς δέ κ' ἐμεῖο πέλει γλυκερώτερος, ὅς με θυλλῶν
ἡδὺ ἐπικατάγω, βάκχον ἀπ' οἰνοπέδου;

Μὴν ὀκτώβριος.

Ἔχων ἡμέρας, λα'. ἡ ἡμέρα ἔχει
ὥρας ια'. καὶ ἡ νὺξ ὥρας ιγ'.

α' Εἰς τὴν πρώτην, τοῦ ἁγίου ἀποστόλου Ἀνανίου, ἑνὸς τῶν ἑβδομήκοντα, καὶ τοῦ ὁσίου Ῥωμανοῦ τοῦ Μελῳδοῦ, τροπάριον τοῦ ἀποστόλου. Ἦχος γ'.

Ἀπόστολε ἅγιε, πρέσβευε τῷ ἐλεήμονι θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

τοῦ ὁσίου. τροπάριον. ἦχος πλ. δ'.

Ἐν σοὶ πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα. ζήτει, σεπτεμβρίῳ ια'. κοντάκιον, τοῦ ἀποστόλου, ἦχος β'. τὴν ἐν πρεσβείαις.

Ὁ ἐν πρεσβείαις θερμότατος ἀντιλήπτωρ, καὶ τοῖς αἰτοῦσι ταχύτατα εἰσακούων· δέξαι τὴν δέησιν Ἀνανία ἡμῶν. καὶ τὸν Χριστὸν δυσώπει, τοῦ σῶσαι τοὺς ὑμνοῦντάς σε τὸν μόνον ὑπάρχοντα φιλάνθρωπον.

β' τοῦ ἁγίου ἱερομάρτυρος Κυπριανοῦ καὶ τῆς ἁγίας μάρτυρος Ἰουστίνης. τροπάριον. Καὶ τρόπων μέτοχος. κοντάκιον, ἦχος α'. χορὸς ἀγγελικός.

Ἐκ τέχνης μαγικῆς, ἐπιστρέψας θεόφρον, πρὸς γνῶσιν θεϊκὴν, ἀνεδείχθης τῷ κόσμῳ, ἀκέστωρ σο-

Digitized by Google

φώτατος, τὰς ἰάσεις δωρούμενος, τοῖς τιμῶσί σε
Κυπριανὲ σὺν Ἰουστίνῃ· μεθ' ἧς πρέσβευε τῷ φι
λανθρώπῳ δεσπότῃ, σωθῆναι τοὺς δούλους σου:~

γ' Τοῦ ἁγίου ἱερομάρτυρος, Διονυσίου τοῦ Ἀρεοπα
γίτου. Τροπάριον. ἦχος δ'.

Χρηστότητα ἐκδιδαχθεὶς, καὶ νήφων ἐν πᾶσιν, ἀγα=
θὴν συνείδησιν ἱεροπρεπῶς ἐνδυσάμενος, ἐξήντλη
σας ἐκ τοῦ σκεύους τῆς ἐκλογῆς τὰ ἀπόρρητα. καὶ τὴν πί
στιν τηρήσας, τὸν ἴσον δρόμον ἐτέλεσας ἱερομάρτυς
Διονύσιε, πρέσβευε Χριστῷ τῷ θεῷ σωθῆναι τὰς ψυ
χὰς ἡμῶν:~ Κοντάκιον. ἦχος πλ. δ'. τῇ ὑπερμάχῳ.

Τὰς οὐρανίους διαβὰς πύλας ἐν πνεύματι, ὡς μαθητὴς
τοῦ ὑπὲρ τρεῖς οὐρανοὺς φθάσαντος ἀποστόλου, Διονύ-
σιε, τῶν ἀρρήτων ἐπλουτίσθης πᾶσαν γνῶσιν καὶ κα-
τηύγασας, τοὺς ἐν σκότει τῆς ἀγνωσίας καθεύ-
δοντας. διὸ κράζομεν, χαίροις πάτερ παγκόσμιε:~

δ' Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν, Ἱεροθέου, ἐπισκόπου Ἀθη-
νῶν. Τροπάριον. ἦχος δ'. χρηστότητα ἐκδιδαχθείς.
ζήτει εἰς τὰς γ'. Κοντάκιον ἦχος πλ. δ'. τῇ ὑπερμάχῳ.

Τὸν ἱεράρχην Ἀθηνῶν, ἀνευφημοῦμέν σε, ὡς μυη-
θέντες διὰ σοῦ ξένα καὶ ἄρρητα. ἀνεδείχθης γὰρ θεό
ληπτος ὑμνολόγος. ἀλλὰ πρέσβευε Παμμά-
καρ Ἱερόθεε, ἐκ παντοίων συμπτωμάτων ἡμᾶς
ῥύσασθαι, ἵνα κράζωμεν, χαίροις πάτερ θεόσοφε:~

ε' Τῆς ἁγίας μάρτυρος Χαριτίνης. Τροπάριον. ἦχος δ'.
Ἡ ἀμνάς σου Ἰησοῦ.

ς' Τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου Θωμᾶ, Τροπά. ἦχος γ'.

Digitized by Google

Ἀπόστολε ἅγιε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ. ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν :~

Κοντάκιον. ἦχος δ'. ἐπεφάνης σήμερον.

Ὁ σοφίας χάριτος πεπληρωμένος. τοῦ Χριστοῦ ἀπόστολος, καὶ ὑπηρέτης ἀληθής. ἐν μετανοίᾳ ἐβόα σοι. σὺ μου ὑπάρχεις, Θεός τε καὶ κύριος.

ζ' τῶν ἁγίων μαρτύρων, Σεργίου καὶ Βάκχου. Τροπάριον. ἦχος δ'. οἱ μάρτυρές σου κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν. Κοντάκιον. ἦχος γ'. ἡ παρθένος σήμερον.

Τοὺς γενναίους μάρτυρας καὶ ἀδελφοὺς ἐν τῇ πίστει, συνελθόντες στέψωμεν ἐν ἱεραῖς εὐφημίαις. σέργιον τὸν τῆς τριάδος στεῤῥὸν ὁπλίτην. βάκχον τε τὸν ἐν βασάνοις ἐγκαρτεροῦντα. καὶ Χριστὸν ὁμολογοῦντα, τὸν ἀθλοθέτην καὶ ποιητὴν τοῦ παντός :~

η' τῆς ὁσίας μητρὸς ἡμῶν πελαγίας. Τροπάριον. ἐν σοὶ μῆτερ ἀκριβῶς. Κοντάκιον ἦχος β'. τὰ ἄνω ζητῶν.

Τὸ σῶμα τὸ σὸν, νηστείαις κατατήξασα. ἀγρύπνοις ᾠδαῖς, τὸν κτίστην καθικέτευες, διὰ τὰς πράξεις τὰς σὰς, ὅπως λάβῃς τελείαν ἄφεσιν. ἣν καὶ εὗρες μῆτερ σαφῶς. ὁδὸν μετανοίας ὑποδείξασα :~

θ' τοῦ ἁγίου ἀποστόλου ἰακώβου τοῦ ἀλφαίου, ἑνὸς ἐκ τῶν ιβ'. καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν ἀνδρονίκου. Τροπά. τοῦ ἀποστόλου. ἀπόστολε ἅγιε. τοῦ ὁσίου. τῆς ἐρήμου πολίτης. κοντάκιον, ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ὁ τῶν ἐθνῶν σαγηνευτὴς ὑπερθαύμαστος. καὶ μαθητῶν ἀναδειχθεὶς τιμιώτατος, τῶν ἀποστόλων σύσκηνος ἰάκωβος. κόσμῳ τῶν ἰάσεων διανέμει τὸν πλοῦτον, σκέπει περιστάσεων, τοὺς αὐτὸν εὐφημοῦντας,

Digitized by Google

διὸ συμφώνως κράζομέν αὐτῷ, σῶζε τοὺς πάν-
τας, πρεσβείαις σου ἀπόστολε. ἔτι ὑπὲρ ἡμῶν.

Ἐκ τῆς παντουργοῦ σοφίας ἐξ ἧς δεδεγμένος χάρι-
τος ἰσχύν, τὰ ἔθνη θεῷ προσήξας. καὶ ναοὺς
τῶν εἰδώλων κατηδάφισας. αἰκισμοὺς δὲ κα-
θυπήνεγκας πολυτρόποις εὐθυμότατα. καὶ
ἐβόας παναοίδιμε. χριστὸς ἐστὶν, ὁ ἐλθὼν σῶ-
σαι γένος βροτῶν:~

ι' τῶν ἁγίων μαρτύρων εὐλαμπίου, καὶ εὐλαμ-
πίας. τροπάριον, ἦχος δ'. οἱ μάρτυρές σου.
κοντάκιον, ἦχος γ'. ἡ παρθένος σήμερον.

Τοὺς γενναίους μάρτυρας καὶ ἀδελφοὺς κατὰ
σάρκα. τὸν σοφὸν εὐλάμπιον καὶ εὐλαμπίαν
τιμῶμεν. οὗτοι γὰρ τῶν παρανόμων μηχανουρ-
γίας. ἤσχυναν ἐν τῇ δυνάμει τοῦ σταυρωθέν-
τος. διὰ τοῦτο ἀνεδείχθησαν, μαρτύρων δόξα ὁ-
μοῦ καὶ καύχημα:~

ια' τοῦ ἁγίου ἀποστόλου φιλίππου, ἑνὸς τῶν ἑπτὰ
διακόνων. καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν θεοφά-
νους τοῦ γραπτοῦ καὶ ποιητοῦ, ἐπισκόπου Νι-
καίας. κοντάκιον, ἦχος δ'. ἐπεφάνης σήμερον.

Φωτισθεὶς ἐν τῷ πνεύματι τῷ παναγίῳ. τὰ τῆς γῆς πληρώμα-
τα φωτίζεις διδαχαῖς, καὶ τῶν θαυμάτων λαμπρότη-
σιν, ἱερομύστα ἀπόστολε φίλιππε. τροπάριον τοῦ
ἀποστόλου. ἀπόστολε ἅγιε. τοῦ ὁσίου ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδηγὲ, εὐσεβείας διδάσκαλε καὶ σεμνό-
τητος, τῆς οἰκουμένης ὁ φωστὴρ, ἀρχιερέων θεόπνευ-

Digitized by Google

ςον ἐγκαλλώπισμα, θεόφανες Σοφέ. ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ πνς. πρέσβευε χῶ τῷ θῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~

Χρὴ εἰδέναι ὅτι μετὰ τὴν ἐνδεκάτην τοῦ παρόντος μηνὸς, τῇ ἐρχομένῃ κυριακῇ, ψάλλεται ἡ ἀκολουθία τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου, τῆς ἐν Νικαία συνελθούσης τὸ δεύτερον, ἐπὶ καθαιρέσει καὶ ἀναθεματισμῷ τῶν ἀθέων δογμάτων, τῶν μισοχρίστων, καὶ χριστιανοκατηγόρων εἰκονομάχων. τοῦ τε κοπρωνύμου, καὶ τῶν αὐτῷ συμφερομένων ἀθλίων ἐπισκόπων καὶ ἀνιέρων ἀρχιερέων. καὶ τοῦ αὐτῶν ἀθέσμου καὶ ἐξαγίστου συνεδρίου. κοντάκιον, ἦχος πλ. β'.

Υπερδεδοξασμένος εἶ χε ὁ θς ἡμῶν. ὁ φωστῆρας ἐπὶ γῆς τοὺς πρας ἡμῶν θεμελιώσας, καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν πάντας ἡμᾶς ὁδηγήσας. πολυεύσπλαγχνε, δόξα σοι:~ κοντάκιον, ἦχος πλ. δ'.

Τῶν ἀποστόλων τὸ κήρυγμα, καὶ τῶν πατέρων τὰ δόγματα, τῇ ἐκκλησία μίαν τὴν πίστιν ἐσφράγισαν. ἣ καὶ χιτῶνα φοροῦσα τῆς ἀληθείας, τὸν ὑφαντὸν ἐκ τῆς ἄνω θεολογίας, ὀρθοτομεῖ καὶ δοξάζει, τῆς εὐσεβείας τὸ μέγα μυστήριον:~

ιβ' τῶν ἁγίων μαρτύρων, Πρόβου, ταράχου καὶ Ἀνδρονίκου, καὶ τοῦ ὁσίου πρς ἡμῶν Κοσμᾶ τοῦ ποιητοῦ. προσόμοιον, τῶν μαρτύρων. ἦχος, πλ. δ'.

Τῶν ἁγίων μαρτύρων τὰ κατορθώματα, ὑμνῶν αἱ δυνάμεις ὑπερεθαύμασαν. ὅτι ἐν σώματι θνητῷ, τὸν ἀσώματον ἐχθρὸν, τῇ δυνάμει τοῦ σροῦ ἀγωνισάμενοι καλῶς. ἐνίκησαν ἀοράτως, καὶ πρεσβεύουσι,

Digitized by Google

τῷ κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν :~

Τροπάριον τοῦ ὁσίου. ὀρθοδοξίας ὁδηγέ. κοντάκιον τῶν μαρτύρων. ἦχος β΄. τὰ ἄνω ζητῶν.

Ψελάδος ἡμῖν τὴν δόξαν ἐφανέρωσαν, γενναῖοι Χριστοῦ ὁπλῖται καὶ μάρτυρες. σὺν ταράχῳ πρόβος τε καὶ ἀνδρόνικος. ἤλεγξαν γὰρ ἅπασαν, τῶν τυράννων τὴν ἀθεότητα, τῇ πίστει γενναίως ἐναθλήσαντες :~

ιγ΄ τῶν ἁγίων μαρτύρων, Κάρπου, καὶ Παπύλου. τροπάριον, ἦχος δ΄. οἱ μάρτυρές σου. κοντάκιον. ἦχος δ΄. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ὡς θησαυρὸν πολυτελῆ ὁ δεσπότης. ἐχαρίσατο βρύουσαν κρουνοὺς ἰαμάτων, τοῖς ἐπὶ γῆς παρέσχετο τὰ λείψανα ὑμῶν. νόσους μὲν καθαίροντα, παθημάτων ποικίλας. χάριν δὲ βραβεύοντες, ταῖς ψυχαῖς ἀενάως. διὸ συμφώνως, πόθῳ τὴν ὑμῶν μάρτυρες θεῖοι, τελοῦμεν πανήγυριν:~

ιδ΄ τῶν ἁγίων μαρτύρων Ναζαρίου, Γερβασίου, Προτασίου, καὶ Κελσίου, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Κοσμᾶ τοῦ Ἁγιοπολίτου καὶ ποιητοῦ, ἐπισκόπου τοῦ Μαϊουμᾶ. Τροπάριον. οἱ μάρτυρές σου. τοῦ ὁσίου. ὀρθοδοξίας ὁδηγέ. κοντάκιον τῶν μαρτύρων. ἦχος β΄. τὰ ἄνω ζητ.

Λαμπτῆρες φαιδροί, φανέντες θεῖοι μάρτυρες, τὴν κτίσιν φωτί, θαυμάτων καταυγάζετε, νοσημάτων λύοντες τὴν βαθεῖαν νύκτα ἑκάστοτε. καὶ Χριστῷ τῷ μόνῳ θεῷ πρεσβεύοντες, δοθῆναι ἡμῖν ἔλεος :~ ἕτερον τοῦ ὁσίου. τῇ ὑπερμάχῳ.

Κεκοσμημένος ἀρεταῖς, Κοσμᾶ θεόπνευστε, τῆς ἐκκλησίας

κλησίας τοῦ Χυ̃ κόσμος γεγένησαι. Τοῖς γὰρ ἄσμα-
σιν ἐκόσμησας ταύτην μάκαρ. ἀλλὰ πρέσβευε
πρὸς κύριον, ῥυσθῆναι ἡμᾶς ἐκ παντοίων μηχα-
νῶν τοῦ πολεμήτορος. τοὺς σοι κραυγάζοντας, χαῖ-
ρε πάτερ Γεισόλβιε:~

ιε' Τῇ αὐτῇ, τοῦ ἁγίου μάρτυρος Λουκιανοῦ, πρεσβυτέρου τῆς μεγά-
λης Ἀντιοχείας. τροπάριον. ὁ μάρτυς σου κύριε.

ιϛ' Τοῦ ἁγίου μάρτυρος Λογγίνου τοῦ ἑκατον-
τάρχου. τροπάριον. ὁ μάρτυς σου κύριε.

κοντάκιον ἦχος δ'. ἐπεφάνης σήμερον.

Ε ὐφροσυνῶς γέγηθεν ἡ ἐκκλησία. ἐν τῇ μνήμῃ σή-
μερον τοῦ ἀοιδίμου ἀθλητοῦ, Λογγίνου ἀνακρα-
γάζουσα, σύ μου τὸ κράτος Χριστὲ καὶ στερέωμα:~

ιζ' Τοῦ ἁγίου προφήτου Ὠσηὲ, καὶ τοῦ ἁγίου ὁσιομάρτυ-
ρος Ἀνδρέου τοῦ ἐν τῇ κρίσει. τροπάριον, ἦχος δ'.

Α σκητικῶς προγυμνασθεὶς ἐν τῷ ὄρει, τὰς νοητὰς
τῶν δυσμενῶν παρατάξεις, τῇ πανοπλίᾳ ὤλεσας
παμμάκαρ τοῦ σταυροῦ. αὖθις δὲ πρὸς ἄθλησιν,
ἀνδρικῶς ἀπεδύσω. κτείνας τὸν κοπρώνυμον, τῷ
τῆς πίστεως ξίφει. καὶ δι' ἀμφοῖν ἐστέφθης ἐκ θεοῦ,
ὁσιομάρτυς Ἀνδρέα ἀοίδιμε:~

κοντάκιον πρὸς τὸ, ἡ παρθένος σήμερον.

Ε ορτάζει σήμερον, ἡ βασιλεύουσα πόλις, ἑορτὴν ὑπέρ-
λαμπρον, τῇ φωτοφόρῳ σου μνήμῃ. ἅπασαν προσ-
καλουμένη πόλιν τε καὶ χώραν. χαίρει γὰρ ὡς κεκ-
τημένη θησαυρὸν μέγαν, τὸ πολύαθλόν σου σῶμα
Ἀνδρέα μάρτυς, ὀρθοδοξίας φωστήρ.

ιη' Τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ. τροπ. ἦχος γ'.



Digitized by Google

τῷ κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν :~

Ἀπολυτίκιον τοῦ ὁσίου. ὀρθοδοξίας ὁδηγέ. κοντάκιον τῶν μαρτύρων. ἦχος β'. τὰ ἄνω ζητῶν.

Ψ ειάδος ἡμῖν τὴν δόξαν ἐφανερώσατε, γενναῖοι Χυ ὁπλῖται καὶ μάρτυρες. σὺν τῷ ἀγίῳ πρέσβει τε καὶ ἀνδρόνικος. ἠλέγξατε γὰρ ἅπασαν, τῶν τυράννων τὴν ἀθεότητα, τῇ πίστει γενναίως ἐναθλήσαντες :~

ιγ' τῶν ἁγίων μαρτύρων, Κάρπου, καὶ Παπύλου. τροπάριον, ἦχος δ'. οἱ μάρτυρές σου. κοντάκιον. ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σρῷ.

Ὡς θησαυρὸν πολυτελῆ ὁ δεσπότης, ἐχαρίσατο βρύουσαν κρουνοὺς ἰαμάτων, τοῖς ἐπὶ γῆς παρέσχετο τὰ λείψανα ὑμῶν. μόσχους μὲν καθαίροντα, παθημάτων ποικίλας. χάριν δὲ βραβεύοντες, ταῖς ψυχαῖς ἀενάως. διὸ συμφώνως, πόθω τὴν ὑμῶν μάρτυρες θεῖοι, τελοῦμεν πανήγυριν:~

ιδ' τῶν ἁγίων μαρτύρων Ναζαρίου, Γερβασίου, Προτασίου, καὶ Κελσίου, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Κοσμᾶ τοῦ Ἁγιοπολίτου καὶ ποιητοῦ, ἐπισκόπου τοῦ Μαϊουμᾶ. τροπάριον. οἱ μάρτυρές σου. τοῦ ὁσίου. ὀρθοδοξίας ὁδηγέ. κοντάκιον τῶν μαρτύρων. ἦχος β'. τὰ ἄνω ζητ.

Ἀ αμπτῆρες φαιδροὶ, φανέντες θεῖοι μάρτυρες, τὴν κτίσιν φωτὶ, θαυμάτων καταυγάζετε, νοσημάτων λύοντες τὴν βαθεῖαν νύκτα ἑκάστοτε. καὶ Χριστῷ τῷ μόνῳ θεῷ πρεσβεύοντες, δωρῆσαι ἡμῖν ἔλεος :~ ἕτερον τοῦ ὁσίου. τῇ ὑπερμάχῳ.

Κ εκοσμημένος ἀρεταῖς, Κοσμᾶ θεόπνευστε, τῆς ἐκκλησίας

κλησίας τοῦ Χυ̃ κόσμος γεγένησαι. Τοῖς γὰρ ἄσμα σιν ἐκόσμησας ταύτην μάκαρ. ἀλλὰ πρέσβευε πρὸς κύριον, ῥυσθῆναι ἡμᾶς, ἐκ παντοίων μηχα- νῶν τοῦ πολεμήτορος. τοὺς σε κραυγάζοντας, χαῖ- ρε Ἱερὸν πάτερ Γελάσιε:~

ιέ τοῦ ἁγίου μάρτυρος Ἀνικήτου, πρεσβυτέρου τῆς μεγά- λης Ἀντιοχείας. τροπάριον. ὁ μάρτυς σου κέ.

ις' τοῦ ἁγίου μάρτυρος Λογγίνου τοῦ ἑκατον- τάρχου. τροπάριον. ὁ μάρτυς σου κέ.

κοντάκιον ἦχος δ'. ἐπεφάνης σήμερον.

Εὐφροσυνῶς γέγηθεν ἡ ἐκκλησία. ἐν τῇ μνήμῃ σή- μερον τοῦ ἀοιδίμου ἀθλητοῦ, Λογγίνου ἀνακραυ- γάζουσα, σύ μου τὸ κράτος χριστὲ καὶ στερέωμα:~

ιζ' τοῦ ἁγίου προφήτου Ὠσηὲ, καὶ τοῦ ἁγίου ὁσιομάρτυ- ρος Ἀνδρέου τοῦ ἐν τῇ κρίσει. τροπάριον, ἦχος δ'.

Ἀσκητικῶς προγυμνασθεὶς ἐν τῷ ὄρει, τὰς νοητὰς τῶν δυσμενῶν παρατάξεις, τῇ πανοπλίᾳ ὤλεσας παμμάκαρ τοῦ σταυροῦ. αὖθις δὲ πρὸς ἄθλησιν, ἀνδρικῶς ἀπεδύσω. κτείνας τὸν κοπρώνυμον, τῷ τῆς πίστεως ξίφει. καὶ δι' ἀμφοῖν ἐστέφθης ἐκ θεοῦ, ὁσιομάρτυς Ἀνδρέα ἀοίδιμε:~

κοντάκιον πρὸς τό, ἡ παρθένος σήμερον.

Ἑορτάζει σήμερον, ἡ βασιλεύουσα πόλις, ἑορτὴν ὑπέρ- λαμπρον, τῇ φωτοφόρῳ σου μνήμῃ. ἅπασαν προσ- καλουμένη πόλιν τε καὶ χώραν. χαίρει γὰρ ὡς κεκ- τημένη θησαυρὸν μέγαν, τὸ πολύαθλόν σου σῶμα Ἀνδρέα μάρτυς, ὀρθοδοξίας φωστήρ.

ιή τοῦ ἁγίου ἀποστόλου, καὶ εὐαγγελιστοῦ Λουκᾶ. τροπ. ἦχος γ'.

Ἀπόστολε ἅγιε, καὶ εὐαγγελιστὰ Λουκᾶ, πρέσβευε τῷ ἐλεήμονι θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν :~

κοντάκιον, ἦχος δ΄. ἐπεφάνης σήμερον.

Μαθητὴς γενόμενος τοῦ θεοῦ λόγου, σὺν τῷ Παύλῳ ἅπασαν ἐφωταγώγησας τὴν γῆν, καὶ τὴν ἀχλὺν ἀπεδίωξας, τὸ θεῖον γράψας Χριστοῦ εὐαγγέλιον :~

ἕτερον, ἦχος β΄. τοὺς ἀσφαλεῖς.

Τὸν ἀληθῆ τῆς εὐσεβείας κήρυκα, καὶ μυστικὸν τῶν ἀπορρήτων ῥήτορα, τὸν ἀστέρα τῆς ἐκκλησίας, Λουκᾶν τὸν θεῖον ἀνευφημήσωμεν. ὁ λόγος γὰρ αὐτὸν ἐξελέξατο, σὺν Παύλῳ τῷ σοφῷ, ἐθνῶν διδάσκαλον, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια :~

ιθ΄ τοῦ ἁγίου προφήτου Ἰωὴλ, καὶ τοῦ ἁγίου μάρτυρος Οὐάρου.

τροπάριον. ἦχος δ΄. ὁ μάρτυς σου κύριε.

κ΄ τοῦ ἁγίου μεγαλομάρτυρος Ἀρτεμίου. τροπά. οἱ μάρτυρές σου κύριε. κοντάκιον, ἦχος β΄. πρὸς τὸ, τοὺς ἀσφα.

Τὸν εὐσεβῆ καὶ στεφηφόρον μάρτυρα, τὸν κατ' ἐχθρῶν νίκης ἀράμενον τρόπαια, συνελθόντες ἐπαξίως ἐν ὑμνῳδίαις εὐφημήσωμεν, Ἀρτέμιον τὸν μέγιστον ἐν μάρτυσι, θαυμάτων τε δοτῆρα πλουσιώτατον. πρεσβεύει γὰρ κυρίῳ ὑπὲρ πάντων ἡμῶν :~

κα΄ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ μεγάλου. τροπάριον ἦχος πλ. δ΄. ταῖς τῶν δακρύων σου ῥοαῖς.

κοντάκιον, ἦχος γ΄. ἡ παρθένος σήμερον.

Ὡς φωστῆρα ἄδυτον τοῦ νοητοῦ σε ἡλίου, συνελθόντες σήμερον, ἀνευφημοῦμεν ἐν ὕμνοις. ἔλαμψας γὰρ

τοῖς ἐν τῷ σκότει τῆς ἀγνωσίας. ἅπαντας ἅμα ἀναβιβάζων πρὸς θεῖον ὕψος. ἱλαείων διὸ βοῶμεν, ὦ χαίροις πάτερ τῶν ἀσκητῶν ἡ κρηπίς:~

κβʹ τοῦ ἁγίου ἰσαποστόλου ἀβερκίου ἐπισκόπου ἱεραπόλεως τοῦ θαυματουργοῦ. καὶ τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν ἐφέσῳ. Τροπάριον. ἦχος δʹ. κανόνα πίστεως. καὶ τὸ, οἱ μάρτυρές σου κύριε.

κοντάκιον ἦχος πλ δʹ. ὡς ἀπαρχάς.

Ὡς ἱερέα μέγιστον, καὶ ἀποστόλων σύσκηνον. ἡ ἐκκλησία δοξάζει σε ἅπασα, ἡ τῶν πιστῶν ἀβέρκιε. ἣν ταῖς σαῖς ἱκεσίαις περιφύλαττε μάκαρ, ἀκατα γώνιστον, καὶ ἀκλυδώνιστον, ἐξ αἱρέσεως πάσης καὶ ἄσπιλον, ὡς ἀοίδιμος:~

κγʹ τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοθέου. Τροπάριον, ἦχος βʹ.

Ὡς τοῦ κυρίου μαθητής, ἀνεδέξω δίκαιε τὸ εὐαγγέλιον, ὡς μάρτυς ἔχεις τὸ ἀπαράγραπτον. τὴν παῤῥησίαν ὡς ἀδελφόθεος. τὸ πρεσβεύειν ὡς ἱεράρχης. ἱκέτευε χριστὸν τὸν θεὸν, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~

κοντάκιον, ἦχος δʹ. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ὁ τοῦ πατρὸς μονογενὴς θεὸς λόγος, ἐπιδημήσας πρὸς ἡμᾶς, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν, Ἰάκωβε θεσπέσιε. πρῶτόν σε ἀνέδειξε τῶν ἱεροσολύμων, ποιμένα καὶ διδάσκαλον, καὶ πιστὸν οἰκονόμον, τῶν μυστηρίων τῶν πνευματικῶν. ὅθεν σε πάντες τιμῶμεν ἀπόστολε:~

κδʹ τοῦ ἁγίου μάρτυρος ἀρέθα, καὶ τῶν σὺν αὐτῷ. Τροπάριον. ἦχος αʹ

Τὰς ἀλγηδόνας τῶν ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον δυ-

σωπήθητι κύριε. καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἰάσαι φιλάνθρωπε δεόμεθα:~

κοντάκιον, ἦχος δ'. ἐπεφάνης σήμερον.

Εὐφροσύνης πρόξενος ἡμῖν ἐπέστη. ἡ φωσφόρος σήμερον τῶν ἀθλοφόρων ἑορτή. ἣν ἀνυμνοῦντες δοξάζομεν, τὸν ἐν ὑψίστοις ὑπάρχοντα κύριον:~

κε'. τῶν ἁγίων μαρτύρων καὶ Νοταρίων, Μαρκιανοῦ, καὶ μαρτυρίου. τροπάριον. ἦχος δ'. οἱ μάρτυρές σου κύριε.

κοντάκιον, ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ἀγωνισάμενοι καλῶς ἀπὸ βρέφους, μαρκιανὲ σὺν τῷ σοφῷ μαρτυρίῳ, τὸν ἀποστάτην ἄρειον καθείλετε. ἄτρωτον φυλάξαντες τὴν ὀρθόδοξον πίστιν. παύλῳ ἐφεπόμενοι τῷ σοφῷ διδασκάλῳ. ὅθεν σὺν αὐτῷ εὕρατε ζωὴν, ὡς τῆς τριάδος ὑπέρμαχοι:~

κς'. τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου. καὶ ἡ ἀνάμνησις τοῦ μεγάλου σεισμοῦ. τροπάριον. ἦχος γ'.

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ οἰκουμένη. ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. ὡς οὖν λυαίου καθεῖλες τὴν ἔπαρσιν, καὶ ἐν σταδίῳ θαρρύνας τὸν νέστορα, οὕτως ἅγιε, χριστὸν τὸν θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος:~ ἕτερον τοῦ σεισμοῦ. ἦχος πλ. δ'.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ῥῦσαι ἡμᾶς τῆς φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς, καὶ κατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη σου, πρεσβείαις τῆς θεοτόκου καὶ σῶσον ἡμᾶς:~

κοντάκιον, ἦχος β'. τὴν ἐν πρεσβείαις.

Τοῖς τῶν αἱμάτων σου ῥείθροις δημήτριε, τὴν ἐκ-

Digitized by Google

κλησίαν θεὸς ἐπορφύρωσεν. δίδου αὐτῇ τὸ κράτος ἀήττητον, καὶ περιέπων τὴν πόλιν σου ἄτρωτον, αὐτῆς γὰρ ὑπάρχεις τὸ στήριγμα :~

κζ´ τοῦ ἁγίου μάρτυρος Νέστορος. ἰδιόμελον. ὁ μάρτυς σου κε. ἦχος δ´, μέγαν εὕρατο ἐν τοῖς κινδύνοις. κοντάκιον.

Ἀθλήσας καλῶς, ἀθάνατον τὴν εὔκλειαν. κεκλήρωσαι νῦν, ὡς στρατιώτης ἄριστος, τῷ δεσπότῃ γέγονας, ταῖς εὐχαῖς Δημητρίου τοῦ μάρτυρος. σὺν αὐτῷ ὅθεν Νέστορ σοφέ. πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν :~

κη´ τῶν ἁγίων μαρτύρων, Τερεντίου, καὶ Νεονίλης, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν, Στεφάνου τοῦ Σαββαΐτου καὶ ποιητοῦ. ἰδιόμελον. οἱ μάρτυρές σου. τοῦ ὁσίου. ἦχος πλαγίου δ´. ὀρθοδοξίας ὁδηγέ.

κθ´ τῆς ἁγίας ὁσιομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀβραμίου. ἰδιόμελον. ἡ ἀμνάς σου Ἰησοῦ. κοντάκιον, ἦχος γ´. ἡ παρθένος σήμερον.

Παρθενίας νάμασι, καθηγνισμένη. μαρτυρίου αἵμασιν, ἀναστασία στεφθεῖσα. παρέχοις τοῖς ἐν ἀνάγκαις, τῶν νοσημάτων. ἴασιν καὶ σωτηρίαν, τοῖς προσιοῦσιν. ἐν καρδίας ἰσχὺν μέμοι, Χριστὸς ὀβρύων χάριν ἀέναον:~ καὶ τοῦ ὁσίου. ἐν σοὶ πάτερ ἀκριβῶς. κοντάκιον. τοῦ ὁσίου. ἦχος δ´. ἐπεφάνης σήμερον.

Ἐν σαρκὶ ὡς ἄγγελος, ἐπὶ τῆς γῆς ἀνεδείχθης. καὶ ἀσκήσει γέγονας, πεφυτευμένον ὡς ξύλον. ὕδατι τῆς ἐγκρατείας καταρτυφήσας. ῥεύμασι τῶν σῶν δακρύων ῥύ-



Digitized by Google

πον ἐκπλεύσων. διὰ τοῦτο ἀπεδέχθης δοχεῖον θεῖον διὰ ἀβραάμ :~

λʹ τῶν ἁγίων μαρτύρων, ζηνοβίου, καὶ ζηνοβίας. Τετρά.
κοντάκιον. ἦχος πλ. δʹ. ὡς ἀπαρ.

Τῆς ἀληθείας μάρτυρας, καὶ εὐσεβείας κήρυκας, τὴν δυάδα ἀξίως τιμήσωμεν, ἐν θεοπρεπέσι ᾄσμασι, τὸν ζηνόβιον, ἅμα σὺν τῇ σεπτῇ ζηνο=βία. ὁμοῦ βιώσαντας, καὶ ἐκδημήσαντας, καὶ διὰ μαρτυρίου δεξαμένους στέφος ἄφθαρτον :~

λαʹ τῶν ἁγίων ἀποστόλων, στάχυος ἀμπλίου, καὶ τῶν σὺν αὐτοῖς. καὶ τοῦ ἁγίου μάρτυρος ἐπιμάχου. τροπά. ἀπόστολοι ἅγιοι. καὶ τοῦ ἁγίου μάρτυρος, ὁ μάρτυς σου κύριε. κοντάκιον. ἦχος πλ. δʹ. ὡς ἀπαρχάς.

Ὡς ἱερὰ κειμήλια καὶ παράδοξα τῆς οὐρανίου δόξης αὐγάσματα, χρεωστικῶς ὑμνήσωμεν, τοὺς σεπτοὺς ἀποστόλους. ἀπελλῆν. οὐρβανόν τε, ἀριστόβουλον. ἀμπλίαν, νάρκισσον, καὶ στάχυν. οὓς καὶ ἡ χάρις συνήγαγε τοῦ θεοῦ ἡμῶν.

Μηνολόγιον  τοῦ νοεμβρίου.

Εἴτοι ἀθηναίης πέλει ἔρμεα, ὥριον ἤδη καρπὸν ἀποθλίβειν, μηῆστιν ἔχειν καμάτων.

Μὴν νοέμβριος.

Ἔχων ἡμέρας λʹ. ἡ ἡμέρα ἔχει ὥρας ιʹ. καὶ ἡ νὺξ ὥρας ιδʹ.

αʹ Εἰς τὴν πρώτην, τῶν ἁγίων καὶ θαυματουργῶν

ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, τῶν ἐξ ἀσίας. τροπάριον, ἦχος πλ. δ'.

Ἅγιοι ἀνάργυροι καὶ θαυματουργοί, ἐπισκέψασθε ἡμῶν τὰς ἀσθενείας. δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν:~ κοντάκιον. ἦχος πλ.

Οἱ τὴν χάριν λαβόντες τῶν ἰαμάτων, ἐφαπλοῦτε τὴν ῥῶσιν τοῖς ἐν ἀνάγκαις. ἰατροὶ θαυματουργοὶ ἔνδοξοι. ἀλλὰ τῇ ὑμῶν ἐπισκέψει, τῶν πολεμίων τὰ θράση κατευνάσατε, τὸν κόσμον ἰώμενοι ἐν τοῖς θαύμασι:~

Β'τ ἁγίων μαρτύρων ἀκινδύνου, πηγασίου, ἀφθονίου, ἐλπιδηφόρου, καὶ ἀνεμποδίστου. τροπάρ. ἦχος β'.

Ἀθλοφόροι κυρίου, μακαρία ἡ γῆ ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν. καὶ ἅγιαι αἱ σκηναί, αἱ δεξάμεναι τὰ σώματα ὑμῶν. ἐν σταδίῳ γάρ, τὸν ἐχθρὸν ἐθριαμβεύσατε. καὶ χριστὸν μετὰ παρρησίας ἐκηρύξατε. αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

κοντάκιον, ἦχος α'. χορὸς ἀγγελικός.

Ὡς ἄστρα ἀπλανῆ, τοῦ ἡλίου τῆς δόξης. ἀνέλαμψαν τῇ γῇ, οἱ χριστοῦ στρατιῶται. τὸν ζόφον διώκοντες, τῶν παθῶν καὶ πηγάζοντες. χάριν ἄφθονον, ἀνεμποδίστως τοῖς πᾶσι, καὶ ἀκίνδυνον τὴν σωτηρίαν δωρούμενοι. ἐλπίδι τῆς πίστεως:~

ἕτερον ἦχος β'. τοὺς ἀσφαλεῖς.

Ψυχὰς ὡς εὐσεβεῖς καὶ θεοφόρους μάρτυρας, ὡς ζωῆς καταλιπόντας ἅπαντας. προσεδέξω εἰς ἀπόλαυσιν τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν ἀκίνδυνον πηγάσιον ἀνεμπόδιστον, σὺν τούτοις ἀφθόνιον ἐλπιδηφόρον



Digitized by Google

τε ὁ μόνος ὑπάρχων ὑπεράγαθος :~

γʹ τῶν ἁγίων μαρτύρων, Ἀκεψιμᾶ, Ἀειθαλᾶ καὶ Ἰωσήφ. καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ ἐν λύδδῃ. ἤτοι ἡ κατάθεσις τοῦ ἁγίου σώματος αὐτοῦ. Ἀπολυτίκιον ἦχος δʹ. οἱ μάρτυρές σου. κοντάκιον. ἦχος βʹ. τὰ ἄνω ζητῶν.

Ἀ θεία σοφὲ, ἀμέμπτως ἐμυσταγωγήθης. θυσία δεκτὴ, ἐγένου θεομακάριστε. τοῦ χριστοῦ γὰρ ἔπιες τὸ ποτήριον, ἐνδόξως ἁγίε ἀκεψιμᾶ σὺν τοῖς συνάθλοις σου, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν. ἕτερον ἀπὸ γʹ ᾠδῆς. κοντάκιον τῶν ἁγίων ἦχος αʹ. χορὸς ἀγγελι.

Φ ωτὶ τῷ νοητῷ. τὰς ψυχὰς ἐλλαμφθέντες. πυρὸς τοῦ αἰσθητοῦ, ἀθλοφόροι κυρίου. τὸ σέβας κατεπτύσατε, καὶ θεῷ ἐλατρεύσατε. ὅθεν λάμποντες, ταῖς τῶν θαυμάτων ἀκτῖσι, θεραπεύετε τὰς ψυχικὰς ἡμῶν νόσους, ὡς χάριν δεξάμενοι :~ ἕτερον ἀφ᾽ ἑκτῆς, ἦχος πλ. δʹ. τῇ ὑπερμάχῳ στρατηγῷ.

Ὡ ς ὑπερμάχῳ καὶ ταχεία ἀντιλήψει σου. προσπεφευγότες οἱ πιστοὶ καθικετεύομεν, λυτρωθῆναι παρὰ τοῦ χριστοῦ ἀθλοφόρε. τῶν σκανδάλων τοῦ ἐχθροῦ τοὺς ἀνυμνοῦντάς σε. καὶ παντοίων κινδύνων, καὶ κακώσεων. ἵνα κράζωμεν, χαίροις μάρτυς Γεώργιε :~

δʹ τοῦ ὁσίου πρς ἡμῶν Ἰωαννικίου τοῦ μεγάλου, καὶ τοῦ ἁγίου μάρτυρος Νικάνδρου ἐπισκόπου μύρων. Ἀπολυτίκιον, ἦχος πλ. δʹ. ταῖς τῶν δακρύων σου ῥοαῖς. καὶ τὸ. οἱ μάρτυρές σου. κοντάκιον ἐπεφάνης.

Ἐ ν τῇ μνήμῃ σήμερον, τῇ ἱερᾷ σου, συνελθόντες

ἅπαντες, ἐκδυσωποῦμεν οἱ πιστοὶ, Ἰωαννίκιε ὅσιε, παρὰ κυρίου, εὑρεῖν ἡμᾶς ἔλεος:~

ἕτερον ἦχος πλ. δ΄. τῇ ὑπερμάχῳ.

Ἀστὴρ ἐφάνης, παμφαὴς ἐν κόσμῳ λάμπων. καὶ τοὺς ἐν ζόφῳ τῶν παθῶν περιαστράπτων. ἰατρὸς δὲ ἀρρωγώτατος ἀπεφάνθης· ἀλλ' ὡς ἔλαβες τὴν χάριν τῶν ἰάσεων, τοῖς αἰτοῦσι παράσχου τὴν ἴασιν. ἵνα κράζωμεν, χαίροις πάτερ Ἰωαννίκιε:~

ε΄ τῶν ἁγίων μαρτύρων Γαλακτίωνος καὶ Ἐπιστήμης. τροπάριον. οἱ μάρτυρές σου κύριε.

ς΄ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Παύλου ἀρχιεπισκόπου κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ. τροπάριον, ἦχος γ΄.

Θείας πίστεως ὁμολογία, ἄλλον Παῦλον σε τῇ ἐκκλησίᾳ, ζηλωτὴν ἐν ἱερεῦσιν ἀνέδειξε. συνεκβοᾷ σοι καὶ Ἄβελ πρὸς κύριον, καὶ Ζαχαρίου τὸ αἷμα τὸ δίκαιον. πάτερ ὅσιε Χριστὸν τὸν θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος:~ κοντάκιον, ἦχος β΄. τὰ ἄνω ζητῶν.

Ἀστράψας ἐν γῇ, ὡς ἄστρον οὐρανόφωτον, τὴν καθολικὴν φωτίζεις ἐκκλησίαν νῦν. ὑπὲρ ἧς καὶ τέθληκας τὴν ψυχήν σου Παῦλε προθέμενος, καὶ ὡς Ζαχαρίου καὶ Ἄβελ, ἱερῶς βοᾷ σου τὸ αἷμα πρὸς κύριον:~

ζ΄ τῶν ἁγίων λγ΄ μαρτύρων, τῶν ἐν Μελιτηνῇ. καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν, καὶ θαυματουργοῦ Λαζάρου τοῦ ἐν τῷ Γαλλησίῳ ὄρει ἀσκήσαντος. τροπάριον. οἱ μάρτυρές σου κύριε. καὶ τοῦ ὁσίου. ἦχος πλ. δ΄. ταῖς τῶν δακρύων.

Ταῖς ἐπαγρύπνοις προσευχαῖς, ὀχετοῖς δακρύων τὸν στύλον κατέβρεχες. καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας

Digitized by Google

ποιμὴν, τοῖς πᾶσι μέμων συγχώρησιν, ὅσπερ πὴρ ἡμῶν Λάζαρε. πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν :~ κοντάκιον, ἦχος δ'. ἐπεφάνης σήμ.

Ὡς φωστῆρα μέγιστον ἡ ἐκκλησία. ἔχουσα δοξάζει σε, μετ' εὐφροσύνης ψαλμικῶς. διὸ μὴ παύσῃ πρεσβεύων Χριστῷ, δοθῆναι πᾶσι, πταισμάτων συγχώρησιν :~

η' ἡ σύναξις τοῦ ἀρχιστρατήγου Μιχαὴλ καὶ τῶν λοιπῶν ἀσωμάτων δυνάμεων. τροπάριον, ἦχος δ'.

Τῶν οὐρανίων στρατιῶν ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς οἱ ἀνάξιοι. ἵνα ταῖς ὑμῶν δεήσεσι τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων τῆς ἀΰλου ὑμῶν δόξης. φρουροῦντες ἡμᾶς προσπίπτοντας. ἐκτενῶς καὶ βοῶντας, ἐκ τῶν κινδύνων λυτρώσατε ἡμᾶς, ὡς ταξιάρχαι τῶν ἄνω δυνάμεων :~ κοντάκιον. ἦχος β'.

Ἀρχιστράτηγοι θεοῦ, λειτουργοὶ θείας δόξης. τῶν ἀνθρώπων ὁδηγοὶ, καὶ ἀρχηγοὶ ἀσωμάτων. τὸ συμφέρον ἡμῖν πρεσβεύσατε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν ἀσωμάτων ἀρχιστράτηγοι :~

θ' τῶν ἁγίων μαρτύρων ὀνησιφόρου καὶ πορφυρίου. καὶ τῆς ὁσίας μητρὸς ἡμῶν ματρώνης. τροπάριον. οἱ μάρτυρές σου κύριε. τῆς ὁσίας. ἐν σοὶ μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα.

ι' τῶν ἁγίων ἀποστόλων, ἐράστου. ὀλυμπᾶ, καὶ τῶν σὺν αὐτοῖς. τροπάριον. ἀπόστολοι ἅγιοι ἱκετεύσατε.

Ἐπεφάνη σήμερον τῶν ἀποστόλων, ἡ σεπτὴ πανήγυρις παρεχομένη ἐμφανῶς, πταισμάτων πᾶσι τὴν ἄφεσιν, τοῖς ἐκτελοῦσιν αὐτῶν τὸ μνημόσυνον :~

Digitized by Google

ια τῶν ἁγίων μαρτύρων, μηνᾶ. Βίκτορος, καὶ Βικεντίου. καὶ τῆς ἁγίας μάρτυρος Στεφανίδος, καὶ τοῦ ὁσίου πρς ἡμῶν, καὶ ὁμολογητοῦ, θεοδώρου τοῦ στουδίτου. τροπάριον. οἱ μάρτυρές σου κε. τοῦ ὁσίου, ἦχος πλ δ'. ὀρθοδοξίας ὁδηγέ. κοντάκιον, τῶν μαρτύρων. ἦχος πλαγίου δ'. ὡς ἀπαρχάς.

Ως εὐσεβείας μάρτυρας, καὶ ἀθλητὰς θεόφρονας, ἡ ἐκκλησία γεραίρει δοξάζουσα· τοὺς θείους ἄθλους σήμερον, μηνᾶ τοῦ ἀθλοφόρου. Βίκτορος τοῦ γενναίου καὶ Βικεντίου, τοῦ Στεφάνου ἐμμαιόφρονος. πόθῳ σε κραυγάζει, δοξάζουσα τὸν φιλάνθρωπον :~

ἕτερον, ἦχος δ'. ἐπεφάνης σήμερον.

Τῆς στρατείας ἥρπασε τῆς ἐπιγείου. καὶ ἀξίας ἔδειξεν ἐπουρανίου κοινωνόν. σὲ ἀθλοφόρε μηνᾶ, ὁ τῶν μαρτύρων ἀκήρατος Στέφανος :~

κοντάκιον τοῦ ὁσίου. ἦχος β. τὰ ἄνω ζητῶν.

Τὸν ἀσκητικόν, ἰσάγγελόν τε βίον σου, τοῖς ἀθλητικοῖς ἐφαίδρυνας παλαίσμασι· καὶ ἀγγέλοις σύσκηνος, θεομάκαρ ὤφθης θεόδωρε. σὺν αὐτοῖς Χῷ τῷ θῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν :~

ιβ τοῦ ἐν ἁγίοις πρς ἡμῶν, Ἰωάννου πατριάρχου ἀλεξανδρείας, τοῦ ἐλεήμονος. καὶ τοῦ ὁσίου πρς ἡμῶν νείλου. τροπάριον. ἦχος πλ δ'.

Εν τῇ ὑπομονῇ σου ἐκτήσω τὸν μισθόν σου πὲρ ὅσιε. ταῖς προσευχαῖς ἀδιαλείπτως ἐγκαρτερήσας, τοὺς πτωχοὺς ἀγαπήσας, καὶ τούτοις ἐπαρκέσας. ἀλλὰ πρέσβευε Χῷ τῷ θῷ, Ἰωάννη ἐλεῆμον μακάριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν :~ τοῦ ὁσίου.

Digitized by Google

ταῖς τῶν δακρύων σου ῥοαῖς.

κοντάκιον, ἦχος β΄. τὰ ἄνω ζητῶν.

Τὸν πλοῦτον τὸν σόν, ἐσκόρπισας τοῖς πένησι. καὶ τῶν οὐρανῶν τὸν πλοῦτον νῦν ἀπείληφας, ἰωάννη πάνσοφε. διατοῦτο πάντες σε γεραίρομεν ἐκτελοῦντες τὴν μνήμην σου, τῆς ἐλεημοσύνης ὧ ἐπώνυμε:~

κοντάκιον. τοῦ ὁσίου. ἦχος πλ. δ΄. τῇ ὑπερμάχω.

Τὰς φρυγανώδεις τῶν παθῶν, τῶν ἐκ τοῦ σώματος. ἐπαναστάσεις, ἐμπειρικῶς εἷλε μακάριε. ἐν ἀγρύπνῳ σου συνέκοψας ἱκεσίᾳ. ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πρὸς τὸν κύριον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον. ἵνα κράζω σοι, χαίροις πάτερ παγκόσμιε:~

ιγ΄ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἰωάννου ἀρχιεπισκόπου κωνσταντινουπόλεως, τοῦ χρυσοστόμου. τροπάριον. ἦχος πλ. δ΄.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν. ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο. τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. ἀλλὰ σοῖς λόγοις παιδεύων πάτερ ἰωάννη χρυσόστομε. πρέσβευε τῷ λόγῳ χριστῷ τῷ θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν:~

κοντάκιον. ἦχος πλ. β΄. τὴν ὑπὲρ ἡμῶν.

Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν. καὶ διὰ τῶν σῶν χειλέων πάντας διδάσκεις, προσκυνεῖν τὴν τριάδα τὸν ἕνα θεόν, ἰωάννη χρυσόστομε παμμακάριστε ὅσιε, ἐπαξίως εὐφημοῦμέν σε. ὑπάρχεις γὰρ καθηγητής, ὡς τὰ θεῖα σαφῶν.

ιδ΄ τοῦ ἁγίου καὶ πανευφήμου, ἀποστόλου φιλίππου.

Digitized by Google

Τροπάριον. ἦχος γ'. Ἀπόστολε ἅγιε.

Κοντάκιον. ἦχος πλ. δ'. ὡς ἀπαρχάς.

Ὁ μαθητὴς καὶ φίλος σου, καὶ μιμητὴς τοῦ πάθους σου, τῇ οἰκουμένῃ θεόν σε ἐκήρυξεν, ὁ θεηγόρος Φίλιππος. Ταῖς αὐτοῦ ἱκεσίαις, ἐξ ἐχθρῶν παρανόμων τὴν ἐκκλησίαν σου, καὶ πᾶσαν πόλιν σου, διὰ τῆς θεοτόκου συντήρησον πολυέλεε:~

ιε' Τῶν ἁγίων μαρτύρων καὶ ὁμολογητῶν, Γουρία, Σαμωνᾶ καὶ Ἀβίβου. Τροπάριον. ἦχος πλ. α'.

Τὰ θαύματα τῶν ἁγίων σου μαρτύρων, τεῖχος ἀκαταμάχητον ἡμῖν δωρησάμενος Χριστὲ ὁ θεὸς, ταῖς αὐτῶν ἱκεσίαις βουλὰς ἐθνῶν διασκέδασον, τῆς βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος:~ Κοντάκιον ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους σοφοὶ, τὴν χάριν κομισάμενοι, τοῖς ἐν πειρασμοῖς προΐστασθε πανεύφημοι. διὸ κόρην ἅγιοι ἐκ θανάτου πικροῦ ἐλυτρώσασθε. ὑμεῖς γὰρ ὄντως ὑπάρχετε Ἐδέσσης ἡ δόξα. καὶ τοῦ κόσμου χαρά:~

ις' Τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου. Τροπάριον, ἦχος γ'. Ἀπόστολε ἅγιε.

Κοντάκιον. ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τοῦ τελωνίου τὸ ζυγὸν ἀπορρίψας. δικαιοσύνης τῷ ζυγῷ προσηρμόσθης, καὶ ἀνεδείχθης ἔμπορος πανάριστος. πλοῦτον κομισάμενος, τὴν ἐξ ὕψους σοφίαν. ὅθεν ἀνεκήρυξας, ἀληθείας τὸν λόγον καὶ τῶν ῥαθύμων ἤγειρας ψυχὰς, καταγράψας τὴν ὥραν τῆς κρίσεως:~

ιζ' Τῶν ἐν ἁγίοις πατρὸς ἡμῶν, Γρηγορίου ἐπισκόπου Νεο-

καισαρείας τοῦ θαυματουργοῦ. Τροπάριον, ἦχος πλ. δ'.

Ἐν προσευχαῖς γρηγορῶν, ταῖς τῶν θαυμάτων ἐργασίαις ἐγκαρτερῶν, ἐπωνυμίαν ἐκτήσω τὰ κατορθώματα. ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ πάτερ Γρηγόριε, φωτίσαι τὰς ψυχὰς ἡμῶν, μήποτε ὑπνώσωμεν εἰς θάνατον:~ κοντάκιον, ἦχος β'. τὰ ἄνω ζητῶν.

Θαυμάτων πολλῶν, δεξάμενος ἐνέργειαν, σημείοις φρικτοῖς, τοὺς δαίμονας ἐπτόησας. καὶ τὰς νόσους ἤλασας τῶν ἀνθρώπων, πάνσοφε Γρηγόριε. θαυματουργὸς δὲ ὀνομάζῃ τὴν κλῆσιν ἐκ τῶν ἔργων κομισάμενος.

ιη' τῶν ἁγίων μαρτύρων, Πλάτωνος, καὶ Ῥωμανοῦ. εἰ οὐκ ἔστιν ἀλληλούϊα. Τροπάριον, ἦχος γ'.

οἱ μάρτυρές σου κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν.

ιθ' τοῦ ἁγίου μάρτυρος Βαρλαάμ. καὶ τοῦ ἁγίου προφήτου Ἀβδιοῦ. ἀλληλούϊα.

κ' προεόρτια τῆς ἐν τῷ ναῷ εἰσόδου, τῆς ὑπεραγίας θεοτόκου, καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν, Πρόκλου ἀρχιεπισκόπου, κωνσταντινουπόλεως, καὶ τοῦ ὁσίου Γρηγορίου τοῦ Δεκαπολίτου. Τροπάριον τῶν ἁγίων. ἦχος δ'.

Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν. ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν:~

κοντάκιον, ἦχος γ'. ἡ παρθένος σήμερον.

Φωταυγῆ σε ἥλιον, ἡ ἐκκλησία γνωρίζει. ἀρετῶν λαμπρότησι, καὶ ἰαμάτων ἀκτῖσιν. ἅπαντας φωταγωγοῦντα. ταῖς διδαχαῖς σου. ὅθεν σου πανηγυρίζει,

Digitized by Google

τὴν θείαν μνήμην. ᾧ τιμᾶ σου τοὺς ἀγῶνας παμμάκαρ. πάτερ σοφὲ γρηγόριε:~

δόξα καὶ νῦν. προεόρτιον, ἦχος δ'.

Χαρὰν προμηνύεται πᾶσιν ἡ σήμερον, τῆς λύπης ἀντίθετον καρπὸν βλαστήσασα, τὴν μόνην ἀειπάρθενον. ἣν προσάγει, τὰς ψυχὰς ἐκπληροῦσα. σήμερον γινομένη τῷ ναῷ τοῦ κυρίου, ὡς ὄντα ναὸν τοῦ θεοῦ λόγου καὶ μητέρα ἁγνήν:~

ἀπὸ γ'. ᾠδῆς.

κοντάκιον, ἦχος δ'. ἐπεφάνης σήμερον.

Επαξίως σήμερον πανηγυρίζει, ἡ πασῶν τῶν πόλεων τιμιωτέρα ἀληθῶς. ἐν τῇ σεπτῇ μεταστάσει σου, πάτερ πατέρων, προέκλε σοφέ.

ἀφ' ἕκτης προεόρτιον τῆς θεοτόκου.

Ευφροσύνης σήμερον ἡ οἰκουμένη. ἐπληρώθη ἅπασα ἐν τῇ σεπτῇ ἑορτῇ, τῆς θεοτόκου κραυγάζουσα. αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος:~

κά. ἡ ἐν τῷ ναῷ εἴσοδος τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου. τροπάριον, ἦχος δ'.

Σήμερον τῆς εὐδοκίας θεοῦ τὸ προοίμιον. καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. ἐν ναῷ τοῦ θεοῦ, τρανῶς ἡ παρθένος δείκνυται, καὶ τὸν χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν, χαῖρε τῆς οἰκονομίας τοῦ κτίστου ἡ ἐκπλήρωσις:~

κοντάκιον, ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ο καθαρώτατος ναὸς τοῦ σωτῆρος. ἡ πολυτίμητος παστὰς καὶ παρθένος. τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ θεοῦ σήμερον εἰσάγεται ἐν τῷ οἴκῳ κυρίου. τὴν χάριν

Digitized by Google

συνεισάγουσα, τὴν ἐν πνεύματι θείῳ. ἣν ἀνυμνοῦσιν ἄγγελοι θεοῦ, αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος:~

κβʹ τοῦ ἁγίου ἀποστόλου Φιλήμονος. καὶ τῶν σὺν αὐτῷ. τροπάριον. ἀπόστολοι ἅγιοι.

δόξα, καὶ νῦν. τῆς ἑορτῆς.

κγʹ. τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, Γρηγορίου ἐπισκόπου ἀκραγαντίνων. καὶ ἀμφιλοχίου ἐπισκόπου ἰκονίου. τροπάριον. ὁ θεὸς τῶν πατέρων ἡμῶν.

ἀπὸ γʹ ᾠδῆς κοντάκιον. ἡ παρθένος σήμερον.

Φωτοβόλοις λάμψεσιν τὴν ἐκκλησίαν, τοῦ ἁγίου πατρὸς φωταγωγεῖ τοῖς τὴν φαιδρὰν, ἐπιτελοῦσι τὰς σου κοίμησιν, ὅσιε πάτερ Γρηγόριε:~

ἀφʹ ἕκτης, ἦχος ά. πρὸς τὸ, χορὸς ἀγγελικός.

Ὡς λίαν ἐκλεκτὸς, καὶ θεῷ ἐγνωσμένος, τῇ θείᾳ ἀληθῶς προκεχείρισαι ψήφῳ. ποιμὴν ἀξιάγαστος εἰς πολλῶν περιποίησιν. ὅθεν ἄριστος ἀρχιερεὺς δεδειγμένος, πᾶσαν αἵρεσιν, ὡσεβοφρόνως καθεῖλες, πιστῶν περιϊστάμενος:~

κδʹ τῆς ἁγίας μεγαλομάρτυρος αἰκατερίνης, καὶ τοῦ ἁγίου μάρτυρος, Μερκουρίου. τροπάριον. τῆς ἁγίας, ἦχος δʹ. ἡ ἀμνάς σου Ἰησοῦ κράζει μεγάλῃ τῇ φωνῇ. καὶ τοῦ ἁγίου. ὁ μάρτυς.

κοντάκιον τῆς ἁγίας. ἦχος βʹ. τὰ ἄνω ζητῶν.

Χορείαν σεπτὴν ἐνθέως φιλομάρτυρες, ἐγείρατε, νῦν γεραίροντες τὴν πάνσοφον αἰκατερίνην, αὕτη γὰρ ἐν σταδίῳ, τὸν Χριστὸν ἐκήρυξε, καὶ τὸν ὄφιν ἐπάτησε.

Digitized by Google

ἐπάτησε. ῥητόρων τὴν γνῶσιν καταπαύσασα:~

τοῦ ἁγίου ὅμοιον.

Τὰ θεῖα σοφὲ καλῶς μυσταγωγούμενος. θυσία δεκτὴ, ἐγένου παναοίδιμε. τοῦ Χριστοῦ γὰρ ἔπιες προθυμότατα τὸ ποτήριον. διατοῦτο Μερκούριε, πρεσβεύεις ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν:~

κε' τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, καὶ ἱερομαρτύρων, κλήμεντος πάπα ῥώμης, καὶ πέτρου ἀλεξανδρείας. Τροπά.

Ο θεὸς τῶν πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν. ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν:~ κοντάκιον, ἦχος δ'. ἐπεφάνης σή.

Ἐκκλησίας ἄσειστοι, καὶ θεῖοι πύργοι. εὐσεβείας ἔνθεοι στῦλοι οἱ ὄντως κραταιοί. κλήμη σὺν Πέτρῳ πανεύφημοι. ὑμῶν πρεσβείαις, φρουρήσατε ἅπαντας:~ καὶ ἀποδίδοται ἡ ἑορτή.

τῇ οὔσῃ πρὸ ἡμῶν ἀλυπίου τοῦ κιονίτου. εἰ οὐκ ἔστιν ἀλληλούϊα. Τροπάριον, ἦχος α'. ὑπομονῆς στῦλος γέγονας.

κζ' τοῦ ἁγίου μάρτυρος ἰακώβου τοῦ πέρσου. Τροπάριον. οἱ μάρτυρές σου κύριε, ἐν τῇ ἀθλήσει.

κοντάκιον, ἦχος β'. τὰ ἄνω ζητῶν.

Πεισθεὶς τῇ καλῇ συζύγῳ καρτερόψυχε, ἐς τὸ φοβερὸν κριτήριον ἐννοούμενος, τῶν περσῶν τὸ πρόσταγμα καὶ τὸν φόβον Ἰάκωβε κατέπτυσας. ἐδείχθης μάρτυς σεπτός, τὸ σῶμα ὡς κλῆμα τεμνόμενος:~

κη' τοῦ ἁγίου ὁσιομάρτυρος, στεφάνου τοῦ νέου. Τροπάρ. ἦχος δ'.

Ἀσκητικῶς προγυμνασθεὶς, ἐν τῷ ὄρει. τὰς νοητὰς, τῶν δυσμενῶν παρατάξεις. τῇ πανοπλίᾳ ὤλεσας



Digitized by Google

παμμάκαρ τοῦ σταυροῦ, αὖθις δὲ πρὸς ἄθλησιν ἀνδρικῶς ἀπεδύσω· κτείνας τὸν κοπρώνυμον τῷ τῆς πίστεως ξίφει. καὶ δι' ἀμφοῖν ἐστέφθης ἐκ θεοῦ. ὁσιομάρτυς ἀοίδιμε στέφανε:~

κοντάκιον. ἦχος πλ. δ'. τῇ ὑπερμάχῳ.

Τὸν τῆς τριάδος ἐραστὴν καὶ θεῖον στέφανον, ἀνευφημήσωμεν πιστῶς ᾠδαῖς φιλέορτοι ἐν καρδίαις, ὡς τιμήσαντα χαρακτῆρα τὸν ὡραῖον τοῦ δεσπότου, καὶ μητρὸς αὐτοῦ. καὶ συμφώνως νῦν ἐν πόθου ἐκβοήσωμεν τούτῳ χαίροντες. χαίροις πάτερ ἀοίδιμε:~

κθ'. τῶν ἁγίων μαρτύρων Παραμόνου, καὶ Φιλουμένου. καὶ τοῦ ὁσίου, ἀκακίου τοῦ ἐν τῇ Κλίμακι. ἀκολουθία.

λ'. τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου, ἀνδρέου τοῦ πρωτοκλήτου. τροπάριον. ἦχος δ'.

Ὡς τῶν ἀποστόλων πρωτόκλητος, καὶ τοῦ κορυφαίου αὐτάδελφος, τῷ δεσπότῃ τῶν ὅλων ἀνδρέα ἱκέτευε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος:~

κοντάκιον. ἦχος β'. τὴν ἐν πρεσβείαις.

Τὸν τῆς ἀνδρίας ἐπώνυμον θεηγόρον, καὶ ἐκκλησίας ἀκόλουθον κορυφαίου, πέτρου τὸν σύγγονον εὐφημήσωμεν. ὅτι ὡς πάλαι τούτῳ καὶ νῦν ἡμῖν κέκραγεν, εὑρήκαμεν δεῦτε τὸν ποθούμενον:~

Digitized by Google

Μηνολόγιον



Δεκέμβριος

Παύσασθαι μειοῦ κέλομαι· γλαγόωντι γὰρ ἤδη·
σπέρματι ῥιγεδανὴ πηγυλὶς ἀντιάσει.

## Μὴν δεκέμβριος.

ἔχων ἡμέρας, λα´. ἡ ἡμέρα ἔχει
ὥρας θ´. ἡ νὺξ ὥρας ιε´.

α´ Εἰς τὴν πρώτην, τοῦ ἁγίου προφήτου Ναοὺμ. εἰ οὐκ ἔστιν ἀλληλούϊα· τροπάριον. ἦχος β´. τοῦ προφήτου σου, τὴν μνήμην κύριε ἑορτάζοντες.

β´ Τοῦ ἁγίου προφήτου Ἀββακούμ, ὁμοίως.

γ´ Τοῦ ἁγίου προφήτου Σοφονίου, ὡσαύτως.

δ´ Τῆς ἁγίας μεγαλομάρτυρος Βαρβάρας. καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ. ἑορτ. ἦχος πλ. δ´.

Βαρβάραν τὴν ἁγίαν τιμήσωμεν. ἐχθροῦ γὰρ τὰς παγίδας συνέτριψε. καὶ ὡς στρουθίον ἐρρύσθη ἐξ αὐτῶν, βοηθεία καὶ ὅπλω τοῦ σταυροῦ ἡ πάνσεμνος :~ τοῦ ὁσίου.

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος. τῆς οἰκουμένης ὁ φωστήρ. τῶν μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα. ἰωάννη σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας. λύρα τοῦ πνεύματος πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν :~ κοντάκιον τῆς ἁγίας. ἦχος δ´. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως.

Τῷ ἐν τριάδι εὐσεβῶς ὑμνουμένῳ· ἀκολουθήσασα σεμνὴ ἀθλοφόρε. τὰ τῶν εἰδώλων ἤμβλυνας



Digitized by Google

σεβάσματα. μέσον δὲ τοῦ σκάμματος, ἐναθλοῦσα
Βαρβάρα, τυράννων τὰς κατέπτυξας ἀπειλὰς ἀν-
δρειόφρον. μεγαλοφώνως κράζουσα σεμνή, Τριάδα
σέβω τὴν μίαν θεότητα:~ τοῦ ὁσίου, ὅμοιον.

Ψ Τὸν ὑμνογράφον καὶ σεπτὸν θεηγόρον. τῆς ἐκκλησίας
παιδευτὴν καὶ διδάσκαλον. καὶ τῶν ἐχθρῶν ἀντίπαλον,
Ἰωάννην ἀνυμνήσωμεν. ὅπλον γὰρ ἀράμενος. τὸν
σταυρὸν τοῦ κυρίου, πᾶσαν ἀπεκρούσατο τῶν αἱρέσεων πλά-
νην. καὶ ὡς θερμὸς πρεσβευτὴς εἰς θεόν, πᾶσι παρέχοι
πταισμάτων συγχώρησιν. τοῦ αὐτοῦ. τὰ ἄνω ζητ.

Δ Δαπάναις πολλαῖς, ἱδρῶσι τῆς ἀσκήσεως· τὸ σῶμα
τὸ σόν, εἰς ὕψος πρὸς οὐράνιον, ὥσπερ πῶς ἀνέδρα-
μες, ὅπου μέλη θεῖά σοι δίδονται. ἃ τερπνῶς ἐμε-
λῴδησας τοῖς φίλοις κυρίου πάτερ ὅσιε.

ε Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου.
Ταῖς τῶν δακρύων σου ῥοαῖς.
Τροπάριον ἦχος δ'. κοντάκιον, ἦχος πλ. δ'. τῇ ὑπερμά.

Ὡς ἀπὸ βρέφους τῷ θεῷ θυσία ἄμωμος. προσε-
νεχθεὶς δι' ἀρετῆς Σάββα μακάριε. τῷ σὲ πρὶν
γεννηθῆναι ἐπισταμένῳ, ἐχρημάτισας ὁσίων ἐγ-
καλλώπισμα. πολιστής τε τῆς ἐρήμου ἀξιέπαινος.
διὸ κράζωσοι, χαίροις πάτερ, ἀοίδιμε:~

ς Τῶν ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου
μύρων, τοῦ θαυματουργοῦ. Τροπάριον, ἦχος δ'.

Κ Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος. ἐγκρατείας
διδάσκαλον ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πρα-
γμάτων ἀλήθεια. διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει
τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, πάτερ ἱεράρχα

Digitized by Google

νικόλαε, πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~ κοντάκιον, ἡ παρθένος σήμερον

Ε ν τοῖς μύροις ἅγιε, ἱερουργὸς ἀνεδείχθης. τοῦ χριστοῦ γὰρ ὅσιε, τὸ εὐαγγέλιον πληρώσας. ἔθηκας τὴν ψυχήν σου, ὑπὲρ λαοῦ σου. ἔσωσας τοὺς ἀθώους ἐκ τοῦ θανάτου. διατοῦτο ἡγιάσθης ὡς μέγας μύστης θεοῦ τῆς χάριτος.

ζ′ τοῦ ἁγίου Ἀμβροσίου, ἐπισκόπου Μεδιολάνων.
τροπάριον. κανόνα πίστεως.

η′ τοῦ ὁσίου πατρὸς ἡμῶν παταπίου. τροπάριον. ἐν σοὶ πάτερ ἀκριβῶς διεσώθη.

θ′ ἡ σύλληψις τῆς ἁγίας καὶ θεοπρομήτορος ἄννης. τροπ.

Ε ἡμερον τὰ τῆς ἀτεκνίας δεσμὰ διαλύονται. τοῦ Ἰωακεὶμ γὰρ καὶ τῆς ἄννης εἰσακούων θεὸς, παρελπίδα τεκεῖν αὐτοὺς σαφῶς ὑπισχνεῖται θεόπαιδα. ἐξ ἧς αὐτὸς ἐτέχθη ὁ ἀπερίγραπτος βροτὸς γενόμενος. δι᾽ ἀγγέλου κελεύσας βοῆσαι αὐτῇ, χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. κοντάκιον ἦχος δ′. ἐπεφάνης.

Ε ορτάζει σήμερον ἡ οἰκουμένη, τὴν τῆς ἄννης σύλληψιν γεγενημένην ἐκ θεοῦ. καὶ γὰρ αὐτὴ ἀπεκύησε, τὴν ὑπὲρ λόγον τὸν λόγον κυήσασαν:~

ι′ τῶν ἁγίων μαρτύρων, Μηνᾶ. Ἑρμογένους. καὶ Εὐγράφου. τροπάριον, ἦχος πλαγίου δ′.

Δ ιεγκρατείας τῶν παθῶν τὰς πυρίφλεκτους, ἀπονεκρώσαντες μορφὰς καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ οἱ μάρτυρες ἔλαβον τὴν χάριν. τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶντες καὶ μετὰ τέλους θαυματουργεῖν. ὄντως θαῦμα παράδοξον. ὅτι ὀστέα γυμνὰ ἐκβλύζουσιν ἰάματα. δόξα τῷ μόνῳ καὶ κτίστῃ θεῷ:~



Digitized by Google

κοντάκιον. ἦχος α΄. χορὸς ἀγγελικός.

Μηνᾶν τὸν θαυμαστὸν, ἑρμογένην τὸν θεῖον. καὶ εὔγραφον ὁμοῦ, ἱεραῖς μελῳδίαις. τιμήσωμεν ἅπαντες, ὡς τιμήσαντας χριστόν. καὶ ἀθλήσαντας ὑπὲρ αὐτοῦ. καὶ χορείαν τὴν ἀσώματον ἐν ὕμνοις πεφθακότας, καὶ θαύματα βλύζοντας:~ ἕτερον, ἦχος δ΄. ἐπεφάνης σήμερον.

Τῆς στρατιᾶς ἥρπασε, σὲ τῆς προσκαίρου. καὶ ἀφθάρτου ἔδειξε συγκληρονόμον. ὦ μηνᾶ σὺν τοῖς συνάθλοις σου, πρέσβευε τῷ παρασχόντι ἡμῖν ἄφθαρτον στέφανον:~

ια΄. ὁσίου πατρὸς ἡμῶν δανιὴλ τοῦ στυλίτου. τροπάριον ἦχος α΄.

τῆς ὑπομονῆς στῦλος γέγονας.

κοντάκιον. ἦχος β΄. τὰ ἄνω ζητῶν.

Τὰ ἄνω ποθῶν, τοῖς κάτω μεθιστάμενος. καὶ ἄλλον οὐρανὸν τὸν στῦλον τεκτηνάμενος, δι' αὐτοῦ ἀπήστραψας τῶν θαυμάτων τὴν αἴγλην ὅσιε. εἰσαεὶ χριστὸν τὸν θεὸν πρέσβευε ἀπαύστως σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ιβ΄. ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν σπυρίδων ὁ θαυματουργός.

τροπάριον. κανόνα πίστεως. ἕτερον. ἦχος δ΄.

Τῆς συνόδου τῆς πρώτης ἀνεδείχθης ὑπέρμαχος. καὶ θαυματουργὸς θεοφόρε σπυρίδων πατὴρ ἡμῶν. διὸ νεκρᾷ σὺ ἐν τάφῳ προσφωνεῖς. καὶ ὄφιν εἰς χρυσὸν μετέβαλες. καὶ ἐν τῷ μέλπειν τὰς ἁγίας σου εὐχὰς ἀγγέλους ἔσχες συλλειτουργοῦντάς σοι ἱερώτατε. δόξα τῷ στεφανώσαντι. δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα:~

κοντάκιον. ἦχος β΄. τὰ ἄνω ζητῶν.

Digitized by Google

Ψ ῶ πόθῳ τρωθεὶς Χυ ἱερώτατε. τὴν μονῶν πτερωθεὶς, τῇ αἴγλῃ τοῦ πνεύματος. πρακτικῇ θεωρίᾳ, τὴν πρᾶξιν εὗρες θεόπνευστε, θυσιαστήριον γενόμενος. αἰτουμένοις πᾶσι θείαν ἔλλαμψιν.

ιγ' τῶν ἁγίων μαρτύρων, εὐστρατίου, αὐξεντίου. εὐγενίου, μαρδαρίου, καὶ ὀρέστου. τροπάριον ἦχος γ'.

οἱ μάρτυρές σου.

κοντάκιον. ἦχος β'. τὴν ἐν πρεσβείαις.

Φ ωστὴρ ἐμφανὴς λαμπρότατος. τοῖς ἐν σκότει τῆς ἀγνωσίας καθημένοις ἀθλοφόρε. πίστιν ὡς δόρυ γὰρ περιθέμενος. τῶν δυσμενῶν τὰ θράση οὐκ ἐπτοήθης εὐστράτιε. ῥητόρων ὑπάρχων εὐγλωττότερος:~

τῇ κυριακῇ τῶν ἁγίων προπατόρων ἤτοι τῇ πρὸ τῶν ἁγίων πατέρων. τροπάριον. ἦχος β'.

Ἐ ν πίστει τοὺς προπάτορας ἐδικαίωσας. τὴν ἐξ ἐθνῶν δι᾽ αὐτῶν προεμνηστεύσω ἐκκλησίαν, καυχῶνται ἐν δόξῃ οἱ ἅγιοι, ὅτι ἐκ σπέρματος αὐτῶν ὑπάρχει καρπὸς εὐκλεής, ἡ ἀσπόρως τεκοῦσά σε. ταῖς αὐτῶν ἱκεσίαις Χε ὁ θεός, ἐλέησον ἡμᾶς:~

ἀπὸ γ'. ᾠδῆς, ἡ ὑπακοή. ἦχος β'.

Ε ἰς δρόσον τοῖς παισὶ τὸ πῦρ μετεβάλλετο. ὁ θρῆνος εἰς χαρὰν ταῖς γυναιξὶν ἐνηλλάττετο. ἄγγελος γὰρ ἐν ἀμφοτέροις διηκόνει τοῖς θαύμασι. τοῖς μὲν εἰς ἀνάπαυσιν μεταποιήσας τὴν κάμινον. ταῖς δὲ, τὴν ἀνάστασιν καταμηνύσας τριήμερον. ὁ ἀρχηγὸς τῆς ζωῆς ἡμῶν, κύριε δόξα σοι:~

κοντάκιον. ἦχος β'.

Χ ειρόγραφον εἰκόνα μὴ σεβασθέντες, ἀλλ᾽ ἀ-



Digitized by Google

γράφω ὅσια θωρακισθέντες ἱερομακάριοι. ἐν τῷ
σκάμματι τοῦ πυρὸς ἐδοξάσθητε. μέσῳ δὲ φλογὸς
ἀνυποστάτου ἱστάμενοι, θεὸν ἐπεκαλεῖσθε. τάχυ-
νον ὦ οἰκτίρμον, καὶ πρόφθασον ὡς ἐλεήμων εἰς τὴν
βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος:~

ιδ τῶν ἁγίων μαρτύρων, θύρσου, Λευκίου, Φιλήμο-
νος. Ἀπολλωνίου, καὶ Ἀριανοῦ. ἀλληλούϊα. καὶ
τροπάριον, ἦχος γ'. οἱ μάρτυρές σου.

ιε τοῦ ἁγίου ἱερομάρτυρος ἐλευθερίου, καὶ τοῦ ὁσίου πατρὸς
ἡμῶν Παύλου τοῦ ἐν τῷ λάτρῳ. τροπάρ. τοῦ ἱερομάρτυ-
ρος, ἦχος δ'. καὶ τρόπων μέτοχος. καὶ τοῦ ὁσίου, ἦχος δ'.

Τῶν ἀσωμάτων ὁμόσκηνος, καὶ πάντων τῶν ὁσίων
συμμέτοχον, πανάοιδιμε Παῦλε ὑμνούμενε, καὶ δυ-
σωπούμενός σε, πρεσβεύειν ἑκάστοτε ὑπὲρ ἡμῶν, ὅπως
εὕρωμεν ἔλεος. κοντάκιον, ἦχος πλ. δ'. τῇ ὑπερμάχῳ.

Ἀπὸ νεότητος σοφὲ τὰ ὑπὲρ ἔννοιαν ἐπιποθήσας
ἀνδρικῶς κόσμου τὸν τάραχον καταλείπας. καὶ γέ-
γονας διὰ θείας πολιτείας τῆς Τριάδος οἰκητήριον.
καὶ ἐφώτισας τοὺς πίστει προσιόντας σοι. ὅθεν
κράζομεν. χαῖρε Παῦλε πανόλβιε:~

ἕτερον, τοῦ ἱερομάρτυρος, ἦχος β'. τοὺς ἀσφαλεῖς.

Ὡς καλλονὴν τῶν ἱερέων ἅγιε. καὶ προτροπὴν τῶν
ἀθλοφόρων ἅπαντες, εὐφημοῦμεν, καὶ αἰτοῦμέν σε,
ἱερομάρτυς ἐλευθέριε. τοὺς πόθῳ σου τὴν μνήμην
ἑορτάζοντας, κινδύνων πολυτρόπων ἐλευθέρω-
σον. πρεσβεύων ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν:~

ις τοῦ ἁγίου προφήτου Ἀγγαίου. ἀλληλούϊα.

Digitized by Google

ιζ΄ τοῦ ἁγίου προφήτου Δανιὴλ, καὶ τῶν ἁγίων τριῶν παίδων. Ἀνανίου, Ἀζαρίου, καὶ Μισαήλ. Τροπ. ἦχος β΄

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα, ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, οἱ ἅγιοι τρεῖς παῖδες ἠγάλλοντο. καὶ ὁ προφήτης Δανιὴλ, λεόντων ποιμὴν ὡς προβάτων ἐδείκνυτο. Ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ θεὸς σῶσον τὰς ψυχὰς ἡμῶν:~

ἀπὸ γ΄ ᾠδῆς. κοντάκιον τοῦ προφήτου. ἦχος παρθένος.

Φωτισθεῖσα πνί, ἡ καθαρωτάτη σου καρδία. προφητείας γέγονε φαεινοτάτης δοχεῖον. βλέπεις γὰρ ὡς ἐνεστῶτα, τὰ μακρὰν ὄντα. λέοντας ἀποφιμοῖς δὲ, βληθεὶς ἐν λάκκῳ. διὰ τοῦτο σε τιμῶμεν, προφῆτα Μάκαρ, Δανιὴλ ἔνδοξε. ἀφ΄ ἑκτῆς τῶν ἁγίων. χειρόγραφον εἰκόνα. τῇ κυριακῇ πρὸ τῆς γεννήσεως. ἤτοι τῶν ἁγίων πρῶν, προεόρτιον, ἦχος δ΄.

μεγάλα τὰ τῆς πίστεως κατορθώματα·

ἀπὸ γ΄ ᾠδῆς ἡ ὑπακοή. ἦχος πλ. δ΄.

Ἄγγελος παίδων ἐδρόσισε κάμινον. νῦν δὲ γυναικῶν κλαυθμὸν διεκώλυσε λέγων, τί ἐπιφέρετε μῦρα. τίνα ζητεῖτε ἐν τάφῳ. ἀνέστη ὁ Χριστὸς καὶ θεὸς, ὑπάρχει γὰρ ζωὴ καὶ σωτὴρ τοῦ γένους τῶν ἀνθρώπων:~

ἀφ΄ ἑκτῆς. ἦχος α΄. χορὸς ἀγγελικός.

Εὐφραίνου Βηθλεέμ, Ἐφραθᾶ ἑτοιμάζου. ἰδοὺ γὰρ ἡ ἀμνὰς, τὸν ποιμένα τὸν μέγαν, ἐν μήτρᾳ βαστάζουσα, τοῦ τεκεῖν κατεπείγεται. ὃν προβλέποντες οἱ θεοφόροι τρεῖς, ἐπαγάλλονται μετὰ ποιμένων ὑμνοῦντες, παρθένον θηλάζουσαν:~

ιη΄ τοῦ ἁγίου μάρτυρος Σεβαστιανοῦ, καὶ τῆς συνοδίας

Digitized by Google

αὐτοῦ. ἀλληλούϊα, καὶ τὸ, οἱ μάρτυρές σου.

ιθ' τοῦ ἁγίου μάρτυρος Βονιφατίου. ὁμοίως.

κ' προεόρτια τῆς κατὰ σάρκα γεννήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου τοῦ θεοφόρου. τροπάριον. ἦχος δ'.

Ἑτοιμάζου Βηθλεέμ, ἤνοικται πᾶσιν ἡ Ἐδέμ. εὐπρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς παρθένου. παράδεισος γὰρ ἡ ἐκείνης γαστὴρ ἐδείχθη νοητῶς, ἐν ᾧ τὸ θεῖον φυτόν. ἐξ οὗ φαγόντες ζήσομεν. οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν ἀναστῆσαι εἰκόνα. τοῦ ἁγίου. ἦχος δ'. καὶ τρόπων μέτοχος. ἀπὸ ἕκτης ᾠδῆς. κοντάκιον. ἦχος γ'.

Ἡ παρθένος σήμερον, τὸν προαιώνιον λόγον. ἐν σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως. χόρευε ἡ οἰκουμένη, ἀκουτισθεῖσα. δόξασον μετὰ ἀγγέλων, καὶ τῶν ποιμένων. βουληθέντα ἐποφθῆναι, παιδίον νέον τὸν πρὸ αἰώνων θεόν:~

ἀπὸ τρίτης τοῦ ἁγίου. ἦχος γ'. ἡ παρθένος σήμε.

Τῶν λαμπρῶν ἀγώνων σου, καὶ φωτοφόρος ἡμέρα. προκηρύττει ἅπασι, τὸν ἐκ παρθένου τεχθέντα. τούτου γὰρ διψῶν ἐκ πόθου κατατρυφῆσαι, ἔσπευσας ὑπὸ θηρίων ἀναλωθῆναι. διὰ τοῦτο θεοφόρος προσηγορεύθης, Ἰγνάτιε ἔνδοξε:~

κα' τῆς ἁγίας μάρτυρος, Ἰουλιανῆς τῆς ἐν Νικομηδείᾳ. τροπάριον προεόρτιον.

κοντάκιον, ἦχος β'. τὰ ἄνω ζητῶν.

Digitized by Google

Ἐν τῇ Βηθλεέμ, ὁρῶντες σπαργανούμενον, τὸν πάντα
τὴν γῆν κρατοῦντα τῇ χειρὶ αὐτοῦ, προεόρτια ᾄσμα-
τα, τῇ τεκούσῃ τούτου προσενέγκωμεν. μιμητικῶς
γὰρ ὡς φραίνεσθαι, κρατοῦσα ἐν κόλποις τὸν υἱὸν τοῦ θεοῦ.

κβʹ τῆς ἁγίας μεγαλομάρτυρος ἀναστασίας τῆς φαρ-
μακολυτρίας. τροπάριον. Ἡ ἀμνάς σου Ἰησοῦ.
κοντάκιον. ἦχος βʹ. τὰ ἄνω ζητῶν.

Οἱ ἐν πειρασμοῖς, καὶ θλίψεσιν ὑπάρχοντες, πρὸς
τὸν σὸν ναὸν προστρέχοντες. λαμβάνουσι τὰ σε-
πτὰ δωρήματα, τῆς ἐν σοὶ οἰκούσης θείας χάριτος
ἀναστασία. σὺ γὰρ ἀεὶ τῷ κόσμῳ πηγάζεις ἰάματα.

κγʹ τῶν ἁγίων δέκα μαρτύρων, τῶν ἐν κρήτῃ. τρο-
πάριον. ἦχος γʹ. Τὴν πολυθαύμαστον κρήτην
τιμήσωμεν, τὴν ἐξανθήσασαν αὖθις τὰ τίμια. τοὺς
μαργαρίτας τοῦ Χριστοῦ μαρτύρων τοὺς ἀκραιφνεῖς. δέ-
κα γὰρ ὑπάρχουσιν ἀριθμὸν οἱ μακάριοι. πᾶσαν
τὴν μυριόχλον τῶν εἰδώλων κατήσχυναν. διὸ καὶ τοὺς
στεφάνους ἐδέξαντο, μάρτυρες Χριστοῦ καρτερόψυχοι.
κοντάκιον. ἦχος γʹ. ἐπεφάνης σήμερον.

Ἑωσφόρος ἔλαμψεν, ἡ τῶν μαρτύρων. σεβασμία
ἄθλησις, προκαταγγέλλουσα ἡμῖν, τὸν ἐν σπηλαίῳ
τικτόμενον. ὃν ἡ παρθένος, ἀπορρήτως ἐκύησεν:~

κδ τῆς ἁγίας ὁσιομάρτυρος εὐγενίας. τροπάριον
προεόρτιον. ἦχος δʹ.

Ἀπεγράφετο ποτὲ σὺν τῷ πρεσβύτῃ ἰωσήφ. ὡς ἐκ
σπέρματος Δαβίδ, ἐν Βηθλεὲμ ἡ μαριάμ, κυο-
φοροῦσα τὴν ἄσπορον κυοφορίαν. ἐπέστη δὲ και-
ρὸς ὁ τῆς γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ κατα-

Digitized by Google

λύματι. ἀλλ᾽ ὡς τὸ πρῶτον παλάτιον, τὸ σπήλαιον τῇ βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν ἀναστῆσαι θέλων εἰκόνα :~

κε Ἡ κατὰ σάρκα γέννησις τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀργία τελείμερος, καὶ κατάλυσις εἰς πάντα. ὁμοίως δὲ τὸ δωδεκαήμερον, κατάλυσις εἰς πάντα καὶ ἀργία τῶν μεσωρίων. τροπάριον. ἦχος δ᾽.

Ἡ γέννησίς σου χριστὲ ὁ θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως. ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες ὑπὸ ἀστέρος ἐδιδάσκοντο. σὲ προσκυνεῖν τὸν ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολὴν κύριε δόξα σοι :~ ἀπὸ γ᾽ ᾠδῆς. ἡ ὑπακοή. ἦχος πλ. δ᾽.

Τὴν ἀπαρχὴν τῶν ἐθνῶν, ὁ οὐρανός σοι προσεκόμισε. τῷ κειμένῳ νηπίῳ ἐν φάτνῃ, δι᾽ ἀστέρος τοὺς μάγους καλέσας, οὓς καὶ κατέπληττεν, οὐ σκῆπτρα καὶ θρόνοι, ἀλλ᾽ ἐσχάτη πτωχεία. τί γὰρ εὐτελέστερον σπηλαίου. τί δὲ ταπεινότερον σπαργάνων. ἐν οἷς διέλαμψεν ὁ τῆς θεότητος πλοῦτος σου, κύριε δόξα σοι :~ ἀφ᾽ ἕκτης ᾠδῆς. ἦχος γ᾽.

Ἡ παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει. καὶ ἡ γῆ τὸ σπήλαιον, τῷ ἀπροσίτῳ προσάγει. ἄγγελοι μετὰ ποιμένων δοξολογοῦσι. μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι. δι᾽ ἡμᾶς γὰρ ἐγεννήθη παιδίον νέον, ὁ πρὸ αἰώνων θεός :~

κϛ Ἡ σύναξις τῆς ὑπεραγίας θεοτόκου. καὶ τοῦ ἁγίου ἱερομάρτυρος εὐθυμίου ἐπισκόπου σάρδεων. τροπάριον τῆς ἑορτῆς. κοντάκιον. ἦχος πλ. β᾽.

Ο προ ἑωσφόρου ἐκ πρς ἀμήτωρ γεννηθείς, ἐπὶ τῆς
γῆς ἀπάτωρ ἐσαρκώθη σήμερον ἐκ σοῦ· ὅθεν ἀστὴρ
εὐαγγελίζεται μάγοις. ἄγγελοι δὲ μετὰ ποιμένων
ὑμνοῦσι τὸν ἄσπορον τόκον σου, ἡ κεχαριτωμένη.

τῇ κυριακῇ μετὰ τὴν Χυ γέννησιν. μνήμη τῶν ἁγίων
καὶ δικαίων, ἰωσὴφ τοῦ μνήστορος. δαδ τοῦ βασιλέως.
καὶ ἰακώβου τοῦ ἀδελφοθέου. τροπάριον, ἦχος β΄.

Ε ὐαγγελίζου ἰωσήφ, τῷ δαδ τὰ θαύματα τῷ θεοπά-
τορι. παρθένον εἶδες κυοφορήσασαν. μετὰ ποιμέ-
νων ἐδοξολόγησας. μετὰ μάγων προσεκύνησας.
δι᾽ ἀγγέλου χρηματισθείς, ἱκέτευε Χν τὸν θν, σωθῆ-
ναι τὰς ψυχὰς ἡμῶν :~ κοντάκιον. ἦχος γ΄. ἡ παρθέ.

Ε ὐφροσύνης σήμερον, δαδ πληροῦται ὁ θεῖος. ἰωσὴφ
τε αἴνεσιν σὺν ἰακώβῳ προσφέρει. στέφος γὰρ τῇ
συγγενείᾳ Χυ λαβόντες, χαίρουσι καὶ τὸν ἀφρά-
στως ἐν γῇ τεχθέντα, ἀνυμνοῦσι καὶ βοῶσιν, οἰκτίρ-
μον σῶζε τοὺς σὲ γεραίροντας :~

κζ΄ τοῦ ἁγίου ἀποστόλου πρωτομάρτυρος, καὶ ἀρχιδια-
κόνου στεφάνου, καὶ τοῦ ὁσίου πρς ἡμῶν, καὶ ὁμολογη-
τοῦ θεοδώρου τοῦ γραπτοῦ, καὶ αὐταδέλφου θεο-
φάνους τοῦ ποιητοῦ. τροπάριον, ἦχος δ΄.

Τ ὸν ἀγῶνα τὸν καλὸν ἠγωνίσω. πρωτομάρτυς τοῦ
Χυ καὶ ἀπόστολε. καὶ τῶν τυράννων ἤλεγξας τὴν ἀσέ-
βειαν. λίθοις γὰρ βαλλόμενος ὑπὸ χειρῶν ἀνό-
μων. τὸ στέφος ἐκ τῆς ἄνωθεν δεξιᾶς ἐκομίσω. καὶ
πρὸς θν ἐκραύγαζες βοῶν. κε μὴ στήσης αὐτοῖς τὴν
ἁμαρτίαν ταύτην :~ κοντάκιον. ἦχος γ΄. ἡ παρθέ.

Ο δεσπότης χθὲς ἡμῖν διὰ σαρκὸς ἐπεδήμει. καὶ ὁ δοῦ-

Digitized by Google

λος σήμερον, ἀπὸ σαρκὸς ἐξεδήμει· χθὲς ὁ βασιλεὺς ὢν σαρκὶ ἐτέχθη. σήμερον ὁ οἰκέτης λιθοβολεῖται. δι' αὐτὸν καὶ τελειοῦται, ὁ πρωτομάρτυς καὶ θεῖος στέφανος :~

κη΄ τῶν ἁγίων δισμυρίων μαρτύρων, τῶν ἐν νικομηδείᾳ καέντων. τροπ. ἀθλοφόροι κυ. ζήτει νοεμβρίω β΄. κοντάκιον. ἦχος α΄. χορὸς ἀγγελικός.

Στρατὸς ἐν ἀριθμῷ, δισμυρίων μαρτύρων. ὡς ἄδυτος φωστὴρ, ἀνατέλλει φωτίζων. καρδίας καὶ νοήματα, ἀσεβῶν διὰ πίστεως. ἐξαφθέντες γὰρ, θεία στοργῇ δεσπότου, τέλος ἅγιον διὰ πυρὸς οἱ γενναῖοι, προθύμως ἐδέξαντο :~

κθ΄ τῶν ἁγίων νηπίων, τῶν ἐν βηθλεὲμ ὑπὸ ἡρώδου ἀναιρεθέντων. χιλιάδων ἐν τῷ ιδ΄. καὶ τοῦ ὁσίου πρς ἡμῶν μαρκέλλου ἡγουμένου μονῆς τῶν ἀκοιμήτων. τροπάριον. τὰς ἀλγηδόνας τῶν. καὶ τοῦ ὁσίου.

ἐν σοὶ πάτερ ἀκριβῶς.

κοντάκιον τῶν ἁγίων ἦχος πλ. β΄. τὴν ὑπὲρ ἡμῶν.

Ἐν τῇ βηθλεὲμ τεχθέντος τοῦ βασιλέως, μάγοι ἐκ δυσμῶν σὺν δώροις ἐπιδημοῦσι, δι' ἀστέρος ἐξ ὕψους ὁδηγούμενοι. ἀλλ' ἡρώδης ταράσσεται, καὶ θερίζει τὰ νήπια, ὥσπερ σῖτον. ὀδυρόμενος, ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖται ταχύ :~ ἕτερον ἦχος δ΄. ἐπεφάνης.

Ἀστὴρ μάγοις ἔπεμψε πρὸς τὸν τεχθέντα. καὶ ἡρώδης ἄδικον στρατὸν ἀπέστειλε δεινῶς. φονοκτονῆσαι οἰόμενος, τὸν ἐν τῇ φάτνῃ, ὡς νήπιον κείμενον :~

λ΄ τῆς ἁγίας μάρτυρος ἀνυσίας. καὶ τοῦ ὁσίου ζωτικοῦ πρεσβυτέρου τοῦ ὀρφανοτροφείου. συμψάλλεται δὲ καὶ

ἡ ἀκολουθία τῆς ἁγίας μελάνης, διὰ τὸ ἀποδίδο-
σθαι τὴν ἑορτὴν τῶν χριστουγέννων κατὰ τὴν λά.
λα΄· τῆς ὁσίας μελάνης τῆς ῥωμαίας. ἐν ταύτῃ τῇ ἡμέ-
ρᾳ, ἀποδίδοται ἡ τῶν χριστουγέννων ἑορτή:~

Μηνολόγιον



τοῦ ἰανουαρίου.

Ἐμέθεν λυκάβαντος ὑπ᾽ ἠελίοιο θύρετρα
αἴθριοι, ὕψιος δέρκεται ἠέλιος.

## Μὴν ἰανουάριος.

ἔχων ἡμέρας λα΄. ἡ ἡμέρα ἔχει
ὥρας ι΄. καὶ ἡ νὺξ ὥρας ιδ΄.

α΄. Εἰς τὴν πρώτην, ἡ κατὰ σάρκα περιτομὴ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου ἀρχιεπισκόπου καισαρείας καππαδοκίας. Τροπάριον. ἦχος α΄.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου. δι᾽ οὗ θεοπρεπῶς, ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας. τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας, βασίλειον ἱεράτευμα. πάτερ ὅσιε πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον τροπάριον τῆς ἑορτῆς. ὁ αὐτός.

Θρόνῳ πυριμόρφῳ, ἐν ὑψίστοις καθήμενος. σὺν πατρὶ τῷ ἀνάρχῳ, καὶ τῷ θείῳ σου πνεύματι. ηὐδόκησας τεχθῆναι ἐπὶ γῆς, ἐκ κόρης ἀπειράνδρου σου μητρός. διὰ τοῦτο καὶ περιετμήθης ὡς ἄνθρωπος

οὐκ ἀνήμερος. δόξα τῇ παναγάθῳ σου βουλῇ. δόξα τῇ οἰκονομίᾳ σου. δόξα τῇ συγκαταβάσει σου μόνε φιλάνθρωπε:~ κοντάκιον τῆς ἑορτῆς. ἦχος γ'. ἡ παρθένος.

Ὁ τῶν ὅλων κτίστης, περιτομὴν ὑπομένει. καὶ βροτῶν τὰ πταίσματα, ὡς ἀγαθὸς περιτέμνει. δίδωσι τὴν σωτηρίαν σήμερον κόσμῳ. χαίρει δὲ ἐν τοῖς ὑψίστοις, καὶ ὁ τοῦ κτίστου ἱεράρχης καὶ φωσφόρος, ὁ θεῖος μύστης Χριστοῦ βασίλειος:~ ἕτερον τοῦ ἁγίου. ἐπεφάνης σήμερον.

Ὑφήκας βάσις ἄσειστος τῇ ἐκκλησίᾳ. νέμων πᾶσιν ἄσυλον τὴν κυριότητα βροτοῖς ἐπισφραγίζων τοῖς σοῖς δόγμασιν, οὐρανοφάντορ βασίλειε ὅσιε:~

β' τοῦ ἐν ἁγίοις πρς ἡμῶν, σιλβέστρου πάπα ῥώμης. τροπάριον. κανόνα πίστεως. προεόρτιον. ἦχος δ'.

Ἑτοιμάζου ζαβουλὼν, καὶ ὦ νεφθαλὴμ εὐτρεπίζου. ἰορδάνη ποταμὲ, στῆθι ὑπόδεξαι σκιρτῶν. τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν δεσπότην. ἀγάλλου ὁ ἀδὰμ σὺν τῇ προμήτορι. μὴ κρύπτεσθε αὐτοὺς ὡς ἐν παραδείσῳ τὸ πρίν. καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν. Χριστὸς ἐφάνη τὴν πᾶσαν κτίσιν θέλων ἀνακαινίσαι. κοντάκιον τοῦ ἁγίου. ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως.

Ἐν ἱερεῦσιν ἱερὸς ἀνεδείχθης, τοῦ βασιλέως καὶ θεοῦ θεοφόρε, τῶν ἀσκητῶν συνόμιλος γενόμενος. ὅθεν συναγάλλῃ νῦν, τοῖς χοροῖς τῶν ἀγγέλων. πάτερ ὦ εὐφραινόμενος ἐν τοῖς ἐπουρανίοις, σίλβεστρε ἔνδοξε ποιμὴν, σῶζε τοὺς πόθῳ τελοῦντας τὴν μνήμην σου:~ προεόρτιον ἐπεφάνης σήμερον.

Ἐν τοῖς ῥείθροις σήμερον, τοῦ Ἰορδάνου. γενόμενος ὁ κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ. μὴ δειλιάσῃς βαπτίσαι με. σῶσαι γὰρ ἥκω, ἀδὰμ τὸν πρωτόπλαστον:~

γ΄ τοῦ ἁγίου προφήτου μαλαχίου, καὶ τοῦ ἁγίου μάρτυρος γορδίου. Τροπάριον. ὁ μάρτυς σου κύριε.

κοντάκιον ἦχος πλ. δ΄. ὡς ἀπαρχάς.

Οἱ σοὶ ἱδρῶτες ἔνδοξε, τὴν πᾶσαν γῆν κατήρδευσαν. καὶ τοῖς τιμίοις αἵμασι γόρδιε τὸν κόσμον ἅπαντα ηὔφρανας. ταῖς εὐχαῖς σου θεόφρον, σῶσον πάντας τοὺς πίστει σοι ἀναπέμποντας, καὶ μακαρίζοντας. βοῶντας ὕμνον ἐπάξιον, πανεύφημε ὡς πολύαθλος:~ κοντάκιον τοῦ προφήτου. ἐπεφάνης.

Προφητείας χάρισμα πλουτῶν προφῆτα. τοῦ χριστοῦ προηγγείλας τὴν παρουσίαν ἐμφανῶς. τὸν δὲ τοῦ κόσμου σωτῆρα, οὗ τῇ ἐλλάμψει ὁ κόσμος πεφώτισται:~

δ΄ ἡ σύναξις τῶν ἁγίων ἑβδομήκοντα ἀποστόλων. καὶ τοῦ ὁσίου θεοκτίστου, ἡγουμένου τοῦ ἐν τῷ κουκουμίῳ τῆς σικελίας. Τροπάριον. ἀπόστολοι ἅγιοι.

ἀπὸ γ΄ ᾠδῆς, κοντάκιον. προσόμοιον, τὸ ἐν τοῖς ῥείθροις σήμερον.

ἀφ᾽ ἕκτης, τῶν ἀποστόλων. ἦχος β΄. τὰ ἄνω ζητῶν.

Χριστοῦ μαθητῶν, χορὸν τὸν ἑβδομήκοντα, ἐνθέως πιστοί, ἐν ὕμνοις εὐφημήσωμεν. δι᾽ αὐτῶν γὰρ πάντες ἐμάθομεν, τριάδα σέβειν ἀμέριστον, καὶ μένουσι λύχνοι θείας πίστεως.

ε΄ τῶν ἁγίων μαρτύρων, θεοπέμπτου, καὶ θεωνᾶ, καὶ τῆς ὁσίας συγκλητικῆς. Τροπάριον ἦχος δ΄.

Ἀπεστρέφετό ποτε ὁ Ἰορδάνης ποταμός. τῇ μηλωτῇ



Digitized by Google

ἑλίσσαιε, ἀναληφθέντος ἠλιοῦ. καὶ διηρεῖτο τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν. καὶ γέγονεν αὐτῷ ξηρὰ ὁδὸς ἡ ὑγρὰ, εἰς τύπον ἀληθῶς τοῦ βαπτίσματος. δι᾽ οὗ ἡμεῖς τὴν ῥέουσαν τοῦ βίου διαπερῶμεν διάβασιν. Χριστὸς ἐφάνη ἐν ἰορδάνῃ, ἁγιάσαι τὰ ὕδατα:~

κοντάκιον, τὰ αὐτὰ ἦχ τῶν.

Τὸ πάντων χριστὲ ὦ εὐσπλάγχνως ἀφαιρούμενος, πταισμάτων πλήθη, δι᾽ ἔλεος ἀμέτρητον, ἰορδάνου τοῖς νάμασι βαπτισθῆναι ἔρχῃ ὡς ἀμνὸς, καταστολὴν ἐπενδύων με, τῆς δόξης τὸν πρώην γυμνωθέντα δεινῶν.

ς΄ τὰ ἅγια θεοφάνια τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. κοντάκιον ἦχος α΄.

Ἐν ἰορδάνῃ βαπτιζομένου σου κύριε, ἡ τῆς τριάδος ἐφανερώθη προσκύνησις. τοῦ γὰρ γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε υἱὸν ὀνομάζουσα. καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. ὁ ἐπιφανεὶς χριστὲ ὁ θεὸς, καὶ τὸν κόσμον φωτίσας δόξα σοι:~ ὑπακοή. ἦχος β΄.

Ὅτε τῇ ἐπιφανείᾳ σου ἐφώτισας τὰ σύμπαντα, τότε ἡ ἁλμυρὰ τῆς ἀπιστίας θάλασσα ἔφυγε. καὶ ἰορδάνης κάτω ῥέων ἐστράφη, πρὸς οὐρανὸν ἀνυψῶν ἡμᾶς. ἀλλὰ τῷ ὕψει τῶν θείων ἐντολῶν σου, συντήρησον χριστὲ ὁ θεὸς, πρεσβείαις τῆς θεοτόκου καὶ σῶσον ἡμᾶς:~ κοντάκιον. ἦχος δ΄.

Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ. καὶ τὸ φῶς σου κύριε ἐσημειώθη ἐφ᾽ ἡμᾶς. ἐν ἐπιγνώσει ὑμνοῦντάς σε. ἦλθες ἐφάνης, τὸ φῶς τὸ ἀπρόσιτον:~

Digitized by Google

ζ' Σύναξις τοῦ ἁγίου ἐνδόξου προφήτου προδρόμου, καὶ βαπτιστοῦ ἰωάννου. τροπάριον, ἦχος β'.

Μνήμη δικαίου μετ' ἐγκωμίων. σοὶ δὲ ἀρκέσει, ἡ μαρτυρία τοῦ κυρίου πρόδρομε. ἀνεδείχθης γὰρ ὄντως καὶ προφητῶν σεβασμιώτερος. ὅτι ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας χαίρων. εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος:~ κοντάκιον, ἦχος πλ. β'. τὴν ὑπὲρ ἡμῶν.

Τὴν σωματικήν σου παρουσίαν δεδοικώς, ὁ ἰορδάνης, φόβῳ ἀπεστρέφετο, τὴν προφητικὴν δὲ λειτουργίαν ἐκπληρῶν ὁ ἰωάννης, τρόμῳ ὑπεστέλλετο. τῶν ἀγγέλων αἱ τάξεις ἐξεπλήττοντο. ὁρῶσαί σε ἐν ῥείθροις σαρκὶ βαπτιζόμενον. καὶ πάντες οἱ ἐν τῷ σκότει κατηυγάζοντο, ἀνυμνοῦντές σε τὸν φανέντα, καὶ φωτίσαντα τὰ πάντα:~

η' Τῆς ὁσίας ἡμῶν μητρὸς δομνίκας, καὶ τῶν ὁσίων πατέρων ἡμῶν, γεωργίου τοῦ χοζεβίτου, καὶ αἰμιλιανοῦ τοῦ ὁμολογητοῦ. τροπάριον, τῆς ἑορτῆς.

θ' Τοῦ ἁγίου μάρτυρος πολυεύκτου. τροπά. τῆς ἑορτῆς. καὶ τοῦ ἁγίου. ὁ μάρτυς σου κύριε. κοντάκιον ἐπεφάνης σήμερον.

Τοῦ σωτῆρος κλίναντος ἐν ἰορδάνῃ, κεφαλὴν ἐθλάσθησαν αἱ τῶν δρακόντων κεφαλαί. τοῦ πολυεύκτου ἡ κάρα δέ, ἀποτμηθεῖσα τὸν δόλιον ᾔσχυνεν:~

ι' Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν, γρηγορίου ἐπισκόπου νύσσης, καὶ τοῦ ὁσίου δομετιανοῦ ἐπισκόπου μελιτηνῆς. καὶ τοῦ ὁσίου μαρκιανοῦ, πρεσβυτέρου καὶ



Digitized by Google

οἰκονόμου τῆς μεγάλης ἐκκλησίας. Τροπ. ὁ θς τ πρῶν ἡμ. κοντάκιον. ἦχος Β΄. τὴν ἐν πρεσβείαις.

Τῆς ἐκκλησίας ὁ ἔνθεος ἱεράρχης, καὶ τῆς σοφίας σεβάσμιος μυσολέκτης, μύστης ὁ γρήγορος, νοῦς γρηγόριος. ὁ σὺν ἀγγέλοις χορεύων, καὶ ἐντρυφῶν τῷ θείῳ φωτὶ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμ.

ια΄ τοῦ ὁσίου πρς ἡμῶν θεοδοσίου, τοῦ κοινοβιάρχου. Τροπάριον. ἦχος πλ δ΄. Ταῖς τῶν δακρύων σου ῥοαῖς.

κοντάκιον. τῇ ὑπερμάχῳ.

Πεφυτευμένος ἐν αὐλαῖς ταῖς τοῦ κυ σου. ταῖς σαῖς ὁσίαις ἀρεταῖς τερπνῶς ἐξήνθησας. καὶ ἐπλήθυνας τὰ τέκνα σου ἐν ἐρήμῳ. τῶν δακρύων σου τοῖς ὄμβροις ἀρδευόμενα. ἀγελάρχα τῶν θυ θείων ἐπαύλεων. ὅθεν κράζομεν, χαίροις πὲρ θεοδόσιε:~

ιβ΄ τῆς ἁγίας μάρτυρος τατιανῆς. τὰ τῆς ἑορτῆς.

ιγ΄ τῶν ἁγίων μαρτύρων ἑρμύλου, καὶ στρατονίκου. ἐν ταύτῃ τῇ ἡμέρᾳ συμψάλλεται καὶ ἡ ἀκολουθία τῶν ἀββάδων, διὰ τὸ ἐν τῇ ιδ΄, ἀποδίδοσθαι τὴν ἑορτὴν τῶν ἁγίων θεοφανίων. τροπάριον. ἦχος δ΄. οἱ μάρτυρές σου κε. δόξα. ὁ θς τῶν πρῶν ἡμῶν. καὶ νῦν τῆς ἑορτῆς.

κοντάκιον. τοῖς ἀθλοφόροις (?). τὰ ἄνω ζητῶν.

Ἐκ τῆς κοσμικῆς συγχύσεως ἐφύγετε, καὶ πρὸς γαλήνην κατάστασιν μετέστητε. μαρτυρίου αἵμασι, καὶ ἀσκήσεως πόνοις στεφόμενοι. ὅθεν καὶ ἀναδείχθητε μαρτύρων καὶ ὁσίων ὁμόσκηνοι:~

ιδ΄ τῶν ὁσίων πρῶν ἡμῶν, τῶν ἐν σινᾶ καὶ ῥαιθοῦ ἀναιρεθέντων

ρεθέντων. τετραπαρίου. ὁ θς τῶν πρῶν ἡμῶν.

ιε Τοῦ ὁσίου πρς ἡμῶν, Παύλου τοῦ θηβαίου, καὶ Ἰωάννου τοῦ Καλυβίτου. τετραπαρίου, ἦχος δ΄.

Ἐκ βρέφους τὸν κῦν ἐπιποθήσας θερμῶς, τὸν κόσμον κατέλιπες, καὶ τὰ ἐν κόσμῳ τερπνά. καὶ ἤσκησας ἀρίστως· ἔπηξας τὴν καλύβην, πρὸ πυλῶν σῶν γονέων. ἔθραυσας τῶν δαιμόνων τὰς ἐνέδρας παμμάκαρ. διόσε ἰωάννη, Χς ἀξίως ἐδόξασεν:~

κοντάκιον τοῦ καλυβίτου. χειρόγραφον εἰκόνα.

Ἐξέκλινας τοῦ βίου τὰς τειχωμίας. πρὸς ὅρμον δὲ τὸν θεῖον ἰθύνας μάκαρ τὰς πορείας σου. καὶ ἀνέβλυσας πᾶσι ῥεῖθρα ἰάσεων, τοῖς πόθῳ ἰωάννη τῇ σορῷ σου προσψαύουσι, καὶ πίστει ἐκβοῶσι. πρόστηθι ἐν ἡμέρᾳ τῆς δίκης ταῖς σαῖς πρεσβείαις, τῶν ἐκτελούντων σου πιστῶς, πάτερ ὅσιε τὴν κοίμησιν:~

ἕτερον τοῦ αὐτοῦ. τὰ ἄνω ζητῶν.

Ποθήσας σοφὲ, πτωχείαν τὴν ἄσυλον. γονέων τῶν σῶν τὸν πλοῦτον ἐμίσησας. καὶ τὸ εὐαγγέλιον ἐν χερσί σου κρατῶν, ἠκολούθησας χῶ τῷ θῷ ἰωάννη. πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν:~

ἀπ' ἐκ τῆς τοῦ θηβαίου. ἐπεφάνης σήμερον.

Τὸν φωστῆρα ἅπαντες τὸν ἐν τῷ ὕψει. ἀρετῶν ἐκλάμψαντα, ἀνευφημήσωμεν πιστοί, Παῦλον τὸν θεῖον κραυγάζοντες, σὺ τῶν ὁσίων χε ἀγαλλίαμα:~

ις Ἡ προσκύνησις τῆς τιμίας ἁλύσεως τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου πέτρου. τροπάριον ἦχος δ΄.

Τὴν ῥώμην μὴ λιπὼν, πρὸς ἡμᾶς ἐπεδήμησας. δι' ὧν ἐφόρεσας τιμίων ἁλύσεων, τῶν ἀποστόλων πρωτο-

δρομε. αἷς ἐν πίστει προσκυνοῦντες δεόμεθα, ταῖς πρὸς θεὸν πρεσβείαις σου, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος :~ κοντάκιον, τὰ ἄνω ζήτει.

Ἡ πέτρα χριστὸς, τὴν πέτραν τῆς πίστεως. δοξάζει φαιδρῶς τῶν μαθητῶν τὸν πρωτόθρονον. συγκαλεῖ γὰρ ἅπαντας ἑορτάσαι πέτρε τῷ θαύματι, τῆς σῆς τιμίας ἀλύσεως, καὶ νέμει πταισμάτων τὴν συγχώρησιν:~ τὸ αὐτὸ ἀλλοτρόπως.

Τὴν πέτραν χριστοῦ, τὸν πέτραν τῆς πίστεως. ὑμνήσωμεν φαιδρῶς, χριστοῦ τὸν πρωτόθρονον. συγκαλεῖ γὰρ ἅπαντας ἑορτάσαι τὴν μνήμην τοῦ θαύματος τῆς τιμίας ἀλύσεως, καὶ δοθῆναι πταισμάτων τὴν συγχώρησιν.

ιζ' τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν, ἀντωνίου τοῦ μεγάλου. ἀπολυτίκιον, ἦχος δ'.

Τὸν ζηλωτὴν ἠλίαν τοῖς τρόποις μιμούμενος. τῷ βαπτιστῇ εὐθείαις ταῖς τρίβοις ἑπόμενος. πάτερ ἀντώνιε, τῆς ἐρήμου γέγονας οἰκιστὴς, καὶ τὴν οἰκουμένην ἐστήριξας εὐχαῖς σου. διὸ πρέσβευε χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~ κοντάκιον, τὰ ἄνω ζήτει.

Τοὺς βιωτικοὺς θορύβους ἀπωσάμενος, ἡσυχαστικῶς τὸν βίον ἐξετέλεσας, τὸν βαπτιστὴν μιμούμενος, κατὰ πάντα τρόπον ὁσιώτατε. σὺν αὐτῷ οὖν σε γεραίρομεν, ἀντώνιε πάτερ, τῶν πατέρων κρηπίς:~

τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, καὶ ἀρχιεπισκόπων ἀλεξανδρείας. ἀθανασίου καὶ κυρίλλου. ἀπολυτίκιον ἦχος δ'.

Ὁ θεὸς τῶν πατέρων ἡμῶν.

κοντάκιον, ἦχος δ'. ἐπεφάνης σήμερον.

Digitized by Google

Ἱεράρχαι μέγιστοι τῆς εὐσεβείας. καὶ γενναῖοι πρό-
μαχοι, τῆς ἐκκλησίας τοῦ χριστοῦ. πάντας φρουρεῖτε τοὺς
ψάλλοντας. σῶσον οἰκτίρμον τοὺς πίστει τιμῶν-
τάς σε:~ Τροπάριον, ἦχος γ.

Ἔργοις λάμψαντες ὀρθοδοξίας, πᾶσαν σβέσαντες
κακοδοξίαν, νικηταὶ τροπαιοφόροι γεγόνατε. τῇ
εὐσεβείᾳ τὰ πάντα πλουτίσαντες. τὴν ἐκκλησίαν
μεγάλως κοσμήσαντες. ἀξίως εὕρατε χριστὸν τὸν θεόν,
δωρούμενον ἡμῖν τὸ μέγα ἔλεος:~

Κοντάκιον ἦχος β'. Τοῖς τῶν αἱμάτων.

Ὀρθοδοξίας φυτεύσας τὰ δόγματα. κακοδοξίας ἀ-
κάνθας ἐξέτεμες. πληθύνας τὸν σπόρον τῆς
πίστεως. τῇ ἐπομβρίᾳ τοῦ πνεύματος ὅσιε. διό-
σε ὑμνοῦμεν ἀθανάσιε:~

ιθ' Τοῦ ὁσίου πατρὸς ἡμῶν μακαρίου τοῦ αἰγυπτίου. Καὶ
τοῦ ἁγίου ἀρσενίου ἀρχιεπισκόπου κερκύρας. Τρο-
πάριον τοῦ ὁσίου. Τῆς ἐρήμου πολίτης.
Κοντάκιον Ἐπεφάνης σήμερον.

Ἐν τῷ οἴκῳ κυρίου τῆς ἐγκρατείας. ἀληθῶς σε ἔθετο
ὡς τὸν ἀστέρα ἀπλανῆ. φωταγωγοῦντα τὰ πέρα-
τα, πάτερ πατέρων μακάριε ὅσιε. Τροπάριον.
Κανόνα πίστεως.

κ' Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν, εὐθυμίου τοῦ
μεγάλου. Τροπάριον ἦχος δ'.

Εὐφραίνου ἔρημος ἡ οὐ τίκτουσα. εὐθύμησον ἡ οὐκ
ὠδίνουσα. ὅτι ἐπλήθυνέ σοι τέκνα ἀνὴρ τῶν ἐπιθυ-
μιῶν τῶν τοῦ πνεύματος, εὐσεβείᾳ φυτεύσας,
ἐγκρατείᾳ ἐκθρέψας, εἰς ἀρετῶν τελειότητα,



Digitized by Google

δρομε. ἀεὶ ἐν πίστει προσκυνοῦντες δεόμεθα, ταῖς πρὸς θεὸν πρεσβείαις σου, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος:~ κοντάκιον, τὰ ἄνω ζητῶν.

Ἡ πέτρα χριστὸς, τὴν πέτραν τῆς πίστεως, δοξάζει φαιδρῶς τὸν μαθητῶν τὸν πρωτόθρονον. συγκαλεῖ γὰρ ἅπαντας ἑορτάσαι πέτρε τῷ θαύματι, τῆς σῆς τιμίας ἁλύσεως, καὶ νέμει πταισμάτων τὴν συγχώρησιν:~ τὸ αὐτὸ ἀλλοτρόπως.

Τὴν πέτραν χριστοῦ, καὶ πέτραν τῆς πίστεως. ὑμνήσωμεν φαιδρῶς, χριστοῦ τὸν πρωτόθρονον. συγκαλεῖ γὰρ ἅπαντας ἑορτάσαι τὴν μνήμην τοῦ θαύματος τῆς τιμίας ἁλύσεως, καὶ δοθῆναι πταισμάτων τὴν συγχώρησιν.

ιζ΄ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν, ἀντωνίου τοῦ μεγάλου. τροπάριον, ἦχος δ΄.

Τὸν ζηλωτὴν ἠλίαν τοῖς τρόποις μιμούμενος. τῷ βαπτιστῇ εὐθείαις ταῖς τρίβοις ἑπόμενος. πάτερ ἀντώνιε, τῆς ἐρήμου γέγονας οἰκιστὴς, καὶ τὴν οἰκουμένην ἐστήριξας εὐχαῖς σου. διὸ πρέσβευε χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~ κοντάκιον, τὰ ἄνω ζητῶν.

Τοὺς βιωτικοὺς θορύβους ἀπωσάμενος, ἡσυχαστικῶς τὸν βίον ἐξετέλεσας, τὸν βαπτιστὴν μιμούμενος, κατὰ πάντα τρόπον ὁσιώτατε. σὺν αὐτῷ οὖν σε γεραίρομεν, ἀντώνιε πάτερ, τῶν πατέρων κρηπίς:~

Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, καὶ ἀρχιεπισκόπων ἀλεξανδρείας. ἀθανασίου καὶ κυρίλλου. τροπάριον, ἦχος δ΄.

Ὁ θεὸς τῶν πατέρων ἡμῶν.

κοντάκιον, ἦχος δ΄. ἐπεφάνης σήμερον.

Digitized by Google

Ἰεράρχαι μέγιςοι τῆς εὐσεβείας. καὶ γενναῖοι πρόμαχοι τῆς ἐκκλησίας τοῦ χριστοῦ. πάντας φρουρεῖτε τοὺς ψάλλοντας. σῶσον οἰκτίρμον τοὺς πίστει τιμῶντάς σε:~ Ἕτερον τροπάριον, ἦχος γ΄.

Ἔργοις λάμψαντες ὀρθοδοξίας, πᾶσαν σβέσαντες κακοδοξίαν, νικηταὶ τροπαιοφόροι γεγόνατε. τῇ εὐσεβείᾳ τὰ πάντα πλουτίσαντες. τὴν ἐκκλησίαν μεγάλως κοσμήσαντες. ἀξίως εὕρατε χριστὸν τὸν θεόν, δωρούμενον ἡμῖν τὸ μέγα ἔλεος:~

Κοντάκιον ἦχος β΄. Τοῖς τῶν αἱμάτων.

Ὀρθοδοξίας φυτεύσας τὰ δόγματα. κακοδοξίας ἀκάνθας ἐξέτεμες. πληθύνας τὸν σπόρον τῆς πίστεως. τῇ ἐπομβρείᾳ τοῦ πνεύματος ὅσιε. διό σε ὑμνοῦμεν ἀθανάσιε:~

ιθ΄ Τοῦ ὁσίου πατρὸς ἡμῶν μακαρίου τοῦ αἰγυπτίου. καὶ τοῦ ἁγίου ἀρσενίου ἀρχιεπισκόπου κερκύρας. Τροπάριον τοῦ ὁσίου. Τῆς ἐρήμου πολίτης. Κοντάκιον ἐπεφάνης σήμερον.

Ἐν τῷ οἴκῳ κυρίου τῆς ἐγκρατείας. ἀληθῶς σε ἔθετο ὡς τὸν ἀστέρα ἀπλανῆ. φωταγωγοῦντα τὰ πέρατα, πάτερ πατέρων μακάριε ὅσιε. Τροπάριον. Κανόνα πίστεως.

κ΄ Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν, εὐθυμίου τοῦ μεγάλου. Τροπάριον ἦχος δ΄.

Εὐφραίνου ἔρημος ἡ οὐ τίκτουσα. εὐθύμησον ἡ οὐκ ὠδίνουσα. ὅτι ἐπλήθυνέ σοι τέκνα ἀνὴρ τῶν ἐπιθυμιῶν τῶν τοῦ πνεύματος, εὐσεβείᾳ φυτεύσας, ἐγκρατείᾳ ἐκθρέψας, εἰς ἀρετῶν τελειότητα,



Digitized by Google

ταῖς αὐτοῦ ἱκεσίαις χριστὲ ὁ θεός, σῶσον τὰς ψυχὰς ἡμῶν:~

κοντάκιον, ἦχος πλ δ'. ὡς ἀπαρχάς.

Ἐν τῇ σεπτῇ γεννήσει σου, χαρὰν ἡ κτίσις εὕρατο. ἀ σὺ τῇ θεία μνήμη σου ὅσιε, τὴν εὐθυμίαν ἔλαβε τῶν πολλῶν σου θαυμάτων. ἐξ ὧν παράσχου πλουσίως ἐν ταῖς ψυχαῖς ἡμῶν. καὶ ἀποκάθαρον ἁμαρτημάτων κηλῖδας, ὅπως ψάλλωμεν, ἀλληλούια:~

καὶ τοῦ ὁσίου πρς ἡμῶν Μαξίμου τοῦ ὁμολογητοῦ, καὶ τοῦ ἁγίου ἱερομάρτυρος νεοφύτου. τροπ. ὀρθοδοξίας ὁδηγέ.

κοντάκιον τοῦ ὁσίου. τῇ ὑπερμάχῳ.

Τὸν τῆς τριάδος ἐραστήν, καὶ μέγαν μάξιμον. τὸν ἐκδιδάσκοντα τρανῶς, πίστιν τὴν ἔνθεον. τοῦ δοξάζειν τὸν χν ἐν δύο φύσεσι, θελήσεσί τε καὶ ἐνεργείαις ὑπάρχοντα. ἐπαξίοις ἐν ᾠδαῖς πιστοὶ τιμήσωμεν ἀνακράζοντες, χαῖρε κῆρυξ τῆς πίστεως:~

τῇ αὐτῇ ἡμέρα, τῶν ἁγίων μαρτύρων εὐγενίου καν[ι]δίου οὐαλεριανοῦ καὶ ἀκύλα. τροπαρ, ἦχος δ'.

Σήμερον ἡ ἐκκλησία στολίζεται τοῖς ἄσμασι. καὶ ἡ οἰκουμένη φαιδρύνεται τοῖς θαύμασιν. ἱερὰ γάρ τετρὰς, κατὰ τῆς πλάνης ἱδρύσατο. καὶ τὸν χν ἐκ πίστεως ὡμολόγησε, διὸ οὖν αὐτοὶ ἁμαρτημάτων αἰτήσασθε λύσιν, τῶν ἀνευφημούντων ὑμῶν τὴν μνείαν ἅγιοι:~ κοντάκιον. ἦχος β'. τοὺς ἀσφαλεῖς.

Τοὺς εὐσεβεῖς καὶ θεοφόρους μάρτυρας. τοὺς τὰ τῆς γῆς καταλιπόντας ἅπαντα. συνελθόντες εὐφημήσωμεν, ἀστέρας ὡς φαιδρούς. εὐγένιον, κανίδιον, οὐαλεριανόν. ὁμοῦ σὺν τούτοις καὶ ἀκύλαν κα-

ταστέψωμεν, χορείαν τιμῶντες τὴν τετράριθμον.

κβ΄ τοῦ ἁγίου ἀποστόλου Τιμοθέου, καὶ τοῦ ἁγίου ὁσιομάρτυρος, Ἀναστασίου τοῦ πέρσου. Ἰδιόμελον παρίου τοῦ ἀποστόλου·

χρηστότητα ἐκδιδαχθείς·

ζήτει ὀκτωβρίω γ΄. τοῦ μάρτυρος. ὁ μάρτυς σου.

κοντάκιον. ἦχος α΄. τὸν τάφον σου.

Τὸν θεῖον μαθητὴν, καὶ συνέκδημον Παύλου. Τιμόθεον πιστοὶ, εὐφημήσωμεν ὕμνοις· σὺν τούτω γεραίροντες τὸν σοφὸν Ἀναστάσιον. τὸν ἐκλάμψαντα ἐκ τῆς περσίδος ἀστέρα. καὶ ἐλαύνοντα τὰ ψυχικὰ ἡμῶν πάθη, καὶ νόσους τοῦ σώματος:~

κγ΄ τοῦ ἁγίου ἱερομάρτυρος κλήμεντος ἀγκύρας, καὶ τοῦ ἁγίου μάρτυρος ἀγαθαγγέλου. τροπάριον. ἦχος δ΄.

Κλῆμα ὁσιότητος, καὶ στέλεχος ἀθλήσεως. ἄνθος ἱερώτατον. καὶ κάρπωσις θεόσδοτος, τοῖς πιστοῖς πανίερε ἀειθαλὲς δεδώρησαι, ἀλλ᾽ ὡς μαρτύρων σύναθλος καὶ ἱεραρχῶν συνόμορος, πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν. κοντάκιον ἐπεφάνη.

Τῆς ἀμπέλου γέγονας τίμιον κλῆμα. τοῦ Χριστοῦ πανεύφημε, κλήμη πολύαθλος ὀφθείς. σὺν τῷ συνάθλω ἐκραύγαζες, σὺ τῶν μαρτύρων χαρὰ φαιδρὸν ἀγαλλίαμα·

κδ΄ τῆς ὁσίας μητρὸς ἡμῶν ξένης. Τροπ. ἐν σοὶ μῆτερ ἀκριβῶς. κοντάκιον. ἦχος β΄ Τοῖς τῶν αἱμάτων σου.

Τὸ σὸν ξενότροπον ξένη μνημόσυνον, ἐπιτελοῦντες οἱ πόθω τιμῶντες σε. ὑμνοῦμεν Χριστὸν τὸν ἐν ἅπασι σοὶ παρέχοντα ἰσχὺν τῶν ἰάσεων, ὃν πάντοτε δυσώπει ὑπὲρ πάντων ἡμῶν:~

κε΄ τοῦ ἐν ἁγίοις πρς ἡμῶν. γρηγορίου τοῦ θεολόγου π. σκὶ ποι

κωνσταντινουπόλεως τοῦ θεολόγου. τροπάριον. ἦχος α΄.

Ὁ ποιμενικὸς αὐλὸς τῆς θεολογίας σου, τὰς τῶν ῥητόρων ἐνίκησε σάλπιγγας. ὡς γὰρ τὰ βάθη τοῦ πνεύματος ἐκζητήσαντι, καὶ τὰ κάλλη τοῦ φθέγματος προσετέθη σοι. ἀλλὰ πρέσβευε Χριστῷ τῷ θεῷ πάτερ Γρηγόριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~

κοντάκιον, ἦχος γ΄. ἡ παρθένος σήμερον.

Θεολόγῳ γλώττῃ σου, τὰς συμπλοκὰς τῶν ῥητόρων διαλύσας ἔνδοξε, ὀρθοδοξίας χιτῶνα, ἄνωθεν ἐξυφανθέντα τῇ ἐκκλησίᾳ. ἐστόλισας ὃν καὶ φοροῦσα σὺν ἡμῖν κράζει. τοῖς σοῖς τέκνοις, χαίροις πάτερ θεολογίας ὁ νοῦς ὁ ἀκρότατος:~

κς΄ τοῦ ὁσίου πατρὸς ἡμῶν Ξενοφῶντος καὶ τῆς συνοδίας αὐτοῦ. τροπάριον. ὁ θεὸς τῶν πατέρων ἡμῶν.

κοντάκιον, ἐπεφάνης σήμερον.

Ἐντολαῖς ἐκρύπτηκας ταῖς τοῦ δεσπότου. τοῖς πτωχοῖς σκορπίσας σου τὸν πλοῦτον μάκαρ ἱλαρῶς. σὺν τῇ συζύγῳ καὶ τέκνοις σου. διὸ κληροῦσθε τὴν θείαν ἀπόλαυσιν:~

κζ΄ ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. τροπάριον, ἦχος πλ. δ΄.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις. τὴν οἰκουμένην ἐφώτισεν. ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο. τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξας. ἀλλὰ σοῖς λόγοις παιδεύων πάτερ Ἰωάννη Χρυσόστομε. πρέσβευε τῷ λόγῳ Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~

Digitized by Google

κοντάκιον, ἦχος α΄. χορὸς ἀγγελικός.

Ηὐφράνθη μυστικῶς, ἡ σεπτὴ ἐκκλησία. τῇ ἀνακομιδῇ, ὦ σεπτοῦ σου λειψάνου. ὃ τοῦτο κατακρύψασα, ὡς χρυσίον πολύτιμον. τοῖς ὑμνοῦσί σε, ἀδιαλείπτως παρέχει. ταῖς πρεσβείαις σου τῶν ἰαμάτων τὴν χάριν, Ἰωάννη Χρυσόστομε:~

κη΄ τοῦ ὁσίου πρς ἡμῶν Ἐφραὶμ τοῦ σύρου. τροπάριον.

Ταῖς τῶν δακρύων σου ῥοαῖς.

κοντάκιον, ἦχος β΄. τὰ ἄνω ζητῶν.

Τὴν ὥραν ἀεὶ προβλέπων τῆς κρίσεως. ἐθρήνεια πικρῶς Ἐφραὶμ ὡς φιλήσυχος. πρακτικὸς δὲ γενόμενος ἐν τοῖς ἔργοις διδάσκαλος ὅσιε, ὅθεν πάτερ παγκόσμιε, ῥαθύμους ἐγείρεις πρὸς μετάνοιαν:~

κθ΄ ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου τοῦ θεοφόρου. τροπάρ. καὶ τρόπων μέτοχος.

κοντάκιον, ἐπεφάνης σήμερον.

Ἐξ ἑῴας σήμερον ἐξανατείλας. ὃς τὴν κτίσιν ἅπασαν καταλαμπρύνας διδαχαῖς. τῷ μαρτυρίῳ κεκόσμηται. ὁ θεοφόρος καὶ θεῖος Ἰγνάτιος:~

λ΄ τοῦ ἁγίου ἱερομάρτυρος Ἱππολύτου. καὶ τῶν ἐν ἁγίοις πατρῶν ἡμῶν, μεγάλων διδασκάλων καὶ ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου. Γρηγορίου τοῦ θεολόγου. καὶ Ἰωάννου τοῦ χρυσοστόμου.

τροπάριον, ἦχος δ΄.

Ὡς τῶν ἀποστόλων ὁμότροποι. καὶ τῆς οἰκουμένης διδάσκαλοι. τῷ δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος:~

Digitized by Google

μηνὶ φεβρουαρίῳ.

κοντάκιον ἦχος βʹ. τοὺς ἀσφαλεῖς.

Τοὺς ἱεροὺς καὶ θεοφθόγγους κήρυκας, τὴν κορυφὴν τῶν διδασκάλων κύριε, προσελάβου εἰς ἀπόλαυσιν τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν. τοὺς πόνους γὰρ ἐκείνων, καὶ τὸν κάματον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν. ὁ μόνος δοξάζων τοὺς ἁγίους σου:~

λαʹ τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων κύρου, καὶ ἰωάννου. τροπάριον. ἦχος πλάγιος δʹ.

τὰ θαύματα τῶν ἁγίων. κοντάκιον, ἡ παρθένος.

Ἐκ τῆς θείας χάριτος, τὴν δωρεὰν τῶν θαυμάτων. εἰληφότες ἅγιοι, θαυματουργεῖτε ἀπαύστως. ἅπαντα ἡμῶν τὰ πάθη τῇ χειρουργίᾳ, τέμνοντες τῇ ἀοράτῳ κῦρε θεόφρον. σὺν ἰωάννῃ τῷ ἀοιδίμῳ. ὑμεῖς γὰρ θεῖοι ἰατροὶ ὑπάρχετε:~

Μηνολόγιον  τοῦ φεβρουαρίου.

Αὐτὰρ ἐγὼ θαμινῆς γαίην ῥιφάδεσσι διαίνω, τεύχων εἰαρινῆς ἐγκύμονα λαίης.

Μὴν φεβρουάριος.

Ἔχων ἡμέρας, κη. ἢ κθ. ἡ ἡμέρα ἔχει ὥρας ιαʹ. καὶ ἡ νὺξ ὥρας ιγʹ.

αʹ Εἰς τὴν πρώτην τοῦ αὐτοῦ [illegible] τῆς ὑπαπαντῆς τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ. καὶ τοῦ ἁγίου μάρτυρος τρύφωνος. τροπάριον, ἦχος αʹ. ὁ μάρτυς σου κύριε.

δόξα καὶ νῦν. προεόρτιον, ἦχος α΄. χορὸς ἀγγελικός.

Ο ὑψιος χορὸς, οὐρανίων ἀψίδων, προκύψας ἐπὶ γῆς, καὶ φερόμενον βλέπων, ὡς βρέφος ὑπομάζιον. πρὸς ναὸν τὸν πρωτότοκον. πάσης κτίσεως. ὑπὸ μητρὸς ἀπειράνδρου προεόρτιον νῦν σὺν ἡμῖν μελῳδοῦσι. φρικτῶς ἐξιστάμενοι:~

κοντάκιον, ἦχος πλ. δ΄. ὡς ἀπαρχάς.

Ι ερατικῇ στερρότητι πολυθεΐαν ἔλυσας, ἐκ τῶν περάτων ἀοίδιμε. τίμιος ἐν χριστῷ γενόμενος, καὶ νικήσας τυράννους ἐν χριστῷ σε, τὸ στέφος εἴληφας τῆς μαρτυρίας σου, καὶ χαρίσματα θείων ἰάσεων, ὡς ἀήττητος:~

β΄ Τῇ αὐτῇ ὑπαπαντὴ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τροπάρ. ἦχ. α΄.

Χ αῖρε κεχαριτωμένη θεοτόκε παρθένε. ἐκ σοῦ γὰρ ἀνέτειλε χριστὸς ὁ θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. εὐφραίνου καὶ σὺ πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν. χαριζόμενον ἡμῖν καὶ τὴν ἀνάστασιν:~ κοντάκιον ἦχος α΄.

Ο μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου. καὶ χεῖρας τοῦ συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς χριστὲ ὁ θεὸς, ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα. καὶ κραταίωσον βασιλεῖς οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος:~

γ΄ τοῦ ἁγίου καὶ δικαίου συμεὼν τοῦ θεοδόχου. τροπάριον καὶ κοντάκιον τῆς ἑορτῆς.

δ΄ τοῦ ὁσίου πατρὸς ἡμῶν, ἰσιδώρου τοῦ πηλουσιώτου. εἰ οὐκ ἔστι τεσσαρακοστὴ, ἡ ἀκολουθία τῆς ἑορτῆς. καὶ τοῦ ἁγίου. ἀ- δ' ὑ. τροπάριον. ἦχος πλ. δ΄. ἐν σοὶ πάτερ ἀκριβῶς. κοντάκιον, ἦχος δ΄. ἀπεφάνης σήμερον.

Digitized by Google

Ὡς φωσφόρον ἄλλον σε ἡ ἐκκλησία. ὡραϊσμένη ἔνδοξε. ταῖς τῶν σῶν λόγων ἀστραπαῖς. λαμπρυνομένη κραυγάζει σοι· χαίροις παμμάκαρ ἰσίδωρε:~

ε' τῆς ἁγίας μάρτυρος ἀγάθης. Ἰδ πα.
κοντάκιον, ἦχος δ'. ἐπεφάνης σήμερον.

Στολίζεται σήμερον ἡ ἐκκλησία. πορφυρίδα ἔνδοξε καταβαφεῖσα ἐξ αἱμάτων. λύθρων ἀγάθης τῆς μάρτυρος. χαῖρε βοῶσα, κατάνης τὸ καύχημα:~

ς' τοῦ ὁσίου πατρὸς ἡμῶν βουκόλου, ἐπισκόπου σμύρνης,
ὁμοίως. Ἰδ πάελον, ἦχος δ'. κανόνα πίστεως.

ζ' τοῦ ἁγίου παρθενίου ἐπισκόπου λαμψάκων. καὶ τοῦ ὁσίου λουκᾶ τοῦ ἐν τῷ στειρίῳ τῆς ἑλλάδος. Ἰδ πάελον. ὁ θεὸς τῶν πατέρων ἡμῶν.
κοντάκιον, ἦχος γ'. ἡ παρθένος σήμερον.

Τῶν θαυμάτων εἴληφας, τὴν θείαν χάριν θεόφρον. ἱερὲ παρθένιε, θαυματουργὲ θεοφόρε. ἅπαντα τὰ τῶν πιστῶν πάθη ἀποκαθαίρων. πνεύματα τῆς πονηρίας πέρ ἐλαύνων. διατοῦτο σὲ ὑμνοῦμεν, ὡς μέγαν μύστην θεοῦ τῆς χάριτος:~

η' τοῦ ἁγίου μεγαλομάρτυρος θεοδώρου τοῦ στρατηλάτου, καὶ τοῦ ἁγίου προφήτου ζαχαρίου. Ἰδ παρ. ἦχος δ'.

Στρατολογία ἀληθεῖ ἀθλοφόρε. τοῦ οὐρανίου στρατηγὸς βασιλέως, περικαλλὴς γεγένησαι θεόδωρε. ὅπλοις γὰρ τῆς πίστεως παρετάξω ἐμφρόνως. καὶ κατεξωλόθρευσας τῶν δαιμόνων τὰ στίφη. καὶ νικηφόρος ὤφθης ἀθλητής, ὅθεν σε πίστει ἀεὶ μακαρίζομεν:~

Digitized by Google

κοντάκιον, ἦχος β'. τὰ ἄνω ζητῶν.

Ἀνδρεία ψυχῆς, τὴν πίστιν θωρακισάμενος, τὸ ῥῆμα θῦ, ὡς λόγχην χειρισάμενος, τὸν ἐχθρὸν κατέτρωσας τῶν μαρτύρων μέγιστε θεόδωρε. σὺν αὐτοῖς Χῷ τῷ θῷ πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν:~

θ' Τοῦ ἁγίου μάρτυρος νικηφόρου ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ ἑορτή.

ι' Τοῦ ἁγίου μάρτυρος χαραλάμπους. εἰ οὐκ ἔστι τεσσαρακοστή συμψάλλεται ἡ ἀκολουθία τοῦ ἁγίου νικηφόρου. Ἰερατικόν. οἱ μάρτυρές σου κε.

κοντάκιον ἦχος ά. χορὸς ἀγγελικός.

Ἀγάπης τῷ δεσμῷ, συνδεθεὶς νικηφόρε, διέλυσας ἱεραρχῶς, τὴν κακίαν τοῦ μίσους, καὶ ξίφει τὴν κάραν σου ἐκτμηθεὶς ἐχρημάτισας, μάρτυς ἔνθεος τοῦ σαρκωθέντος σρς. ὃν ἱκέτευε ὑπὲρ ἡμῶν τῶν ὑμνούντων. τὴν ἔνδοξον μνήμην σου:~

ιά Τοῦ ἁγίου ἱερομάρτυρος βλασίου. καὶ τρόπων μέτοχος.

κοντάκιον ἦχος πλ δ'. ὡς ἀπαρχάς.

Ὡς ἐμπρέψαντος χάριτι. ἱεραρχίας ἔνδοξε, ἡ ἐκκλησία φαιδρῶς ἑορτάζει σου, τοὺς ἄθλους ἱερώτατε, οὓς ὑπέστης γενναίως, καὶ ὑπήνεγκας, χαίρων βλάσιε πανεύφημε φωστὴρ παγκόσμιε, καταλάμψας τοῦ κόσμου τὰ πέρατα ὡς ἀοίδιμος:~

ἕτερον, ἦχος β'. τὰ ἄνω ζητῶν.

Ο θεῖος βλαστὸς, τὸ ἄνθος τὸ ἀμάραντον. ἀμπέλου Χυ̃. τὸ κλῆμα τὸ πολύφορον. θεοφόρε βλάσιε, τοὺς ἐν πίστει τιμῶντας τὴν μνήμην σου. ὤφθε-

σιωνῆς τῆς σῆς πληρωθῶ. πρεσβεύων ἀπαύστως
ὑπὲρ πάντων ἡμῶν:~

ιβ´ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μελετίου ἀρχιεπισκό-
που Ἀντιοχείας τῆς μεγάλης. Τροπάρ.
πίστεως. κοντάκιον, ἦχος πλ. δ´.

Ψ Τὴν πνευματικήν σου παῤῥησίαν. δεδοικὼς ὁ ἀ-
ποστάτης φεύγει Μακεδόνιος. τὴν πρεσβυτι-
κὴν δὲ λειτουργίαν ἐκπληροῦντες οἱ δοῦλοι,
πόθῳ προστρέχομεν. τῶν ἀγγέλων ἐφάμιλλε με-
λέτιε. ἡ πύρινος ῥομφαία χριστοῦ τοῦ θεοῦ ἡμῶν, ἡ πάντας
τοὺς ἀθέους κατασφάττουσα, ὑμνοῦμεν σε τὸν
φωστῆρα, τὸν φωτίσαντα τὰ πάντα:~

ιγ´ τοῦ ὁσίου πατρὸς ἡμῶν μαρτινιανοῦ. Τροπάριον, ἦχος πλ. δ´.

Ψ Τὴν φλόγα τῶν πειρασμῶν, δακρύων τοῖς ὀχετοῖς
ἐναπέσβεσας Μακάριε. καὶ τῆς θαλάσσης τὰ κύ-
ματα, καὶ τῶν θηρῶν τὰ ὁρμήματα χαλινώσας, ἐκραύ-
γαζες. δεδοξασμένος εἶ παντοδύναμε, πυρὸς καὶ
ζάλης ὁ σώσας με:~ κοντάκιον, ἦχος β´. Τὴν ἀσφα.

Ὡς ἀσκητὴν τῆς εὐσεβείας δόκιμον. καὶ ἀθλητὴν
τῇ προαιρέσει τίμιον, καὶ ἐρήμου πολίτην καὶ οἰκήτο-
ρα. ἐν ὕμνοις ἐπαξίως εὐφημήσωμεν, μαρτινιανὸν
τὸν ἀεισέβαστον. αὐτὸς γὰρ τὸν ὄφιν κατεπάτησεν:~

ιδ´ τοῦ ὁσίου πατρὸς ἡμῶν αὐξεντίου. Τροπάριον.
τῆς ἐρήμου πολίτης. κοντάκιον, τὴν ἐν πρεσβ.

Ἀπατρυφήσας θεοφόρε τῆς ἐγκρατείας, καὶ τὰς ὀ-
ρέξεις τῆς σαρκὸς χαλιναγωγήσας. ὤφθης τῇ πί-
στει αὐξανόμενος. καὶ ὡς φυτὸν ἐν μέσῳ τοῦ πα-
ραδείσου

ραδείσου

Digitized by Google

ἐνδείας σου ἐξώθησας. αὔξειν τε πάτερ ἱερώτατε.

ιε' τοῦ ἁγίου ἀποστόλου ὀνησίμου. τροπάριον ἦχος γ'.
ἀπόστολε ἅγιε. κοντάκιον, ἐπεφάνης σήμερον.

Ὡς ἀκτὶς ἐξέλαμψε τῇ οἰκουμένῃ. ταῖς βολαῖς λαμπόμενος, ἡλίου μάκαρ παμφαοῦς, παύλου τοῦ κόσμου φωτίσαντος. διό σε τιμῶμεν ὀνήσιμε:~

ιϛ' τῶν ἁγίων μαρτύρων παμφίλου, καὶ τῶν σὺν αὐτῷ. τροπάριον.
οἱ μάρτυρές σου. κοντάκιον. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Κολαστηρίων φοβερῶν προκειμένων, οἱ τοῦ χριστοῦ ἀθληταὶ οἱ γενναῖοι, ἐν ἀπτοήτῳ χαίροντες φρονήματι, τούτοις προσωμίλησαν. τῆς σαρκὸς ἀλογοῦντες. ὅθεν ἐκληρώσαντο, αἰωνίζουσαν δόξαν. ὑπὲρ ἡμῶν πρεσβεύοντες ἀεὶ τῶν εὐφημούντων αὐτῶν τὰ παλαίσματα:~

ιζ' τοῦ ἁγίου μεγαλομάρτυρος θεοδώρου τοῦ τύρωνος. τροπάριον, ἦχος β'.

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα. ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ ἅγιος μάρτυς θεόδωρος ἠγάλλετο. πυρὶ γὰρ ὁλοκαυτωθεὶς, ὡς ἄρτος ἡδὺς τῇ τριάδι προσήνεκται. ταῖς αὐτοῦ ἱκεσίαις χριστὲ ὁ θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν:~ κοντάκιον. ἦχος πλ. δ'.

Πίστιν χριστοῦ, ὡσεὶ θώρακα ἔνδον λαβὼν ἐν καρδίᾳ σου. τὰς ἐναντίας δυνάμεις κατεπάτησας πολύαθλε. καὶ στέφει οὐρανίῳ ἐστέφθης αἰωνίως, ὡς ἀήττητος.

ιη' τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν λέοντος πάπα ῥώμης. τροπάριον. κανόνα πίστεως.
κοντάκιον, ἦχος γ'. ἡ παρθένος σήμερον.



Digitized by Google

Ἐπὶ θρόνου ἐνδόξε, ἱερωσύνης καθίσας. καὶ λεόντων στόματα τῶν λογικῶν ἀποφράξας. δόγμασιν ἐν θεοτιμήτοις σεπτῆς τριάδος. ἔλαμψας φῶς τῇ σῇ ποίμνῃ θεογνωσίας. διατοῦτο ἐδοξάσθης, ὡς θεῖος μύστης θεοῦ τῆς χάριτος:~

ιθ΄ τοῦ ἁγίου ἀποστόλου ἀρχίππου. τροπάρ ἦχος γ΄. ἀπόστολε ἅγιε. κοντάκιον ἐπεφάνης σήμερον.

Ὡς ἀστέρα μέγαν σε ἡ ἐκκλησία. κέκτημένη ἄρχιππε ταῖς τῶν θαυμάτων σου βολαῖς, φωτιζομένη κράζει σοι, σῶζε τοὺς πίστει τιμῶντας τὴν μνήμην σου.

κ΄ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Λέοντος, ἐπισκόπου Κατάνης. τροπάριον. κανόνα πίστεως. κοντάκιον, ἦχος πλ δ΄. ὡς ἀπαρχάς.

Ὡς φωσφόρον λαμπτῆρα μέγιστον, ἡ ἐκκλησία κέκτηταί σε παμμάκαρ, σὲ ὡς ἥλιον λάμποντα, καὶ διατοῦτο κράζει σοι. ταῖς πρὸς τὸν δεσπότην εὐπροσδέκτοις πρεσβείαις, ἀκαταγώνιστον καὶ ἀκλυδώνιστον, ἐξ αἱρέσεως πάσης συντήρησον πολυέλεε:~

κα΄ τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου τοῦ ἐν συμβόλοις. καὶ τοῦ ἁγίου εὐσταθίου ἀντιοχείας. τροπάριον. ὁ θεὸς τῶν πατέρων ἡμῶν. κοντάκιον, ἦχος γ΄. ἐπεφάνης.

Ὡς ἀστὴρ πολύφωτος ἐκ τῆς ἑώας. ἀναλάμψας ηὔγασας ἐν ταῖς καρδίαις τῶν πιστῶν. τὰς ἀρετὰς τῶν θαυμάτων σου, θαυματοφόρε Τιμόθεε:~

κβ΄ ἡ εὕρεσις τῶν τιμίων λειψάνων, τῶν ἁγίων μαρτύρων, τῶν ἐν τοῖς εὐγενίου. τροπάριον. οἱ μάρτυρές σου κέ.

κγ΄ τοῦ ἁγίου ἱερομάρτυρος Πολυκάρπου ἐπισκόπου σμύρνης. τροπάρ. καὶ τρόπων μέτοχος. κοντάκιον, ἦχος α΄. χορὸς ἀγγελικός.

Καρποὺς τοὺς λογικοὺς, τῷ κυρίῳ προσφέρων. πολύκαρπε σοφὲ. ἀρετῶν δι' ἐνθέων, ἐδείχθης ἀξιόθεος, ἱεράρχα μακάριε. ὅθεν σήμερον οἱ φωτισθέντες τοῖς λόγοις, ἀνυμνοῦμέν σου τὴν ἀξιέπαινον μνήμην, θεὸν μεγαλύνοντες :~

κδ΄ ἡ πρώτη καὶ δευτέρα εὕρεσις, τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου. Τροπάριον, ἦχος δ΄.

Ἐκ γῆς ἀνατείλασα ἡ τοῦ προδρόμου κεφαλὴ, ἀκτῖνας ἀφίησι τῆς ἀφθαρσίας, τοῖς πιστοῖς τῶν ἰάσεων. ἄνωθεν συναθροίζει τὴν πληθὺν τῶν ἀγγέλων. κάτωθεν συγκαλεῖται τῶν ἀνθρώπων τὰ γένη, ὁμόφωνον ἀναπέμψαι δόξαν χριστῷ τῷ θεῷ :~

κοντάκιον, ἦχ. β΄. τὰ ἄνω ζητῶν.

Προφῆτα θεοῦ, καὶ πρόδρομε τῆς χάριτος. τὴν κάραν τὴν σὴν, ὡς ῥόδον ἱερώτατον. ἐκ γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν. καὶ γὰρ πάλιν ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν :~

κε΄ τοῦ ἁγίου Ταρασίου ἀρχιεπισκόπου κωνσταντινουπόλεως. Τροπάριον. κανόνα πίστεως.

κοντάκιον, ἡ παρθένος σήμερον.

Ὀρθοδόξοις δόγμασι, τὴν ἐκκλησίαν φαιδρύνας. ὦ χριστοῦ μακάριε, τὴν σεβασμίαν εἰκόνα. σέβεσθαι καὶ προσκυνεῖσθαι πᾶσι διδάξας, ἤλεγξας εἰκονομάχων ἄθεον δόγμα. διὰ τοῦτό σοι βοῶμεν



Digitized by Google

ὦ χαίροις πάτερ σοφὲ ταράσιε:~

κϛʹ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν πορφυρίου, ἀρχιεπισκόπου γάζης. ἀλληλούϊα. κοντάκιον. ἦχος βʹ.

Ἱερωτάτοις σου τρόποις κοσμούμενος. ἱερωσύνης στολῇ κατηγλάϊσαι. παμμάκαρ θεόφρον πορφύριε. καὶ ἰαμάτων ἐμπρέπεις ὑψώμασι. πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν:~

κζʹ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ προκοπίου τοῦ δεκαπολίτου. τροπάριον.

Ταῖς τῶν δακρύων σου ῥοαῖς. κοντάκιον, ἦχος δʹ. ἐπεφ.

Φωσφόρον σήμερον ἡ ἐκκλησία. κεκτημένη ἅπασαν, κακοδοξίας τὴν ἀχλὺν. διασκεδάζει τιμῶσά σε. ἱερομύστα προκόπιε ἔνδοξε:~

κηʹ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ βασιλείου, συνασκητοῦ τοῦ ἁγίου προκοπίου. τροπάριον, ἦχος αʹ. τῆς ἐρήμου. κοντάκιον, ἦχος βʹ. τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους λαβὼν, τὴν θείαν ἀποκάλυψιν. ἐξῆλθες σοφὲ, ἐκ μέσου τῶν θορύβων. καὶ μονάσας ὁσίως. τῶν θαυμάτων εἴληφας τὴν ἐνέργειαν. καὶ τὰς νόσους ἰᾶσθαι τῇ χάριτι. βασίλειε παμμάκαρ ἱερώτατε:~

κθʹ τοῦ ὁσίου πατρὸς ἡμῶν, κασιανοῦ τοῦ ῥωμαίου. ἀλληλούϊα.

Digitized by Google





Ἄρχεται ἄρης ἀπ' ἐμοῖο, καὶ ἄνθεα, καὶ γλάγος ἤδη·
ἴση δ' εἰκοστῷ ἤματι νὺξ τελέθει·

Μὴν μάρτιος.

ἔχων ἡμέρας, λα΄. ἡ ἡμέρα ἔχει
ὥρας ιβ΄. καὶ ἡ νὺξ ὥρας ιβ΄.

α΄ Εἰς τὴν πρώτην, τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοκίας·
εἰ ἔστι τεσσαρακοστὴ ἀλληλούϊα. εἰ δ' οὔ· Τροπάριον·
ἐν σοὶ μῆτερ ἀκριβῶς.

β΄ τοῦ ἁγίου ἱερομάρτυρος Θεοδότου ἐπισκόπου Κυρηνίας. ἀλληλούϊα. ἢ τό, Καὶ τρόπων μέτοχος·

γ΄ τῶν ἁγίων μαρτύρων Εὐτροπίου καὶ τῆς συνοδίας αὐτοῦ, Κλεονίκου καὶ Βασιλίσκου. ἀλληλούϊα, ἢ τό,
οἱ μάρτυρές σου κύριε.

δ΄ τοῦ ὁσίου πατρὸς ἡμῶν Γερασίμου τοῦ ἐν τῷ Ἰορδάνῃ. ἀλληλούϊα, ἢ τό, τῆς ἐρήμου πολίτης·

ε΄ τοῦ ἁγίου μάρτυρος Κόνωνος, ἀλληλούϊα.

ϛ΄ τῶν ἁγίων μβ΄ μαρτύρων Νεοφανῶν τῶν ἐν τῷ Ἀμμορίῳ. Τροπάριον.
οἱ μάρτυρές σου κύριε. κοντάκιον. ὁ ὑψωθεὶς ἐν.

Οἱ ἐν τῇ γῇ διὰ Χριστὸν ἐναθλοῦντες, ἀναδειχθέντες ὡς εὐσεβεῖς στεφανῖται, τοὺς οὐρανοὺς ἐλάβετε οἶκον ἐν χαρᾷ. πᾶσαν γὰρ τὴν ἐπίνοιαν τοῦ ἐχθροῦ καθελόντες, τοῖς πόνοις, καὶ τοῖς αἵμασι τῶν ὑμῶν αἰκισμάτων.



Digitized by Google

αἰνισμάτων. τοῖς εὐφημοῦσιν ἄνωθεν ἀεί, ἀμαρ
τημάτων τὴν λύσιν βραβεύετε :~

ζ΄ τῶν ἁγίων ἱερομαρτύρων τῶν ἐν Χερσῶνι ἐπισκο
πησάντων, Βασιλέως, Ἐφραίμ, Καπίτωνος, Εὐ-
γενίου, Αἰθερίου, καὶ τῶν λοιπῶν. ἀλληλούϊα.

η΄ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοφυ-
λάκτου ἐπισκόπου Νικομηδείας.

θ΄ τῶν ἁγίων μ΄ μαρτύρων τῶν ἐν Σεβαστείᾳ τῇ λίμνῃ
μαρτυρησάντων. Τετραώδιον, ἦχος α΄.

Τ ὰς ἀλγηδόνας τῶν ἁγίων ἃς ὑπὲρ σοῦ ἔπαθον
δυσωπήθητι κύριε. καὶ πάσας τὰς ὀδύνας ἡμῶν,
ἴασαι φιλάνθρωπε δεόμεθα :~

κοντάκιον. τὴν ὑπὲρ ἡμῶν πληρώσας.

Π ᾶσαν στρατιὰν τοῦ κόσμου καταλιπόντες, τῷ ἐν
οὐρανοῖς δεσπότῃ προσεκολλήθητε, ἀθλοφόροι
κυρίου τεσσαράκοντα. διὰ πυρὸς γὰρ καὶ ὕδατος
διελθόντες μακάριοι, ἐπαξίως ἐκομίσασθε, δόξαν
ἐκ τῶν οὐρανῶν, καὶ στεφάνων πληθύν :~

ι΄ τοῦ ἁγίου μάρτυρος Κοδράτου, καὶ τῆς συνοδίας αὐτοῦ.

ια΄ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σωφρονίου πατριάρχου
Ἱεροσολύμων.

ιβ΄ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοφά-
νους τῆς σιγριανῆς. ἀλληλούϊα.

ιγ΄ ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικη-
φόρου πατριάρχου Κωνσταντινουπόλεως. ἀλληλούϊα.

ιδ΄ τοῦ ὁσίου πατρὸς ἡμῶν Βενεδίκτου καὶ τοῦ ἁγίου μάρτυ-
ρος Ἀλεξάνδρου τοῦ ἐν Πύδνῃ. ἀλληλούϊα.

Digitized by Google

ιε. τοῦ ἁγίου μάρτυρος ἀγαπίου, καὶ τῶν σὺν αὐτοῦ ἐξ μαρτύρων.

ις' τῶν ἁγίων μαρτύρων σαβίνου καὶ πάπα.

ιζ' τοῦ ὁσίου ἀλεξίου τοῦ ἀνθρώπου τοῦ θεοῦ. ἀλληλούια.

ιη' τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν κυρίλλου ἀρχιεπισκόπου ἱεροσολύμων. ἀλληλούια.

ιθ τῶν ἁγίων μαρτύρων χρυσάνθου καὶ δαρείας. ἀλληλούια

κ' τῶν ὁσίων πατέρων ἡμῶν, τῶν ἐν τῇ μονῇ τοῦ ἁγίου σάββα ἀναιρεθέντων.

κα' τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ ἰακώβου τοῦ ἐπισκόπου. ἀλληλούια.

κβ τοῦ ἁγίου ἱερομάρτυρος βασιλείου πρεσβυτέρου τῆς ἀγκυρανῶν ἐκκλησίας. ἀλληλούια.

κγ' τοῦ ἁγίου ὁσιομάρτυρος νίκωνος. καὶ τῶν διακοσίων μαθητῶν αὐτοῦ τῶν σὺν αὐτῷ μαρτυρησάντων.

κδ τοῦ ὁσίου πατρὸς ἡμῶν ζαχαρίου, καὶ προεόρτια τοῦ εὐαγγελισμοῦ. τροπάριον, ἦχος δ'.

Σήμερον τῆς παγκοσμίου χαρᾶς τὰ προοίμια. τὴν προεόρτιον ᾆσαι προτρέπεται. ἰδοὺ γὰρ γαβριὴλ πάρεστι, τῇ παρθένῳ κομίζων τὸ εὐαγγέλιον. πρὸς αὐτὴν ἐκβοήσεται, χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ:~ κοντάκιον, ἦχος δ'. ἐπεφάνης σή.

Τελώσει πρὸς τοῦ παναγίου. τοῦ πρὸ τὸν σύνθρονον, καὶ ὁμοούσιον φωνῇ. τοῦ ἀρχαγγέλου συνέλαβες θεομῆτορ. ἀδὰμ ἡ ἀνάκλησις:~

κε ὁ εὐαγγελισμὸς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου. τροπάριον, ἦχος δ.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, καὶ τοῦ



Digitized by Google

ἀπ' αἰῶνος μυστηρίου ἡ φανέρωσις. ὁ υἱὸς τοῦ θεοῦ, υἱὸς τῆς παρθένου γίνεται, καὶ γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. διὸ σὺν αὐτῷ τῇ θεοτόκῳ βοήσωμεν, χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ:~

κοντάκιον ἰδιόμελον. ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια. ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ πόλις σου θεοτόκε. ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι, χαῖρε νύμφη ἀνύμφευτε:~

κϛ' ἡ σύναξις τοῦ ἀρχιστρατήγου γαβριήλ. εἰ ἔστι τεσσαρακοστή, ἀλληλούϊα. εἰ δὲ οὔ. τροπάριον, ἦχος δ'.

τῶν οὐρανίων στρατιῶν.

κζ' τῆς ἁγίας μρς ἡμῶν ματρώνης τῆς ἐν θεσσαλονίκῃ.

κη' τοῦ ὁσίου στεφάνου τοῦ θαυματουργοῦ. καὶ τοῦ ὁσίου ἱλαρίωνος τοῦ νέου. ἀλληλούϊα.

κθ' τοῦ ὁσίου πρς ἡμῶν μάρκου ἐπισκόπου ἀρεθουσίων. καὶ κυρίλλου διακόνου. καὶ ἑτέρων τῶν ἐπὶ ἰουλιανοῦ τοῦ τυράννου ἀθλησάντων. ἀλληλούϊα.

λ' τοῦ ὁσίου πρς ἡμῶν ἰωάννου τοῦ συγγραφέως τῆς κλίμακος. τροπάριον. ταῖς τῶν δακρύων σου ῥοαῖς. κοντάκιον, ἦχος ά. χορὸς ἀγγελικός.

Καρποὺς ἀειθαλεῖς, ἐκ τῆς βίβλου προφέρων. διδάγματα σοφέ, καθηδύνεις καρδίας, τῶν τούτοις μετὰ νήψεως, προσεχόντων μακάριε. κλίμαξ γάρ ἐστι, ψυχὰς ἀνάγουσα γῆθεν, πρὸς οὐράνιον καὶ διαμένουσαν δόξαν, τῶν πίστει τιμώντων σε:~

Digitized by Google

ἕτερον τοῦ αὐτοῦ. ἐπεφάνης σήμερον.

Ὡς τὴν θείαν κλίμακα ἐφευρηκότες. ἰωάννη ὅσιε, ταῖς σαῖς ἐνθέους ἀρεταῖς, πρὸς ὕψος ἀναγόμεθα. τῶν ἀρετῶν γὰρ ἐγένου προτύπωσις:~

λα΄ τοῦ ὁσίου καὶ θαυματουργοῦ ὑπατίου ἐπισκόπου ἀγκύρας. ἀλληλούια, ἦχος δ΄, κανόνα πίστεως.

Μηνολόγιον



τοῦ ἀπριλλίου.

Ἐν τῷ μοι τῆμος δὲ φυτοσκάφος ἔρνεα τάμνων,
ρίζῃ ἐπ' ἀκροτάτῃ ἡμέρων ἀκρέμονα.

Μὴν ἀπρίλλιος.

ἔχων ἡμέρας, λ΄. ἡ ἡμέρα ἔχει ὥρας ιγ΄. ἡ δὲ νὺξ ὥρας ια΄.

α΄ Εἰς τὴν πρώτην, τῆς ὁσίας μητρὸς ἡμῶν μαρίας τῆς αἰγυπτίας. προπάριον. ἐν δὲ μὲρ ἀκριβῶς. κοντάκιον, ἦχος β΄. τοῖς τῶν αἱμάτων.

Οἷς τῶν ἀγώνων σου πόνοις θεόληπτε, ὁ τῆς ἐρήμου τραχὺ καθηγίασας. διό σου τὴν μνήμην δοξάζομεν ἐν ὑμνῳδίαις μαρία τιμῶντές σε, ὁσία ὁσίων ἀγλάισμα.

β΄ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ τίτου.

γ΄ τοῦ ὁσίου πατρὸς ἡμῶν νικήτα ἡγουμένου μονῆς τοῦ μηδικίου.

δ΄ τῶν ὁσίων πατέρων ἡμῶν ἰωσὴφ τοῦ ὑμνογράφου. καὶ γεωργίου τοῦ ἐν τῷ μαλαίῳ.

ε΄ τῶν ἁγίων μαρτύρων θεοδούλου καὶ ἀγαθόποδος.

ϛ΄ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν εὐτυχίου ἀρχιεπισκό-

Digitized by Google

τοῦ κωνσταντινουπόλεως.

ζ' τοῦ ὁσίου πρς ἡμῶν γεωργίου ἐπισκόπου μελιτινῆς.

η' τῶν ἁγίων ἀποστόλων ἡρωδίωνος, ἀγάβου ῥούφου καὶ τῶν σὺν αὐτοῖς.

θ' τοῦ ἁγίου μάρτυρος εὐψυχίου.

ι' τοῦ ἁγίου μάρτυρος τερεντίου πομπηίου καὶ τῶν σὺν αὐτοῖς.

ια' τοῦ ἁγίου ἱερομάρτυρος ἀντίπα ἐπισκόπου περγάμου τῆς ἀσίας.

ιβ' τοῦ ὁσίου πρς ἡμῶν καὶ ὁμολογητοῦ Βασιλείου ἐπισκόπου παρείου. ἀλληλούια.

ιγ' τοῦ ἁγίου ἱερομάρτυρος, ἀρτέμονος. ἀλληλούια.

ιδ' τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Μαρτίνου πάπα ῥώμης.

ιε' τῶν ἁγίων ἀποστόλων ἀριστάρχου, πούδη, καὶ τροφίμου.

ις' τῶν ἁγίων μαρτύρων ἀγάπης εἰρήνης καὶ χιονίας.

ιζ' τοῦ ὁσίου πατρὸς ἡμῶν συμεὼν τοῦ ἐν τῇ περσίδι. καὶ τοῦ ὁσίου ἀκακίου ἐπισκόπου μελιτινῆς.

ιη' τοῦ ὁσίου πατρὸς ἡμῶν ἰωάννου μαθητοῦ τοῦ ἁγίου γρηγορίου τοῦ δεκαπολίτου.

ιθ' τοῦ ὁσίου πρς ἡμῶν ἰωάννου τοῦ παλαιολαυρίτου.

κ' τοῦ ὁσίου πρς ἡμῶν θεοδώρου τοῦ τριχινᾶ.

κα' τοῦ ἁγίου ἱερομάρτυρος ἰαννουαρίου καὶ τῆς συνοδίας αὐτοῦ. καὶ τοῦ ἁγίου ἱερομάρτυρος θεοδώρου τοῦ ἐν πέργη.

κβ' τοῦ ὁσίου πατρὸς ἡμῶν θεοδώρου τοῦ συκεώτου. τροπάριον, ἦχος β'.

Digitized by Google

Γ μωειδεὶς ἐκ σπαργάνων ἠγιασμένος, καὶ φανεὶς τῶν χαρίτων πεπληρωμένος, τοῖς θαυμασίοις τὸν κόσμον κατηύγασας, καὶ τῶν δαιμόνων τὰ σμή νη ἀπήλασας, ἱερουργὲ θεόδωρε, διὸ ὑπὲρ ἡμῶν, δυσώπει τὸν κύριον:~

κγ΄ τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος γεωργίου τοῦ τροπαιοφόρου, καὶ θαυματουργοῦ. Τροπάριον. ἦχος δ΄.

Ο τῶν αἰχμαλώτων ἐλευθερωτὴς, καὶ τῶν πτωχῶν ὑπερασπιστὴς, ἀσθενούντων ἰατρὸς, βασιλέων ὑπέρμαχος, τροπαιοφόρε μεγαλομάρτυς γεώργιε. πρέσβευε Χριστῷ τῷ θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν:~ ἕτερον Τροπάριον, ἦχος δ΄.

Τ ὸν ἀγῶνα τὸν καλὸν ἠγωνίσω, ἀθλοφόρε τοῦ Χριστοῦ διὰ πίστεως· καὶ τῶν τυράννων ἤλεγξας τὴν ἀσέβειαν. θυσία δὲ εὐπρόσδεκτος, τῷ θεῷ προσηνέχθης· ὅθεν καὶ τὸν στέφανον, ἐκομίσω τῆς νίκης. καὶ ταῖς πρεσβείαις ἅγιε ταῖς σαῖς, πᾶσι παρέχοις πταισμάτων συγχώρησιν:~

κοντάκιον. ἦχος δ΄. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Γ εωργηθεὶς ὑπὸ θεοῦ, ἀνεδείχθης τῆς εὐσεβείας γεωργὸς τιμιώτατος. τῶν ἀρετῶν τὰ δράγματα συλλέξας σεαυτῷ. σπείρας γὰρ ἐν δάκρυσιν, εὐφροσύνῃ θερίζεις. ἀθλήσας δὲ δι᾽ αἵματος, τὸν Χριστὸν ἐκομίσω. καὶ ταῖς πρεσβείαις ἅγιε ταῖς σαῖς, πᾶσι παρέχων πταισμάτων συγχώρησιν:~

κδ΄ τοῦ ἁγίου μάρτυρος σάββα τοῦ στρατηλάτου, καὶ τῆς ὁσίας ἐλισάβετ τῆς θαυματουργοῦ. Τροπάριον. ὁ μάρτυς σου κύριε.

Digitized by Google

κοντάκιον, ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ἀ καταγώνιστος ὀφθεὶς στρατηλάτης. διὰ τῶν βαρβάρων μηχανὰς ἐτροπώσω. καὶ ἐναθλήσας ἔνδοξε στερρότατα. ξίφος κατεπάλαισας δυσμενῶν ἀοράτων. ὅθεν τὸ διάδημα ἀνεπλέξω τῆς νίκης. ὑπὲρ ἡμῶν πρέσβευε ἐκτενῶς, σάββα πάμμακαρ τῶν πίστει τιμώντων σε:~

κε' τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ μάρκου. τροπ. ἦχος γ'. ἀπόστολε ἅγιε. κοντάκιον ἦχος β'. τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους λαβὼν, τὴν χάριν τὴν τοῦ πνς. ῥητόρων πλοκὰς, διέλυσας ἀπόστολε. καὶ τὰ ἔθνη ἅπαντα. σαγηνεύσας μάρκε παναοίδιμε, τῷ σῷ δεσπότῃ προσήγαγες, τὸ θεῖον κηρύξας εὐαγγέλιον:~

κς' τοῦ ἁγίου ἱερομάρτυρος βασιλέως, ἐπισκόπου ἀμασείας.

κζ' τοῦ ἁγίου ἱερομάρτυρος συμεὼν συγγενοῦς τοῦ κυρίου. τροπάριον. ἦχος α'.

Χ ειροῦσε συγγενῆ, συμεὼν ἱεράρχα. καὶ μάρτυρα στερρὸν, ἱερῶς εὐφημοῦμεν. τὴν πλάνην ὀλέσαντα, καὶ τὴν πίστιν τηρήσαντα. ὅθεν σήμερον τὴν πανάγιαν σου μνήμην, ἑορτάζοντες ἁμαρτημάτων τὴν λύσιν, εὐχαῖς σου λαμβάνομεν. κοντάκιον ἦχος δ'. ἐπε.

Ὡς ἀστέρα μέγιστον ἡ ἐκκλησία. κεκτημένη σήμερον, τὸν θεηγόρον συμεὼν. φωταγωγεῖται κραυγάζουσα, χαίροις μαρτύρων, σεπτὸν ἀκροθίνιον:~

κη' τῶν ἁγίων ἀποστόλων ἰάσονος καὶ σωσιπάτρου. καὶ τῶν ἁγίων μαρτύρων δάδα, μαξίμου, καὶ κυντιλια-

Digitized by Google

μοῦ. τροπάριον. ἀπόστολε ἅγιε.

κθ' τῶν ἁγίων ἐννέα μαρτύρων τῶν ἐν κυζίκῳ, καὶ τοῦ ὁσίου μέμνονος τοῦ θαυματουργοῦ.

λ' τοῦ ἁγίου ἀποστόλου Ἰακώβου ἀδελφοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου. τροπάριον. ἀπόστολε ἅγιε. κοντάκιον, τὰ ἄνω ζητῶν.

Φωνῆς θεϊκῆς, ἀκούσας προσκαλούσης σε. ἀγάπην πατρὸς παρεῖδες καὶ προσέδραμες τῷ Χριστῷ, Ἰάκωβε μετὰ τοῦ συγγόνου σου ἔνδοξε. μεθ' οὗ ἠξιώθης ἰδεῖν κυρίου τὴν θείαν μεταμόρφωσιν :~

Μηνολόγιον



τοῦ μαΐου.

Οἴγεται ἄρτι θάλασσα, ἐφοπλίζοιτε δὲ νῆας πόριον ἀκλύστων ἐκ τοῦ ἄγειν λιμένων.

Μὴν μάϊος.

ἔχων ἡμέρας, λα'. ἡ ἡμέρα ἔχει ὥρας ιδ'. καὶ ἡ νὺξ ὥρας ι'.

α' Εἰς τὴν πρώτην, τοῦ ἁγίου προφήτου Ἱερεμίου. τροπάριον. τοῦ προφήτου σου τὴν μνήμην.

β' Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου τοῦ μεγάλου. τροπάριον, ἦχος γ'.

Στῦλος γέγονας ὀρθοδοξίας. θείοις δόγμασιν ὑποστηρίζων, τὴν ἐκκλησίαν ἱεράρχα Ἀθανάσιε. τῷ γὰρ πατρὶ τὸν υἱὸν ὁμοούσιον ἀνακηρύξας, κατῄσχυνας ἄρειον. πάτερ ὅσιε. Χριστὸν τὸν θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν

Digitized by Google

τὸ μέγα ἔλεος:~ κοντάκιον. Τοῖς τῶν αἱμάτων σου.

Ο ρθοδοξίας φυτεύσας διδάγματα, κακοδοξίας ἀκάνθας ἐξέτεμες. πληθύνας τὸν σπόρον τῆς πίστεως τῇ ἐπομβρείᾳ τοῦ πνεύματος ὅσιε. διό σε ὑμνοῦμεν ἀθανάσιε:~

γʹ τῶν ἁγίων μαρτύρων τιμοθέου καὶ μαύρας. Τροπά. οἱ μάρτυρές σου κύριε. κοντάκιον, ὁ ὑψωθεὶς ἐν τῷ.

Τ οὺς πολυτρόπους αἰκισμοὺς ἐνεγκόντες, καὶ τοὺς στεφάνους ἐκ θεοῦ εἰληφότες. ὑπὲρ ἡμῶν πρεσβεύσατε πρὸς κύριον μνήμην τὴν πανίερον τῶν ὑμῶν ἐκτελούντων. μέγιστε τιμόθεε, καὶ ἀοίδιμε μαῦρα, καὶ εἰρηνεῦσαι πόλιν καὶ λαόν. αὐτὸς γάρ ἐστι πιστῶν τὸ κραταίωμα.

δʹ τῆς ἁγίας ὁσιομάρτυρος πελαγίας.

εʹ τῆς ἁγίας καὶ ἐνδόξου μάρτυρος εἰρήνης. Τροπ. ἦχος δʹ. ἡ ἀμνάς σου ἰησοῦ. κοντάκιον, ἡ παρθένος σήμερον.

Π αρθενίας κάλλεσι, πεποικιλμένη παρθένε. τῇ ἀθλήσει γέγονας, ὡραιοτάτη εἰρήνη. αἵμασι τοῖς ἐκχυθεῖσί σου φοινιχθεῖσα. πλάνην τε καταβαλοῦσα τῆς ἀθεΐας. διὰ τοῦτο καὶ ἐδέξω βραβεῖα νίκης, χειρὶ τοῦ κτίστου σου:~

ϛʹ τοῦ ἁγίου καὶ δικαίου ἰὼβ τοῦ πολυάθλου. τροπάριον. ἦχος αʹ.

Τ ὸν πλοῦτον θεωρήσας τῆς ἀρετῆς τοῦ ἰὼβ, συλῆσαι ἐμηχανᾶτο ὁ τῶν δικαίων ἐχθρός. καὶ διαρρήξας τὸν πύργον τοῦ σώματος. τὸν θησαυρὸν οὐκ ἐσύλησε τοῦ τιμίου. εὗρε γὰρ ὡπλισμένην τὴν τοῦ ἀμέμπτου ψυχήν. ἐμὲ δὲ καὶ γυμνώσας ᾐχμαλώτευσε. προφθάσας οὖν με πρὸ τέλους, ῥῦσαί με τοῦ δολίου σῶτερ καὶ σῶσόν με:~

Digitized by Google

κοντάκιον, ἦχος πλ. δ'. ὡς ἀπαρχάς.

Ὡς ἀληθὴς καὶ δίκαιος, θεοσεβὴς καὶ ἄμεμπτος, ἡγιασμένος φανείς τε πανένδοξε, τὴν θεοσέπτον γνῶσιν κατεφώτισας κόσμον ἐν τῇ ὑπομονῇ σου, καρτερικώτατε καὶ γενναιότατε. ὅθεν πάντες θεόφρον ὑμνοῦμέν σου τὸ μνημόσυνον.

ζ' Ἡ ἀνάμνησις τοῦ ἐν τῷ οὐρανῷ φανέντος σημείου τοῦ σταυροῦ ἐν τῇ πόλει ἱερουσαλήμ. περὶ ὥραν γ' τῆς ἡμέρας· ἐπὶ κωνσταντίνου βασιλέως ἀπὸ τοῦ ἁγίου κρανίου ἐκτεταμένου δι' ἀστέρων, ἕως τοῦ ἁγίου ὄρους τῶν ἐλαιῶν. καὶ μνήμη τοῦ ἁγίου μάρτυρος ἀκακίου. τροπάρ. ἦχος πλ. δ'.

Τοῦ σταυροῦ σου ὁ τύπος νῦν, ὑπὲρ ἥλιον ἔλαμψεν. ὅνπερ ἐξ ὄρους ἁγίου, τόπῳ κρανίου ἐφήπλωσας. καὶ τὴν ἐν αὐτῷ σου σῶτερ ἰσχὺν ἐτράνωσας. διὰ τούτου κραταίωσας καὶ τοὺς πιστοὺς ἡμῶν βασιλεῖς. οὓς καὶ περίσωζε διαπαντὸς ἐν εἰρήνῃ. πρεσβείαις τῆς θεοτόκου χριστὲ ὁ θεὸς καὶ σῶσον ἡμᾶς:~

κοντάκιον, ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ὁ διανοίξας θύρας κεκλεισμένας, ἐν θύρῳ ὑπερφανεὶς τὰς ἀκτῖνας, ἐπὶ τῆς γῆς ἀνέτειλεν ὁ ἄχραντος σταυρός. ὅθεν οἱ τὴν ἔλλαμψιν τῆς αὐτοῦ ἐνεργείας, δεξάμενοι πρὸς ἄδυτον, ὁδηγούμεθα φέγγος. καὶ ἐν πολέμοις ἔχομεν αὐτὸν, ὅπλον εἰρήνης ἀήττητον τρόπαιον:~

η' Τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ ἐπιστηθίου ἠγαπημένου, παρθένου, ἰωάννου τοῦ θεολόγου. καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν ἀρσενίου τοῦ μεγάλου. τροπάριον, ἦχος β'.

Digitized by Google

Ἀπόστολε Χριστοῦ τοῦ Θεοῦ ἠγαπημένε. ἐπιτάχυνον ῥῦσαι λαὸν ἀναπολόγητον. δέχεταί σε προσπίπτοντα, ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος. ὃν ἱκέτευε θεολόγε, καὶ ἐπίμονον νέφος ἐθνῶν διασκεδάσαι. αἰτούμενος ἡμῖν εἰρήνην καὶ τὸ μέγα ἔλεος:~ τοῦ ὁσίου. Ταῖς τῶν δακρύων σου ῥοαῖς.

κοντάκιον τοῦ ἀποστόλου. ἦχος β'.

Τὰ μεγαλεῖά σου παρθένε τίς διηγήσεται. βρύεις γὰρ θαύματα, καὶ πηγάζεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς θεολόγος καὶ φίλος Χριστοῦ:~ τοῦ ὁσίου. Τὴν ἐν πρεσβείαις.

Τὴν τῶν ἀγγέλων ἐν σώματι πολιτείαν, ἐπιδεξάμενος ἀρσένιε θεοφόρε. τούτων καὶ τῆς τιμῆς κατηξίωσαι. τῷ τοῦ δεσπότου θρόνῳ σὺν αὐτοῖς παριστάμενος, καὶ πᾶσι πρεσβεύων θείαν ἄφεσιν:~

θ' τοῦ ἁγίου προφήτου ἡσαΐου. καὶ τοῦ ἁγίου μάρτυρος χριστοφόρου τροπάριον. τοῦ προφήτου, ἦχος β'. Τοῦ προφήτου σου τὴν μνήμην. τοῦ μάρτυρος, ἦχος δ'.

Στολαῖς ταῖς ἐξ αἱμάτων ὡραϊζόμενος. κυρίῳ παρίστασαι τῷ βασιλεῖ τῶν δυνάμεων. χριστοφόρε ἀοίδιμε. ἔνθεν σὺν ἀσωμάτων καὶ μαρτύρων ᾄδεις, τῷ τρισαγίῳ καὶ φρικτῇ μελῳδίᾳ. διὸ ταῖς ἱκεσίαις σῶζε τὴν ποίμνην σου:~

κοντάκιον τοῦ προφήτου. Τὴν ἐν πρεσβείαις.

Τῆς προφητείας τὸ χάρισμα δεδεγμένος, προφητῶν ἀρτὺς θεοκήρυξ ἡσαΐα, πᾶσιν ἐτράνωσας τὴν ἐνανθρώπησιν τοῦ κυρίου, μεγαλοφώνως τοῖς πέρασιν,

Digitized by Google

πρόφασιν, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται:~

ι' τοῦ ἁγίου ἀποστόλου σίμωνος τοῦ ζηλωτοῦ, ἐμὸς ἐν τῇ ιβ'.
τροπάρ. Ἀπόστολε ἅγιε. κοντάκιον, Τοὺς ἀσφα.

Τὸν ἀσφαλῶς τὰ τῆς σοφίας δόγματα, ἐν ταῖς ψυχαῖς τῶν εὐσεβούντων θέμενον, ἐν αἰνέσει μακαρίσωμεν, ὡς θεηγόρον πάντες σίμωνα. τῷ θρόνῳ γὰρ τῆς δόξης νῦν παρίσταται, καὶ σὺν τοῖς ἀσωμάτοις νῦν ἀγάλλεται, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

ια' τὰ γενέθλια τῆς κωνσταντινουπόλεως, καὶ τοῦ ἁγίου ἱερομάρτυρος μωκίου. τροπά. Καὶ τρόπων μέτοχος.
ἕτερον τῶν γενεθλίων. ἦχος δ',

Τῆς θεοτόκου ἡ πόλις, τῇ θεοῦ προσφόρως, τὴν ἑαυτῆς ἀνατίθεται σύστασιν. ἐν αὐτῇ γὰρ ἐστήρικται ἡ βασιλεία. δι' αὐτῆς περισώζεται, καὶ διαμένει βοῶσα πρὸς αὐτὴν, χαῖρε ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς:~ κοντάκιον. Τοὺς ἀσφαλεῖς.

Καθοπλισθεὶς τῷ θυρεῷ τῆς πίστεως, τῶν ἀσεβῶν τὰς παρατάξεις ἔτρεψας ἱερομάρτυς. καὶ τὸν στέφανον παρὰ κυρίου ἦρας μώκιε. διὸ καὶ μετὰ ἀγγέλων ἀγαλλόμενος. περίσωζε κινδύνων τοὺς ὑμνοῦντάς σε, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν:~

ιβ' τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἐπιφανίου ἐπισκόπου κύπρου, καὶ γερμανοῦ πατριάρχου κωνσταντινουπόλεως. τροπάριον. Ὁ θεὸς τῶν πατέρων ἡμῶν. κοντάκιον, ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ἱεραρχῶν τὴν θαυμαστὴν ξυνωρίδα, ἀνευφημήσωμεν πιστοὶ κατὰ χρέος, σὺν γερμανῷ τὸν θεῖον ἐπιφάνιον. οὗτοι γὰρ κατέφλεξαν τῶν ἀθέων



Digitized by Google

Ταῖς γλώσσαις, δόγματα σαφέστατα διαθέμενοι, πᾶσι, τοῖς ὀρθοδόξως μέλπουσιν ἀεί, τῆς εὐσεβείας τὸ μέγα μυστήριον:~

ιγ' τῆς ἁγίας μάρτυρος γλυκερίας. τροπάρ. ἦχος δ'. ἡ ἀμνάς σου Ἰησοῦ. κοντάκιον, ἦχος γ'. ἡ παρθένος.

Τὴν παρθένον στέργουσα, καὶ θείαν μαρτυρίαν, διετήρεις ἄφθορον, τὴν σεαυτῆς παρθενίαν· πόθῳ δὲ καρδιωθεῖσα τῷ τοῦ κυρίου, ἤθλησας ἀνδρειοφρόνως μέχρι θανάτου. διὰ τοῦτο καὶ διπλῷ σε, παρθενομάρτυς στεφάνῳ στέφει Χριστός.

ιδ' τοῦ ἁγίου μάρτυρος Ἰσιδώρου, τοῦ ἐν τῇ Χίῳ τῇ νήσῳ. τροπ. ὁ μάρτυς σου κύριε. κοντάκιον, ἐπεφάνης σήμερον.

Κυβερνήτης μέγιστος τῇ οἰκουμένῃ, σὺ ἐφάνης ἄγγελε ταῖς πρὸς θεόν σου προσευχαῖς. διὸ ὑμνοῦμέν σε σήμερον, μάρτυς θεόφρον, Ἰσίδωρε ἔνδοξε:~

ιε' τοῦ ὁσίου πατρὸς ἡμῶν Παχωμίου τοῦ μεγάλου. τροπ. ἦχος πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς.

κοντάκιον, ἦχος β'. τὴν ἐν πρεσβείαις.

Τὴν τῶν ἀγγέλων ἐν σώματι πολιτείαν, ἐνδεξάμενος Παχώμιε θεοφόρε, τούτων καὶ τῆς εὐκλείας ἠξίωσαι. τῷ τοῦ δεσπότου θρόνῳ σὺν τούτοις παριστάμενος, καὶ πᾶσι πρεσβεύων θείαν ἄφεσιν:~

ις' τοῦ ὁσίου πατρὸς ἡμῶν θεοδώρου τοῦ ἡγιασμένου μαθητοῦ τοῦ ὁσίου Παχωμίου. τροπάριον.

τῆς ἐρήμου πολίτης.

ζήτει σεπτεμβρίῳ κθ'.

ιζ' τοῦ ἁγίου ἀποστόλου ἀνδρονίκου, καὶ τῶν σὺν αὐ-
τῷ. τροπάριον. ἀπόστολε ἅγιε.
ιη' τῶν ἁγίων μαρτύρων Πέτρου, Διονυσίου καὶ
τῶν σὺν αὐτοῖς. καὶ τοῦ ἁγίου ἱερομάρτυρος θεο-
δότου τοῦ ἐν ἀγκύρᾳ, καὶ τῶν σὺν αὐτῷ ἑπτὰ
παρθένων. ἀλληλούϊα.
ιθ' τοῦ ἁγίου ἱερομάρτυρος πατρικίου προύσης καὶ
τῆς συνοδίας αὐτοῦ. ἀλληλούϊα.
κ' τοῦ ἁγίου μάρτυρος θαλελαίου. τροπάριον.
ὁ μάρτυς σου κύριε. κοντάκιον, ἦχος γ'. ἡ παρθένος.
Τῶν μαρτύρων συνάθλος ἀναδειχθεὶς ὦ ὁπλίτης.
στρατιώτης ἄριστος, τοῦ βασιλέως τῆς δόξης. γέγονας
διὰ βασάνων καὶ τιμωρίας. ἔπαρσιν εἰδωλολα-
τρῶν καταπατήσας. διὰ τοῦτο τὴν σεπτήν σου
ὑμνοῦμεν μνήμην σοφὲ θαλέλαιε:~
κα' τῶν ἁγίων μεγάλων βασιλέων, καὶ ἰσαποστόλων κων-
σταντίνου καὶ ἑλένης. τροπάριον, ἦχος δ'.
Τοῦ σταυροῦ σου τὸν τύπον ἐν οὐρανῷ θεασάμενος, καὶ ὡς
ὁ παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ
ἐν βασιλεῦσιν ἀπόστολός σου κύριε, βασιλεύουσαν πό-
λιν τῇ χειρί σου παρέθετο. ἣν περίσωζε διὰ παν-
τὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς θεοτόκου μόνε φιλάνθρωπε:~
κοντάκιον, ἡ παρθένος σήμερον.
Κωνσταντῖνος σήμερον, σὺν τῇ μητρὶ τῇ ἑλένῃ. τὸν
σταυρὸν ἐμφαίνουσι, τὸ πανσεβάσμιον ξύλον. ἅπαν-
τας τοὺς ἰουδαίους συναγαγόντες. τούτοις οὖν
ἀνευφημήσωμεν ἐπαξίως. δι' αὐτῶν γὰρ ἀνεδεί-
χθη, σημεῖον μέγα τὸ περὶ αἰώνων φρικτόν:~


Digitized by Google

κβ΄ τοῦ ἁγίου μάρτυρος Βασιλίσκου. ἀλληλούϊα.

κγ΄ τοῦ ὁσίου πρς ἡμῶν καὶ ὁμολογητοῦ Μιχαὴλ ἐπισκόπου συνάδων.

κδ΄ τοῦ ὁσίου πρς ἡμῶν συμεὼν, τοῦ ἐν τῷ θαυμαστῷ ὄρει. τροπάριον. τῆς ἐρήμου πολίτης.

κοντάκιον ἦχος β΄. τὰ ἄνω ζητ.

Τὰ ἄνω ποθῶν, τῶν κάτω μεθιστάμενος, καὶ ὡς οὐρανὸν, τὸν στῦλον τεχνησάμενος. δι᾽ αὐτοῦ ἀπήστραψας, τῶν θαυμάτων τῇ αἴγλῃ ὅσιε. καὶ Χῷ τῷ θῷ πάντων πρεσβεύεις ἀπαύστως ὑπὲρ πάντων ἡμῶν:~

κε΄ ἡ τρίτη εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ τιμίου προδρόμου. τροπάριον, ἦχος δ΄ ταχὺ προκατάλαβε.

Ὡς θεῖον θησαύρισμα ἐγκεκρυμμένον τῇ γῇ. Χς ἀπεκάλυψε τὴν κεφαλήν σου ἡμῖν, προφῆτα καὶ πρόδρομε. πάντες οὖν συνελθόντες ἐν τῇ ταύτης εὑρέσει, ᾄσμασι θεηγόροις τὸν σωτῆρα ὑμνοῦμεν, τὸν σώζοντα ἡμᾶς ἐκ φθορᾶς ταῖς ἱκεσίαις σου:~

κοντάκιον. προφῆτα θῦ καὶ πρόδρομε.

ἦχ δ΄ παρόν. ἐπεφάνης σήμερον.

Ὁ ἡρώδης πρόδρομε παρανομήσας. γυναικὶ παρέσχετο τὴν κεφαλήν σου τὴν σεπτὴν, ἧς τῇ εὑρέσει βοῶμέν σοι, αἴτησαι πᾶσι δωρήσασθαι ἔλεος.

κς΄ τοῦ ἁγίου ἀποστόλου κάρπου ἑνὸς τῶν ἑβδομήκοντα. τροπάριον, ἦχος γ΄. ἀπόστολε ἅγιε.

κζ΄ τοῦ ἁγίου ἱερομάρτυρος θεράποντος. ἀλληλούϊα.

Digitized by Google

κη' τοῦ ὁσίου πρς ἡμ. νικήτα ἐπισκόπου χαλκηδό-
νος, καὶ τοῦ ἁγίου ἱερομάρτυρος ἐλλαδίου. ἀλληλούια.
κθ' τῆς ἁγίας ὁσιομάρτυρος θεοδοσίας, ἀλληλούια.
λ' τοῦ ὁσίου πατρὸς ἡμῶν ἰσαακίου μονῆς τῶν δαλ-
μάτων. ἀλληλούια.
λα' τοῦ ἁγίου ἀποστόλου ἑρμείου, καὶ τοῦ ἁγίου ἱερο-
μάρτυρος ἑρμαίου. ἀλληλούια.

Μηνωο-λόγιον



τοῦ ἰου-νίου.

Μεστὰ πος ῥόδου εἰμὶ, καὶ ἀργεννοῖο κρίνοιο,
καὶ ξανθῆς κεράσου βρίθομαι ἀκρέμοσιν.

Μὴν ἰούνιος.

ἔχων ἡμέρας, λ'. ἡ ἡμέρα ἔχει
ὥρας ιε'. καὶ ἡ νὺξ ὥρας θ'.

α' Εἰς τὴν πρώτην, τοῦ ἁγίου μάρτυρος ἰουστίνου
τοῦ φιλοσόφου. καὶ ἑτέρου μάρτυρος ἰουστίνου, καὶ
τῶν σὺν αὐτῷ. ἀλληλούια.
β' τοῦ ἐν ἁγίοις πρς ἡμῶν νικηφόρου πατριάρχου κων-
σταντινουπόλεως τοῦ ὁμολογητοῦ. Τροπάριον.
κανόνα πίστεως. κοντάκιον ἐπεφάνης σήμερον.
Τὸν τῆς νίκης στέφανον, ὦ νικηφόρε. ὅθεν θεὸν ἐνδό-
ξε, ὡς εἰληφὼς παρὰ θεοῦ. σῶζε τοὺς πίστει ὑμνοῦν-
τάς σε, ὡς ἱεράρχην Χριστοῦ καὶ διδάσκαλον :~
γ' τοῦ ἁγίου μάρτυρος λουκιλλιανοῦ. ἀλληλούια.


Digitized by Google

δ΄ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν μητροφάνους πατριάρχου κωνσταντινουπόλεως. τροπάριον.

κανόνα πίστεως. κοντάκιον. ἦχος β΄. τὰ ἄνω ζητῶν.

Τὴν πίστιν Χριστοῦ, ἱερῶς σὺ ἐδογμάτισας. καὶ ταύτην τηρῶν, εἰς πλῆθος ὄντως ηὔξησας, καὶ πιστὸν ποίμνιον σὺν ἀγγέλοις· ὅθεν μητρόφανες συναγάλλη νῦν τῷ Χριστῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν:~

ε΄ τοῦ ἁγίου ἱερομάρτυρος δωροθέου ἐπισκόπου τύρου.

ς΄ τοῦ ὁσίου πατρὸς ἡμῶν βησσαρίωνος τοῦ θαυματουργοῦ, καὶ τοῦ ὁσίου ἱλαρίωνος τοῦ νέου. μονῆς τῶν δαλμάτων.

ζ΄ τοῦ ἁγίου ἱερομάρτυρος θεοδότου ἐπισκόπου ἀγκύρας.

η΄ τοῦ ἁγίου μεγαλομάρτυρος θεοδώρου τοῦ στρατηλάτου. τροπάριον, ἦχος δ΄.

στρατολογίᾳ ἀληθεῖ ἀθλοφόρε.

κοντάκιον, ἦχος δ΄. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ως ἀθλητὴς ὁ μιμητὴς τοῦ σταυροῦ, καὶ χορηγὸς τῶν δωρεῶν τῶν ἐκεῖθεν, ταῖς πρὸς θεὸν πρεσβείαις σου προσφθάνοις ἀεί, πάντας τοὺς προσφεύγοντας, τῷ ναῷ σου τῷ θείῳ. καὶ πιστῶς προστρέχοντας τῇ ἁγίᾳ σου σκέπῃ. διὸ βοῶμεν λύτρωσαι ἡμᾶς ἐκ τῶν κινδύνων παμμάκαρ θεόδωρε:~

θ΄ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείας. τροπάριον, ἦχος πλ. δ΄.

ὀρθοδοξίας ὁδηγέ.

κοντάκιον, ἦχος δ΄. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τ ας τῶν αἱρέσεων πλοκὰς διαῤῥήξας, ἐν τῇ δυνάμει τοῦ Χριστοῦ θείοις λόγοις, τὴν ἐκκλησίαν κύριε ἐπλούτισας· πάντα τὰ ζιζάνια μεσοῦν ἐκκόψας, ὅθεν καὶ παρίστασαι, σὺν ἀγγέλων χορείαις· Χριστῷ πρεσβεύων μακάριε ἐκτενῶς, πᾶσι πταισμάτων δωρήσασθαι ἄφεσιν:~

ι' ὁ ἅγιος ἱερομάρτυς τιμόθεος ἐπίσκοπος προύσης.

ια' τῶν ἁγίων ἀποστόλων Βαρθολομαίου, καὶ Βαρνάβα. τροπάριον. ἀπόστολοι ἅγιοι. κοντάκιον, ἦχος γ'. ἡ παρθένος σήμερον.

Τ οῦ κυρίου γέγονας παναληθὴς ὑπηρέτης. ἀποστόλων ὤφθης τε, τῶν ἑβδομήκοντα πρῶτος. ηὔγασας καὶ σὺν τῷ παύλῳ, τὸ κήρυγμά σου. ἅπασι καταμηνύων Χριστὸν σωτῆρα. διὰ τοῦτο ὑμνῳδίαις, τὴν θείαν μνήμην Βαρνάβα τελοῦμέν σου:~

ἕτερον. ἐπεφάνης σήμερον.

Ὤ φθης μέγας ἥλιος τῇ οἰκουμένῃ. διδαγμάτων λάμψεσι. καὶ θαυμασίων φοβερῶν. φωταγωγῶν τοὺς τιμῶντάς σε, Βαρθολομαῖε Χριστοῦ ἀπόστολε:~

ιβ' τοῦ ὁσίου πατρὸς ἡμῶν Ὀνουφρίου. καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ ἀθωνίτου. τροπάριον. τῆς ἐρήμου πολίτης. ἢ τό· ὁ θεὸς τῶν πατέρων ἡμῶν. κοντάκιον. τὰ ἄνω ζητῶν.

Ἀ στὴρ φαεινός, ἐδείχθης τοῖς μονάζουσιν· ὡς φέγγος νυκτί, αὐγάζει ἐν τοῖς πέρασιν, οὕτω περιέλαμψας ἐν ἀσκήσει ὥσπερ ἥλιος. διὰ τοῦτο ὀνούφριε μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν:~

ἕτερον, ἦχος δ', πίστιν Χριστοῦ.



Digitized by Google

Φῶς μονη τὸν καὶ οὐράνιον ἔνδον λαβὼν ἐν καρδίᾳ σου, τῆς ἀκηράτου Τριάδος δοχεῖον ὤφθης λαμπρότατον, καὶ χάριν τῶν θαυμάτων ἀπείληφας, κραυγάζων, ἀλληλούια.

ιγ΄ τῆς ἁγίας μάρτυρος ἀκυλίνης, καὶ τοῦ ἁγίου τριφυλλίου, ἐπισκόπου λευκωσίας τῆς κύπρου. τροπάριον. ἡ ἀμνάς σου Ἰησοῦ. ζήτει τό, κανόνα πίστεως.

ιδ΄ τοῦ ἁγίου προφήτου ἐλισσαίου, καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν μεθοδίου πατριάρχου κωνσταντινουπόλεως. τροπάριον, ἦχος δ΄.

Ὁ ἔνσαρκος ἄγγελος, τῶν προφητῶν ἡ κρηπίς. ὁ δεύτερος πρόδρομος τῆς παρουσίας Χριστοῦ, Ἠλίας ὁ ἔνδοξος. ἄνωθεν καταπέμψας Ἐλισσαίῳ τὴν χάριν. νόσους ἀποδιώκει, καὶ λεπροὺς καθαρίζει. διὸ καὶ τοῖς τιμῶσιν αὐτόν, βρύει ἰάματα :~

ἕτερον τοῦ ἱεράρχου. κανόνα πίστεως.

κοντάκιον τοῦ προφήτου, ἦχος β΄. τὰ ἄνω ζητῶν:

Προφῆτα θεοῦ, ἐδέχθης διπλασίωμα. τὴν χάριν λαβών, τὴν ὄντως ἐπαξίως, Ἐλισσαῖε μακάριε. Ἠλίου γὰρ γέγονας σύσκηνος. σὺν αὐτῷ Χριστῷ τῷ θεῷ πρεσβεύων ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν :~

ἕτερον τοῦ ἱεράρχου. τοὺς ἀσφαλεῖς.

Ἐπὶ τῆς γῆς ἐγνωρίσθης ὡς ἄσαρκος, καὶ οὐρανοὺς ἐκληρώσω Μεθόδιε, ὡς τρανώσας ἐν τοῖς προφράσι τῶν εἰκόνων προσκυνήσιν. ἐν πόνοις γὰρ καὶ μόχθοις περισσοτέρως διάγων οὐκ ἐπαύσω ἐν παρρησίᾳ, ἐλέγχων ἀθετοῦντας τὴν εἰκόνα Χριστοῦ :~

Digitized by Google

ιε' τοῦ ἁγίου προφήτου ἀμμώς. ἀλληλούια.

ις' τοῦ ἁγίου θαυματουργοῦ τύχωνος ἀμαθούντων.

ἀπολυτίκιον, ἦχος α'. τῆς ἐρήμου.

κοντάκιον ἦχος γ'. ἡ παρθένος σήμερον.

Ἐν ἀσκήσει ἅγιε θεοφιλῶς διαπρέψας. παράκλητου δύναμιν, ἐξ ὕψους καθυπεδέξω. ξόανα καθελεῖν πλάνης, λαοὺς δὲ σώζειν. δαίμονας ἀποδιώκειν, νόσους ἰᾶσθαι. διὰ τοῦτό σε τιμῶμεν ὡς θεοῦ φίλον τύχων μακάριε:~

ιζ' τῶν ἁγίων μαρτύρων Μανουήλ, Σαβέλ, καὶ Ἰσμαήλ. ἀπολυτίκιον. οἱ μάρτυρές σου κύριε.

κοντάκιον. τὰ ἄνω ζητῶν.

Τῇ πίστει Χριστοῦ, νευρωθέντες παμμακάριστοι. καὶ τούτου πιστῶς πιόντες τὸ ποτήριον, τῶν περσῶν σεβάσματα, καὶ τὸ θράσος εἰς γῆν κατεβάλετε, τῆς τριάδος ἰσάριθμοι. πρεσβείαν ποιοῦντες, ὑπὲρ πάντων ἡμῶν:~

ιη' τοῦ ἁγίου μάρτυρος Λεοντίου. ἀπολυτίκιον. ὁ μάρτυς σου. κοντάκιον. ἡ παρθένος σήμερον.

Τῶν τυράννων ᾔσχυνας τὰς πονηρὰς ἐπινοίας. καὶ ἑλλήνων ἤλεγξας, τὸ ἀθεώτατον σέβας. ὤφραξας τὰς τῶν ἀγγέλων χοροστασίας. ἔλαμψας θεογνωσίαν, πᾶσιν ἀνθρώποις. διὰ τοῦτό σου τὴν μνήμην τιμῶμεν πόθῳ, σοφὲ λεόντιε:~

ιθ' τοῦ ἁγίου ἀποστόλου ἰούδα ἀδελφοῦ τοῦ κυρίου.

ἀπολυτίκιον, ἦχος α'.

Χριστοῦ σε συγγενῆ. ὦ ἰούδα εἰδότες. καὶ μάρτυρα στερρὸν, ἱερῶς εὐφημοῦμεν. τὴν πλάνην πατήσαντα, καὶ τὴν πίστιν τηρήσαντα. ὅθεν σήμερον, τὴν

παραγίαν τοῦ μνήμην. ἑορτάζοντες, ἁμαρτημάτων τὴν λύσιν, ὡς χάρισμα λαμβάνομεν:~

κοντάκιον, ἦχος α΄. τὰ ἄνω ζητῶν.

Τοῦ Παύλου δειχθείς, συνόμιλος ἀπόστολε. σὺν τούτῳ ἡμῖν τὸ κήρυγμα κατήγγειλας, τῆς ἐνθέου χάριτος μυστολέκτα ἰούδα μακάριε. διὰ τοῦτο βοῶμέν σοι, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν:~

κ΄ τοῦ ἁγίου ἱερομάρτυρος μεθοδίου ἐπισκόπου πατάρων.

κα΄ τοῦ ἁγίου μάρτυρος ἰουλιανοῦ τοῦ ταρσέως.

κβ΄ τοῦ ἁγίου ἱερομάρτυρος, εὐσεβίου, ἐπισκόπου σαμοσάτων.

κγ΄ τῆς ἁγίας μάρτυρος ἀγριππίνης.

κδ΄ τὸ γενέθλιον τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ ἰωάννου. τροπάριον. ἦχος δ΄.

Προφῆτα καὶ πρόδρομε, τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε, οὐκ εὐποροῦμεν ἡμεῖς οἱ πόθῳ τιμῶντές σε. στείρωσις γὰρ τεκούσης καὶ πρὸς ἀφωνία, λέλυνται τῇ ἐνδόξῳ καὶ σεπτῇ σου γεννήσει. καὶ σάρκωσις υἱοῦ τοῦ θεοῦ, κόσμῳ κηρύττεται:~

κοντάκιον, ἦχος γ΄. ἡ παρθένος σήμερον.

Ἡ πρὶν στεῖρα σήμερον, Χριστοῦ τὸν πρόδρομον τίκτει. καὶ αὐτὸς τὸ πλήρωμα, πάσης τῆς προφητείας. ὃν γὰρ οἱ προφῆται προεκήρυξαν, τοῦτον ἐν ἰορδάνῃ χειροθετήσας, ἀνεδείχθη θείου λόγου, προφήτης κῆρυξ ὁμοῦ καὶ πρόδρομος:~

κε΄ τῆς ἁγίας ὁσιομάρτυρος φεβρωνίας. τροπάριον.

Ἡ ἀμνάς σου Ἰησοῦ.

κοντάκιον, ἡ παρθένος σήμερον.

Τὴν ἐκ βρέφους ἅπαντα καταλιποῦσαν. φεβρωνίαν ἄσμασιν ἀνευφημήσωμεν πιστοί. τὸν γὰρ ἐχθρὸν κατεπάτησε· στέφος διπλοῦν τε τῆς νίκης ἐδέξατο.

κϛ´ τοῦ ὁσίου πρς ἡμῶν Δαβὶδ τοῦ ἐν θεσσαλονίκῃ. Τροπ. ἐν σοὶ πάτερ ἀκριβῶς.

κζ´ τοῦ ὁσίου πατρὸς ἡμῶν σαμψὼν τοῦ ξενοδόχου. Τροπάριον. ἐν τῇ ὑπομονῇ. ζήτει μηνὶ νοεμβρίῳ. ιβ´. κοντάκιον, ὡς ἀπαρχάς.

Ὡς ἰατρὸν πάνσοφον, καὶ πρεσβευτὴν εὐπρόσδεκτον, οἱ τῇ σορῷ σου τῇ θείᾳ προστρέχοντες, σαμψὼν θεόφρον ὅσιε. συνελθόντες ἐν πίστει ψαλμοῖς καὶ ὕμνοις ἀγαλλιώμενοι, Χριστὸν δοξάζομεν τὸν ταύτην σοι χάριν παρέχοντα τῶν ἰάσεων:~

κη´ ἡ ἀνακομιδὴ τῶν λειψάνων, τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων κύρου καὶ ἰωάννου. Τροπ. ἦχος πλ. α´.

Τὰ θαύματα τῶν ἁγίων σου μαρτύρων, τεῖχος ἀκαταμάχητον ἡμῖν δωρησάμενος Χριστὲ ὁ θεός. ταῖς αὐτῶν ἱκεσίαις, βουλὰς ἐθνῶν διασκέδασον. τῆς βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος:~ κοντάκιον, χορὸς ἀγγελικός.

Τὸ μέγα ἰατρεῖον τῆς οἰκουμένης. τὸ ζεῦγος τοῦ Χριστοῦ τὸ πεποθημένον. τοὺς φωστῆρας τοὺς ἐκλάμποντας, ταῖς αὐγαῖς τῶν ἰάσεων, ὑμνήσωμεν πιστοὶ μεγαλοφώνως, ἔνδον τοῦ ναοῦ αὐτῶν βοῶντες. κῦρος καὶ ἰωάννης οἱ χορηγοὶ τῶν θαυμάτων, καὶ ἰατροὶ τῶν ἀνθρώπων αὐγάζουσι τὰ πέρατα:~

κθʹ τῶν ἁγίων ἐνδόξων καὶ πρωτοκορυφαίων ἀποστόλων πέτρου καὶ παύλου. τροπάριον ἦχος δʹ.

Οἱ τῶν ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος:~

ἀπὸ γʹ ᾠδῆς, ἡ ὑπακοή. ἦχος πλ. αʹ.

Ποία φυλακὴ οὐκ ἔσχε σε δέσμιον. ποία δὲ ἐκκλησία οὐκ ἔσχε σε ῥήτορα. δαμασκὸς μέγα φέρει σὲ παῦλε. εἶδε γάρ σε σκελισθέντα φωτί. ῥώμη σου τὸ αἷμα δεξαμένη, καὶ αὐτὴ κομπάζει. ἀλλὰ καὶ ταρσὸς πλέον χαίρει, καὶ ποθεῖ τιμῶσα σου τὰ σπάργανα. πέτρε τῆς πίστεως ἡ πέτρα. παῦλε καύχημα τῆς οἰκουμένης. ἐκ τῆς ῥώμης συνελθόντες, στηρίξατε ἡμᾶς:~ καθ' ἐκ τῆς ᾠδῆς. κοντάκιον ἦχος βʹ.

Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους κήρυκας, τὴν κορυφὴν τῶν ἀποστόλων κύριε, προσελάβου εἰς ἀπόλαυσιν τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν. τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω [illegible] πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια:~

λʹ Ἡ σύναξις τῶν ἁγίων καὶ πανευφήμων δώδεκα ἀποστόλων. τροπάριον. οἱ τῶν ἀποστόλων. κοντάκιον, ἦχος βʹ. τὰ ἄνω ζητῶν.

Ἡ πέτρα χριστοῦ, τὴν πέτραν τῆς πίστεως. δοξάζει φαιδρῶς τῶν μαθητῶν τὸν πρόκριτον. κὰι σὺν παύλῳ ἅπασαν δωδεκάριθμον φάλαγγα σήμερον. ὧν τὴν μνήμην τελοῦντες πιστῶς, τὸν τούτοις δοξάσαντα δοξάζομεν:~

Digitized by Google

Μηνο-λόγιον



τοῦ ἰουλ-λίου.

Καρκίνον ἠέλιος μεταμείβεται. ἀσταχύας δὲ
καρφαλέοις κήρει γειοπόνος δρεπάνῃ.

Μὴν ἰούλιος.

ἔχων ἡμέρας, λ΄. ἡ ἡμέρα ἔχει
ὥρας ιε΄. καὶ ἡ νὺξ ὥρας θ΄.

α΄ Εἰς τὴν πρώτην, τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων κοσμᾶ καὶ δαμιανοῦ, τῶν ἐν ῥώμῃ μαρτυρησάντων. Τροπάριον, καὶ κοντάκιον.

ζήτει νοεμβρίω α΄.

β΄ Ἡ κατάθεσις τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου ἐν βλαχέρναις. Τροπ. ἦχος πλ δ΄.

θ Θεοτόκε ἀειπαρθένε, τῶν ἀνθρώπων σκέπη. ἐσθῆτα καὶ ζώνην τοῦ ἀχράντου σου σώματος, κραταιὰν τῇ πόλει σου περιβολὴν ἐδωρήσω. τῷ ἀσπόρῳ τόκῳ σου, ἄφθαρτα διαμείναντα. ἐπὶ σοὶ γὰρ καὶ φύσις καινοτομεῖται καὶ χρόνος. διὸ δυσωποῦμέν σε. εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. κοντάκιον, ἦχος δ΄. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Περιβολὴν πᾶσι πιστοῖς ἀφθαρσίας. θεοχαρίτωτε ἁγνὴ ἐδωρήσω, τὴν ἱερὰν ἐσθῆτά σου. μεθ' ἧς τὸ ἱερὸν σῶμά σου ἐσκέπασας, σκέπη πάντων ἀνθρώπων. ἧς περ τὴν κατάθεσιν, ἑορτάζομεν πόθῳ. καὶ ἐκβοῶμεν φόβῳ σοι σεμνὴ, χαῖρε παρ-

θέμε χριστιανῶν τὸ καύχημα :~

γ'. τοῦ ἁγίου μάρτυρος ὑακίνθου. ἐν τῷ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀνατολίου πατριάρχου κωνσταντινουπόλεως. τροπάριον. ὁ μάρτυς σου κε. ἐν, κανόνα πίστεως.

δ' τοῦ ἐν ἁγίοις πρς ἡμῶν ἀνδρέου κρήτης, τοῦ ἱεροσολυμίτου. τροπάριον. κανόνα πίστεως.

κοντάκιον ἦχος β'. τὰ ἄνω ζητῶν.

Σάλπιγξ ἱερῶς, τὰ θεῖα μελωδήματα. ἐδείχθης φωστὴρ, τῷ κόσμῳ τηλαυγέστατος. τῷ φωτὶ λαμπόμενος τῆς τριάδος ἀνδρέα ὅσιε. ὅθεν πάντες βοῶμέν σοι. μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν :~

έ τῆς ὁσίας μάρθας μητρὸς τοῦ ἁγίου συμεὼν τοῦ θαυμαστορίτου. καὶ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν ἀθανασίου τοῦ ἐν τῷ ἄθω. καὶ τοῦ ὁσίου λαμπαδοῦ. τροπάριον τῆς ὁσίας. ἐν σοὶ μῆτερ ἀκριβῶς. καὶ τοῦ ὁσίου, ἦχος γ'.

Τὴν ἐν σαρκὶ ζωήν σου κατεπλάγησαν ἄγγέλων τάγματα. πῶς μετὰ σώματος, πρὸς ἀοράτους συμπλοκὰς ἐχώρησας ἀοίδιμε. καὶ κατετραυμάτισας τῶν δαιμόνων τὰς φάλαγγας. ὅθεν ἀθανάσιε, ὁ χριστός σε ἠμείψατο πλουσίαις δωρεαῖς. διὸ πάτερ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν :~

κοντάκιον, ἦχος β'. τὰ ἄνω ζητῶν.

Χριστοῦ τὸν ζυγὸν, λαβὼν ἀθανάσιε. ἐν σοῦ τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενος. μιμητὴς παράδειγος τῶν αὐτοῦ παθημάτων γέγονας. κοινωνός τε τῆς δόξης αὐτοῦ τῆς θείας μετέχων, καὶ ἀλύκτου τρυφῆς :~

ϛʹ τοῦ ὁσίου πρς ἡμ. σισώη τοῦ μεγάλου. Τροπα. ἦχος αʹ.
τῆς ἐρήμου πολίτης. κοντάκιον. ἐπιφανῆς στη.
Ε ξασκήσας ἄγγελος ἐν γῆ ὡράθης. καταυγάζων
ὅσιε, τὰς διανοίας τῶν πιστῶν. θεοσημείοις ἑκά-
στοτε. ὅθεν σε τῇ πίστει, σισώη γεραίρομεν:~
ζʹ τῶν ὁσίων πατέρων ἡμῶν θωμᾶ τοῦ ἐν τῷ μα-
λαίῳ, καὶ ἀκακίου τοῦ ἐν τῇ κλίμακι. καὶ τῆς
ἁγίας μεγαλομάρτυρος κυριακῆς. ἀλληλούϊα.
ηʹ τοῦ ἁγίου μεγαλομάρτυρος προκοπίου. τρο-
πάριον. ὁ μάρτυς σου.
κοντάκιον. τὰ ἄνω ζητῶν
Τ ῷ ζήλῳ Χυ, τῷ θείῳ πυρπολούμενος. καὶ τῇ
τοῦ σταυροῦ ἰσχύϊ συμφραξάμενος, τῶν ἐχθρῶν
τὸ φρύαγμα καὶ τὸ θράσος κατέβαλες προκόπιε.
καὶ τὴν σεπτὴν ἐκκλησίαν ὕψωσας, τῇ πίστει
προκόπτων καὶ φωτίζων ἡμᾶς:~
θʹ τοῦ ἁγίου ἱερομάρτυρος παγκρατίου ἐπισκό-
που ταυρομενίας. Τροπάριον.
καὶ τρόπων μέτοχος.
ιʹ τῶν ἁγίων με μαρτύρων τῶν ἐν νικοπόλει τῆς
ἀρμενίας, Τροπάριον.
οἱ μάρτυρές σου κε.
ιαʹ τῆς ἁγίας μάρτυρος καὶ πανευφήμου εὐφημίας,
ἤτοι τοῦ ὅρου τῶν πατέρων. Τροπάριον.
ἡ ἀμνάς σου ἰυ. κοντάκιον, ἦχος πλ. βʹ.
Α γῶνας ἐν ἀθλήσει. ἀγῶνας ἐν τῇ πίστει κατε-
βάλου θερμῶς, ὑπὲρ χυ τοῦ νυμφίου σου. ἀλ-
λὰ καὶ νῦν ὡς τὰς αἱρέσεις. καὶ τῶν ἐχθρῶν τὸ

ἰσοε
φίλε
ἐν τ
θα.

φρύαγμα. ἐν τοῖς ποσὶ τῶν βασιλέων ἡμῶν ὑποταγῆναι πρέσβευε διὰ τῆς θεοτόκου. καὶ τῶν ἑξακοσίων τριάκοντα θεοφόρων πατέρων τὸν ὅρον λαβοῦσα καὶ φυλάττουσα παμμάκαρ φημέ:~

ιβ' τῶν ἁγίων μαρτύρων πρόκλου καὶ ἱλαρίου. καὶ τοῦ ὁσίου πρς ἡμῶν μιχαὴλ τοῦ μαλεΐνου.

ιγ' ἡ σύναξις τοῦ ἀρχαγγέλου γαβριήλ, καὶ μνήμη τοῦ ὁσίου πρς ἡμῶν ἰωσὴφ θεσσαλονίκης τοῦ ὁμολογητοῦ. τροπάριον. τῶν ὀπισίων στρατιῶν. τοῦ ὁσίου. ὀρθοδοξίας ὁδηγέ.

κοντάκιον, τοῦ ἀρχαγγέλου. τὴν ὑπὲρ ἡμῶν.

Ο ἐν ὀπτασίαις, καθορῶν θεοῦ τὴν δόξαν. καὶ τοῖς ἐπὶ γῆς ἐξ ὕψους παρέχων χάριν, ἀρχηγὲ τῶν ἀγγέλων σοφὲ γαβριήλ, θεοῦ δόξης ὁ διάκονος, καὶ τοῦ κόσμου θεῖος πρόμαχος, σῶζε φρουρεῖ τοὺς βοῶντάς σοι, αὐτὸς γενοῦ βοηθὸς καὶ οὐδεὶς καθ' ἡμῶν:~

ιδ' τοῦ ἁγίου ἀποστόλου ἀκύλα. τροπα. ἀπόστολε ἅγιε.

ιε' τῶν ἁγίων μαρτύρων κηρύκου καὶ ἰουλίττης. τροπάρ. οἱ μάρτυρές σου κε. κοντάκιον, ἦχος δ'. ἐπεφάνης.

Εν ἀγκάλαις φέρουσα ἡ χριστομάρτυς ἰουλίττα κήρυκον, ἐν τῷ σταδίῳ ἀνδρικῶς ἀγαλλομένη ἐκραύγαζε. Χς ὑπάρχει μαρτύρων τὸ καύχημα:~

ις' τοῦ ἁγίου ἱερομάρτυρος ἀθηνογένους, καὶ τῶν δέκα αὐτοῦ μαθητῶν.

ἐν ταῖς ἀποδειπνίοις ἡ τούτων ἀκολουθία. σχόλιον.

Δεῖ εἰδέναι ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ, ἤγουν τῇ ις' τοῦ ἰουλλίου μηνὸς, μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων

ἁγίων πατέρων, τῶν ἐν τῇ πρώτῃ συνόδῳ κατὰ νίκαιαν συνελθόντων τ ι η. καὶ τῶν ἐν τῇ β' συνόδῳ συνελθόντων ἐν τῇ βασιλίδι τῶν πόλεων ρν. καὶ τῶν ἐν τῇ γ' ἐν ἐφέσῳ. σ'. καὶ τῶν ἐν τῇ δ' ἐν χαλκηδόνι χλ'. καὶ τῶν ἐν τῇ ε', ρξ', καὶ τῶν ἐν τῇ ϛ, ρο' :~ τροπάριον, καὶ κοντάκιον, ζήτει τῇ ια τοῦ ὀκτωβρίου μηνός.

ιζ τῆς ἁγίας μάρτυρος μαρίνης. τροπάριον. ἦχος δ'.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει.

κοντάκιον, ἦχος γ'. ἡ παρθένος σήμερον.

Παρθενίας κάλλεσι, πεποικιλμένη παρθένε. ἀκηράτοις στέμμασιν, ἐστεφανώθης μαρίνα. αἵμασι τοῦ μαρτυρίου δὲ φοινιχθεῖσα, θαύμασι κατελαμπρύνθης τῶν ἰαμάτων. καὶ βραβεῖα τῆς νίκης ἐδέξω μάρτυς. χειρὶ τοῦ κτίστου σου :~

ἕτερον ἦχος δ'. ταχὺ προκατάλαβε.

Ἀνδρείαν καὶ φρόνησιν κεκτημένη σεμνή, τελείως κατεπάλαισας ὄφιν ἀρχέκακον, μαρίνα πανεύφημε. ἴσχυσας ὀλυμπρίου τὰς πικρὰς τιμωρίας. ὤφθης ἀσωμάτων τὰς χορείας ἀθλοῦσα. διὸ ἀπαύστως πρέσβευε Χριστῷ, εἰς τὸ σωθῆναι ἡμᾶς.

ιη τοῦ ἁγίου μάρτυρος Ὑακίνθου τοῦ ἐν Ἀμάστριδι, καὶ τοῦ ἁγίου μάρτυρος Αἰμιλιανοῦ. ἀκολουθία.

ιθ τοῦ ὁσίου πατρὸς ἡμῶν Δίου, καὶ τῆς ὁσίας μητρὸς ἡμῶν Μακρίνης ἀδελφῆς τοῦ μεγάλου Βασιλείου. τροπάριον. τῆς ἐρήμου πολίτης. ἕτερον. ἐν σοὶ μῆτερ ἀκριβῶς.



Digitized by Google

κ΄ τοῦ ἁγίου ἐνδόξου προφήτου ἠλιοῦ. τροπάριον, ἦχος δ΄.

Ὁ ἔνσαρκος ἄγγελος, τῶν προφητῶν ἡ κρηπὶς. ὁ δεύτερος πρόδρομος τῆς παρουσίας χριστοῦ, ἠλίας ὁ ἔνδοξος. ἄνωθεν καταπέμψας ἐλισσαίω τὴν χάριν. νόσους ἀποδιώκει, καὶ λεπροὺς καθαρίζει. διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα:~

κοντάκιον, ἰδιόμελον, ἦχος β΄.

Προφῆτα καὶ προόπτα τῶν μεγαλουργιῶν τοῦ θεοῦ ἡμῶν, ἠλία μεγαλώνυμε. ὁ τῷ φθέγματί σου στήσας τὰ ὑδατόρρυτα νέφη, πρέσβευε ὑπὲρ ἡμῶν τὸν μόνον φιλάνθρωπον:~

κα΄ τῶν ὁσίων πρῶν ἡμῶν συμεὼν τοῦ διὰ χριστὸν σαλοῦ. καὶ ἰωάννου συνασκητοῦ αὐτοῦ. καὶ τοῦ ἁγίου προφήτου ἰεζεκιήλ. τροπάριον.

ὁ θεὸς τῶν πρῶν ἡμῶν. καὶ τὸ,

τοῦ προφήτου σου τὴν μνήμην.

κοντάκιον τῶν ὁσίων. τοὺς ἀσφαλεῖς.

Τὸν ἐν σαρκὶ ἀναφανέντα ἄσαρκον, καὶ ἀρεταῖς ὑπερκοσμίως λάμψαντα. συμεὼν ἰσάγγελον καὶ θεοφόρον εὐφημήσωμεν σὺν τούτῳ ἰωάννην τὸν ἀοίδιμον. ἐν πίστει καὶ ἀγάπῃ, ὡς πρεσβεύοντες νῦν ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν:~

κβ΄ τῆς ἁγίας μυροφόρου, καὶ ἰσαποστόλου μαρίας τῆς μαγδαληνῆς. καὶ ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου ἱερομάρτυρος φωκᾶ. τροπάριον, ἦχος α΄.

Χριστῷ τῷ δι᾽ ἡμᾶς ἐκ παρθένου τεχθέντι, σεμνὴ μαγ-

δαλινῆ, ἠκολούθεις μαρία· αὐτοῦ τὰ δικαιώμα-
τα, καὶ τοὺς νόμους φυλάττουσα. ὅθεν σήμερον,
τὴν παναγίαν σου μνήμην ἑορτάζοντες, ἁμαρτη-
μάτων τὴν λύσιν, αἰταῖς σου λαμβάνομεν:~

τοῦ ἱερομάρτυρος. καὶ τρόπων μέτοχος.

κοντάκιον, ἦχος γ΄. ἡ παρθένος σήμερον.

Τὴν Χριστοῦ μαθήτριαν, καὶ πρώτην ἐν μυροφόροις. τὴν εὐαγγελίσασαν τοῖς ἀποστόλοις τὸ χαῖρε. ἅπαντες ψαλμοῖς καὶ ὕμνοις ἀνευφημοῦμεν, αἴνεσιν ἀναπέμποντες θεῷ τῷ τῶν ὅλων, τῷ τοιαύτην ἐν τῷ κόσμῳ πηγὴν θαυμάτων, χαρισαμένῳ ἡμῖν:~

ἕτερον τῆς αὐτῆς. ἦχος δ΄. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ὁ ὑπερούσιος θεὸς ἐν τῷ κόσμῳ· μετὰ σαρκὸς ἐπιφοιτήσας μαρία, σὲ ἀληθῆ μαθήτριαν προσήκατο. ὅλην σου τὴν ἔφεσιν πρὸς αὐτὸν κεκτημένη. ὅθεν καὶ ἰάματα ἐπετέλεσας πλεῖστα. καὶ μετασταθεῖσα νῦν ἐν οὐρανοῖς, ὑπὲρ τοῦ κόσμου πρεσβεύεις ἑκάστοτε:~

κγ΄ τῶν ἁγίων μαρτύρων, τροφίμου, θεοφίλου καὶ τῶν σὺν αὐτοῖς. τροπάριον.

οἱ μάρτυρές σου κύριε.

κδ΄ τῆς ἁγίας μάρτυρος χριστίνης. καὶ τῆς ἁγίας ὁσιομάρτυρος παρασκευῆς. τροπάριον, ἦχος δ΄.

ἡ ἀμνάς σου ἰησοῦ.

τὸ αὐτὸ καὶ τῆς ὁσίας.

κοντάκιον, ἦχος δ΄. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Φωτοειδὴς περιστερὰ ἐγνωρίσθης· ἔχουσα πτέρυγας χρυσᾶς καὶ πρὸς ὕψος, τῶν οὐρανῶν κατέπαυσας χριστίνα σεμνή. ὅθεν σου τὴν ἔνδο-

ξον ἑορτὴν ἐκτελοῦμεν, πίστει προσκυνοῦντες
σου τῶν λειψάνων τὴν θήκην· ἐξ ἧς πηγάζει πᾶ
σιν ἀληθῶς, ἴαμα θεῖον ψυχῆς τε, καὶ σώματος:~

ἕτερον τῆς ὁσίας. τῷ ὑπερμάχῳ.

Τῇ ἀθλοφόρῳ οἱ περὶ τὸν ὑμνητήριον. παρα-
σκευῆς δεῦτε συμφώνως ἀναμέλψωμεν. ἀπα-
στράπτει γὰρ τοῖς θαύμασιν ἐν τῷ κόσμῳ. ἀπε-
λαύνουσα τῆς πλάνης τὴν σκοτόμαιναν. καὶ πα-
ρέχουσα πιστοῖς τὴν χάριν ἄφθονον. τοῖς κραυγά-
ζουσι, χαῖρε μάρτυς πολύαθλε:~

κε ἡ κοίμησις τῆς ἁγίας ἄννης μητρὸς τῆς θεοτόκου.
καὶ μνήμη τῶν ὁσίων γυναικῶν, ὀλυμπιάδος. καὶ
εὐπραξίας. τροπάριον, ἦχος δ'.

Ζωὴν τὴν κυήσασαν ἐκυοφόρησας. ἁγνὴν θεομή-
τορα θεόφρον ἄννα. διὸ πρὸς λῆξιν οὐράνιον.
ἔνθα εὐφραινομένων κατοικία ἐν δόξῃ. χαίρουσα
νῦν μετέστης. τοῖς τιμῶσί σε πόθῳ, πταισμάτων
αἰτουμένη, ἱλασμὸν ἀειμακάριστε:~

κοντάκιον. ἦχος β'. τὰ ἄνω ζητῶν.

Προγόνων χριστοῦ, τὴν μνήμην ἑορτάσωμεν. τὴν
τούτων πιστῶς αἰτούμενοι βοήθειαν. τοῦ ῥυσθῆναι ἅ-
παντας, ἀπὸ πάσης θλίψεως τοὺς κράζοντας, ὁ
θεὸς ἡμῶν μεθ' ἡμῶν, ὁ τούτους δοξάσας ὡς ηὐδόκησεν.

κς τοῦ ἁγίου ἱερομάρτυρος ἑρμολάου καὶ τῶν σὺν
αὐτῷ. τροπάριον.

οἱ μάρτυρές σου κε.

κζ τοῦ ἁγίου μεγαλομάρτυρος παντελεήμονος.

Digitized by Google

Τροπάριον, ἦχος γʹ.

Ἀ θλοφόρε ἅγιε καὶ ἰαματικὲ παντελεήμον, πρέσβευε τῷ ἐλεήμονι θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν. κοντάκιον, ἦχος πλ. αʹ.

Μ ιμητὴς ὑπάρχων τοῦ ἐλεήμονος, καὶ ἰαμάτων τὴν χάριν παρ᾽ αὐτοῦ κομισάμενος, ἀθλοφόρε καὶ μάρτυς χριστοῦ τοῦ θεοῦ. ταῖς εὐχαῖς σου τὰς ψυχὰς ἡμῶν νόσους θεράπευσον. ἀπελαύνων τοῦ ἀεὶ πολεμίου τὰ σκάνδαλα. ἐκ τῶν βοώντων πιστῶς σῶσον ἡμᾶς κύριε.

κηʹ τῶν ἁγίων ἀποστόλων καὶ διακόνων. Προχώρου, Νικάνορος, Τίμωνος, καὶ Παρμενᾶ. τροπάριον. ἀπόστολοι ἅγιοι. κοντάκιον, ἦχος αʹ. τὸν τάφον σου σῶτερ.

Δ ιάκονοι σεπτοὶ, καὶ αὐτόπται τοῦ λόγου. καὶ σκεύος ἐκλογῆς, ἀνεδείχθητε πίστει. Νικάνορ καὶ Πρόχορε. Παρμενᾶ Τίμων ἔνδοξε. ὅθεν σήμερον τὴν ἱερὰν ὑμῶν μνήμην. ἑορτάζομεν ἐν εὐφροσύνῃ καρδίας, ὑμᾶς μακαρίζοντες.

κθʹ τοῦ ἁγίου μάρτυρος Καλλινίκου. τροπάριον. ὁ μάρτυς σου κύριε. κοντάκιον. τὰ ἄνω ζητῶν.

Ψ α ἄνω τιμιά, ἀξίως νῦν κεκλήρωσαι. χριστοῦ γὰρ σφοδρῶς, τῷ πόθῳ πυρακτούμενος. τοῦ πυρὸς Καλλίνικε, δι᾽ αὐτοῦ ἀνδρείως κατετόλμησας. ᾧ καὶ νῦν παριστάμενος, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

λʹ τῶν ἁγίων ἀποστόλων Σύλα, καὶ Σιλουανοῦ. τροπά. ἀπόστολοι ἅγιοι. κοντάκιον, ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Κ λήματα ὤφθητε χριστοῦ τῆς ἀμπέλου. βότρυας φέροντες σοφοὶ ἐν ἀρετῇ. γλεῦκος ἡμῖν σωτηρίας



Digitized by Google

πηγάζοντας. οὗ τῶν οἱ μετέχοντες, σωφροσύνης πληροῦνται. καὶ πανηγυρίζουσι, τὴν σεπτὴν ὑμῶν μνήμην. ἐν ᾗ αἰτεῖσθε ἄφεσιν ἡμῶν ἁμαρτημάτων, κῦ ἀπόστολοι:~

λά τοῦ ἁγίου καὶ δικαίου εὐδοκίμου. καὶ προεόρτια τῆς προελεύσεως τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. Προσόμοιον τοῦ ἁγίου, ἦχος δ΄.

Ἔγνως ὁ καλέσας σε, πρὸς οὐρανίους σκηνάς, τηρεῖ καὶ μετὰ θάνατον, ἀδιάλωβητον τὸ σῶμά σου ἅγιε. σὺ γὰρ ἐν σωφροσύνῃ καὶ σεμνῇ πολιτείᾳ, μάκαρ ἐπολιτεύσω, μὴ μολύνας τὴν σάρκα. διὸ ἐν παρρησίᾳ χῷ πρέσβευε σωθῆναι ἡμᾶς. δόξα καὶ νῦν. σῶσον κέ † λαόν σου. κοντάκιον, ἦχος γ΄. ἡ παρθένος.

Ἡ σεπτή σου σήμερον, ἡμᾶς συνήθροισε μνήμη. ἐν τῇ θείᾳ λάρνακι, τῶν ἱερῶν σου λειψάνων. πάντες οὖν οἱ προσιόντες, καὶ προσκυνοῦντες. ἅπασαν δαιμόνων βλάβην ἀποσοβοῦνται. καὶ ποικίλων νοσημάτων λυτροῦνται τάχος, μάκαρ εὐδόκιμε:~

Μῆνα λόγον  τοῦ αὐγούστου.

Κείνω ἐγὼ πυρρόν, καὶ ἀχυρμιάς. ἐν δὲ λέοντι ἀτρεκέα τελέθει χεύματα μνιάδων.

Μὴν αὔγουστος.

ἔχων ἡμέρας λ΄α. ἡ ἡμέρα ἔχει ὥρας ιγ΄, καὶ ἡ νὺξ ὥρας ια΄.

α Εἰς τὴν πρώτην τῆς προόδου τῶν τιμίων ξύλων τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. ἡ μνήμη τῶν ἁγίων ἑπτὰ μαρτύρων τῶν μακκαβαίων, καὶ τῆς μητρὸς αὐτῶν σολομονῆς. καὶ τοῦ διδασκάλου αὐτῶν ἐλεαζάρου. Ἰδιόμελον ἦχος α.

Ψ αἱ ἀλγηδόνας τῶν ἁγίων, αἳ ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι κέ. καὶ πάσας ἡμῶν τὰς ὀδύνας ἴασαι φιλάνθρωπε δεόμεθα :~

δόξα καὶ νῦν. σῶσον κύριε τὸν λαόν σου.

κοντάκιον, τὰ ἄνω ζητῶν.

Σ οφίας θῦ, οἱ στύλοι οἱ ἑπτάριθμοι. τοῦ θείου φωτὸς, οἱ λύχνοι οἱ ἑπτάφωτοι, μακκαβαῖοι πάνσοφοι, πρὸ μαρτύρων μέγιστοι μάρτυρες. σὺν αὐτοῖς τὸν πάντων θεὸν αἰτεῖσθε σωθῆναι τοὺς τιμῶντας ὑμᾶς :~

β' ἡ ἀνακομιδὴ τοῦ λειψάνου. τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου στεφάνου. Ἰδιόμελον ἦχος δ.

Β ασίλειον διάδημα ἐστέφθη σὴ κορυφή. ἐξ ἄθλων ὧν ὑπέμεινας ὑπὲρ Χυ τοῦ θῦ, μαρτύρων πρωτόαθλε. σὺ γὰρ τὴν ἰουδαίων ἀπελέγξας μανίαν, εἶδες σου τὸν σωτῆρα τοῦ πρὸς δεξιὰ θεν. αὐτὸν οὖν ἐκδυσώπει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν :~

κοντάκιον ἦχος πλδ.

Π ρῶτος ἐσπάρης ἐπὶ γῆς ὑπὸ τοῦ οὐρανίου γεωργοῦ πανεύφημε. πρῶτος τὸ αἷμα ἐπὶ τῆς γῆς διὰ Χν ἐξέχεας μακάριε. πρῶτος ὑπ' αὐτοῦ τὸν τῆς νίκης στέφανον ἀνεδήσω. ἐν οὐρανοῖς ἀθλητῶν προοίμιον, στεφανίτα τῶν μαρτύρων ὁ πρώταθλος :~

γ τῶν ὁσίων πρων ἡμῶν ἰσαακίου, δαλμάτου, καὶ



Digitized by Google

φαύστου. Τροπάριον. ὁ θς τ̄ πρω̄ ἡμ̄.

κοντάκιον ἦχος β΄. τὴν ἐν πρεσβείαις.

Τοὺς ἐν ἀσκήσει ἐκλάμψαντας ὡς φωστῆρας, καὶ τὰς αἱρέσεις ἀνατρέψαντας τῇ πίστει, ὕμνοις ἰσαάκιον εὐφημήσωμεν, καὶ σὺν δαλμάτῳ φαῦστον, ὡς τοῦ χῦ θεράποντας. αὐτὸν δυσωποῦντας, ὑπὲρ πάντων ἡμῶν:~

δ΄ τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν ἐφέσῳ. καὶ τῆς ἁγίας ὁσιομάρτυρος εὐδοκίας. Τροπάριον. οἱ μάρτυρές σου κε. κοντάκιον, ὁ ὑψωθεὶς ἐν τῷ.

Οἱ τὰ τοῦ κόσμου ὡς φθαρτὰ παριδόντες, καὶ τὰς ἀφθάρτους δωρεὰς εἰληφότες κατὰ φθορᾶς διέμειναν τεθνήξαντες ἐκτός. ὅθεν ἐξανίστανται, μετὰ πλείονας χρόνους. ἅπασαν ἐνθάψαντες, δυσμενῶν ἀπιστίαν· οὓς ἐν αἰνέσει σήμερον πιστοί, ἀνευφημοῦντες χν̄ ἀνυμνήσωμεν:~

ε΄ προεόρτια τῆς μεταμορφώσεως τοῦ κυ ἡμ̄ ιυ χυ, καὶ τοῦ ἁγίου μάρτυρος εὐσιγνίου. Τροπάριον. ἦχος δ΄.

Χῦ τὴν μεταμόρφωσιν προϋπαντήσωμεν, φαιδρῶς πανηγυρίζοντες τὰ προεόρτια πιστοί, καὶ βοήσωμεν ἔφθασεν ἡ ἡμέρα τῆς ἐνθέου εὐφροσύνης. ἄνεισιν εἰς τὸ ὄρος τὸ θαβὼρ ὁ δεσπότης. τ̄ θεότητος ἀπαστράψαι τὴν ὡραιότητα:~

κοντάκιον ἦχος δ΄. ἐπεφάνης σήμερον.

Ἐν τῇ θείᾳ σήμερον μεταμορφώσει, ἡ βροτεία ἅπασα φύσις προλάμπει θεϊκῶς. ἐν εὐφροσύνῃ κραυγάζουσα, μεταμορφοῦται χς σώζων ἅπαντας:~

Digitized by Google

ϛ΄ ἡ ἁγία μεταμόρφωσις τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ. τροπάριον, ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ ὄρει χριστὲ ὁ θεός, δείξας τοῖς μαθηταῖς σου τὴν δόξαν σου καθὼς ἠδύναντο. λάμψοι καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς θεοτόκου, φωτοδότα δόξα σοι:~

τροπάριον, ἦχος ὁ αὐτός.

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης. καὶ ὡς ἐχώρουν οἱ μαθηταί σου, τὴν δόξαν σου χριστὲ ὁ θεὸς ἐθεάσαντο. ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον. τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ πατρὸς τὸ ἀπαύγασμα:~

ζ΄ τοῦ ἁγίου ὁσιομάρτυρος δομετίου. τροπάριον, καὶ κοντάκιον, τῆς ἑορτῆς.

η΄ τοῦ ἁγίου αἰμιλιανοῦ τοῦ ὁμολογητοῦ κυζίκου, ὁμοίως.

θ΄ τοῦ ἁγίου ἀποστόλου ματθίου. τροπάριον. ἀπόστολε ἅγιε.

κοντάκιον. ἦχος δ΄. ἐπεφάνης σήμερον.

Φωστὴρ ὡς ἥλιος εἰς πάντα κόσμον. ἐξελθὼν ὁ φθόγγος σου, καταφωτίζει τῶν ἐθνῶν. τὴν ἐκκλησίαν ἐν χάριτι. θαυματοφόρε ματθία ἀπόστολε.

ι΄ τοῦ ἁγίου μάρτυρος καὶ ἀρχιδιακόνου λαυρεντίου. τροπάριον. ὁ μάρτυς σου κύριε.

κοντάκιον, τὰ ἄνω ζητῶν.

Πυρὶ θεϊκῷ, φλεχθεὶς τὴν καρδίαν σου. τὸ πῦρ τῶν παθῶν, εἰς τέλος ἀπετέφρωσας. ἀθλητῶν ἑδραίωμα. θεοφόρε μάρτυς λαυρέντιε. καὶ ἐν ἄθλοις ἐβόας πιστῶς, οὐδέν με χωρίσει τῆς ἀγάπης χριστοῦ:~

Digitized by Google

ια΄ Τοῦ ἁγίου μάρτυρος καὶ ἀρχιδιακόνου εὔπλου.

Τροπάριον. Ὁ μάρτυς σου.

Κοντάκιον ἦχος α΄. Χορὸς ἀγγελικός.

Τοὺς νόμους τοῦ Χριστοῦ, ἐν χερσὶ περιφέρων· ἐπέστης ἐκβοῶν τοῖς ἐχθροῖς ἐν σταδίῳ. αὐτόκλητος πάρειμι ἐναθλῆσαι στερρότατα. ὅθεν κλίνας σου περιχαρῶς τὸν αὐχένα. ἀπεδέδεξαι τὴν ἐκτομὴν τὴν τοῦ ξίφους. τελέσας τὸν δρόμον σου.

ιβ΄ Τῶν ἁγίων μαρτύρων φωτίου καὶ ἀνικήτου ἐν ταύτῃ τῇ ἡμέρᾳ. συμψάλλεται καὶ ἡ ἀκολουθία τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ μαξίμου. Τροπά. Οἱ μάρτυρές σου κύριε. καὶ τὸ. Ὀρθοδοξίας ὁδηγέ. κοντάκιον, Τὴν ἐν πρεσβείαις.

Τῆς ἐκκλησίας ὑπέρμαχε θεηγόρε. ὀρθοδοξίας ἀσφάλεια καὶ λαμπρότης. λύρα καὶ ὄργανον τῆς εὐσεβείας. τῶν μοναστῶν τὸ θεῖον καὶ ἱερὸν ἐγκαλλώπισμα, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

ιγ΄ Τοῦ ὁσίου πατρὸς ἡμῶν μαξίμου τοῦ ὁμολογητοῦ. ἐν ταύτῃ τῇ ἡμέρᾳ, ἀποδίδοται ἡ ἑορτή. ἡ δὲ τοῦ ἁγίου ἀκολουθία ὡς ἄνωθεν εἴρηται, ψάλλεται εἰς τὰς δώδεκα.

ιδ΄ Προεόρτια τῆς κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου, καὶ τοῦ ἁγίου προφήτου μιχαίου. Τροπάριον, ἦχος δ΄.

Λαοὶ προσκιρτήσατε; χεῖρας κροτοῦντες πιστῶς, καὶ πόθῳ ἀθροίσθητε, σήμερον χαίροντες, καὶ φαιδρῶς ἀλαλάζοντες, πάντες ἐν εὐφροσύνῃ. τοῦ θεοῦ γὰρ ἡ μήτηρ, μέλλει τῶν περιγείων πρὸς τὰ

Digitized by Google

ἄνω ἀπαίρειν ἐνδόξως, ἣν ὕμνοις ἀεὶ ὡς θεοτόκον δοξάζομεν:~

Κοντάκιον, ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῇ ἐνδόξῳ μνήμῃ σου ἡ οἰκουμένη· προσκιρτῶσα σήμερον, μετ' εὐφροσύνης μυστικῶς· θεοκυῆτορ κραυγάζει σοι· χαίροις παρθένε, χριστιανῶν τὸ καύχημα:~

ιε' Ἡ κοίμησις τῆς ὑπεραγίας ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Τροπάριον. ἦχος α'.

Ἐν τῇ γεννήσει τὴν παρθενίαν ἐφύλαξας. ἐν τῇ κοιμήσει τὸν κόσμον οὐ κατέλιπες· θεοτόκε μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς, λυτρουμένη ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν:~ Κοντάκιον ἦχος β'.

Τὴν ἐν πρεσβείαις ἀκοίμητον θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν. ὡς γὰρ ζωῆς μητέρα πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον:~

ιϛ' Ἡ ἐξ Ἐδέσσης ἀνακομιδὴ τῆς ἀχειροποιήτου εἰκόνος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἤτοι τοῦ ἁγίου μανδυλίου. καὶ τοῦ ἁγίου μάρτυρος Διομήδους. Τροπάριον. ἦχος β'.

Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν ἀγαθέ. αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν Χριστὲ ὁ θεός. βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ. ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ. ὅθεν εὐχαρίστως βοῶμέν σοι, χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον:~ Δόξα τοῦ ἁγίου.

ὁ μάρτυς σου κε. καὶ νῦν, τῆς ἑορτῆς.

ιζ΄ τοῦ ἁγίου μάρτυρος μύρωνος. Τροπάριον, καὶ κοντάκιον, τῆς ἑορτῆς.

ιη΄ τῶν ἁγίων μαρτύρων φλώρου, καὶ λαύρου. ὁμοίως.

ιθ΄ τοῦ ἁγίου μάρτυρος ἀνδρέου τοῦ στρατηλάτου, καὶ τῶν σὺν αὐτῷ δισχιλίων πεντακοσίων ἐννενήκοντα τριῶν.

κ΄ τοῦ ἁγίου προφήτου σαμουήλ, καὶ τῆς ἑορτῆς. ὁμοίως.

κα΄ τοῦ ἁγίου ἀποστόλου θαδδαίου, καὶ τῆς ἁγίας μάρτυρος βάσσης. Τροπάριον. ἀπόστολε ἅγιε.

κβ΄ τοῦ ἁγίου μάρτυρος ἀγαθονίκου. ἐν ταύτῃ τῇ ἡμέρᾳ συμψάλλεται καὶ ἡ ἀκολουθία τοῦ ἁγίου λούππου. Τροπάριον τῆς ἑορτῆς, καὶ τῶν ἁγίων. οἱ μάρτυρές σου κε. καὶ κοντάκιον, τῆς ἑορτῆς.

κγ΄ τοῦ ἁγίου μάρτυρος λούππου. ἐν ταύτῃ τῇ ἡμέρᾳ, ἀποδίδοται ἡ ἑορτή, ὁ δὲ ἅγιος λοῦππος, προεψάλθη, τῇ κβ΄.

κδ΄ τοῦ ἁγίου ἱερομάρτυρος εὐτυχοῦς, μαθητοῦ τοῦ ἁγίου ἰωάννου τοῦ θεολόγου. Τροπάριον. καὶ τρόπων μέτοχος, καὶ θρόνων.

κε΄ ἡ ἐπάνοδος τοῦ λειψάνου τοῦ ἁγίου ἀποστόλου βαρθολομαίου. καὶ μνήμη τοῦ ἁγίου ἀποστόλου τίτου. Τροπάριον. ἀπόστολοι ἅγιοι. κοντάκιον. ἦχος β΄. τὰ ἄνω ζητῶν.

Τοῦ παύλου δειχθεὶς, συνόμιλος ἀπόστολε. σὺν τούτῳ ἡμῖν, τὸν λόγον προκατήγγειλας, τῆς ἐνθέου χάριτος μυστολέκτα τίτε ἀοίδιμε. διὰ τοῦτο βοῶμέν σοι, πρέσβευε μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

Digitized by Google

κϛ΄ τῶν ἁγίων μαρτύρων ἀδριανοῦ καὶ ναταλίας. Τροπ. οἱ μάρτυρές σου κε. κοντάκιον πρὸς τὸ. ἐπεφάνης.

Γυναικὸς θεόφρονος, τοὺς θείους λόγους. ἐν καρδίᾳ θέμενος ἀδριανὲ μάρτυς χριστοῦ. ἐν ταῖς βασάνοις προσέδραμες, σὺν τῇ συζύγῳ τὸ στέφος δεξάμενος.

κζ΄ τοῦ ὁσίου πατρὸς ἡμῶν ποιμένος. Τροπάριον. Ταῖς τῶν δακρύων σου ῥοαῖς.

κη΄ τοῦ ὁσίου πατρὸς ἡμῶν μωσέως τοῦ αἰθίοπος. Τροπάριον, ἦχος α΄. τῆς ἐρήμου πολίτης. κοντάκιον, ἦχος γ΄. θείας πίστεως.

Θείαν ἔλαμψιν καταπλουτήσας, σκότος ἔλυσας παθῶν παμμάκαρ. καὶ ταῖς ἀλύποις προσευχαῖς σου ἐμάρανας. καὶ τῆς σαρκὸς ἐπαιρόμενον φρόνημα. καὶ πρὸς τὴν ἄνω ἐπέβης ἀκρόπολιν. πάτερ ὅσιε, χριστὸν τὸν θεὸν ἱκέτευε. δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος:~

κθ΄ ἡ ἀποτομὴ τῆς τιμίας κεφαλῆς τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ ἰωάννου. Τροπάριον, ἦχος β΄.

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων. σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ κυρίου πρόδρομε. ἀνεδείχθης γὰρ ὄντως, καὶ προφητῶν σεβασμιώτερος. ὅτι ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας χαίρων, εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος:~

κοντάκιον, ἦχος πλ. α΄.

Digitized by Google

μὴν αὔγουστος.

Ἡ τοῦ προδρόμου ἔνδοξος ἀποτομὴ, οἰκονομία γέγονε τὶς θεϊκή. ἵνα καὶ τοῖς ἐν ᾅδη, τοῦ σωτῆρος κηρύξη τὴν ἔλευσιν. θρηνείτω οὖν ἡρωδιὰς, ἄνομον φόνον αἰτήσασα. οὐ νόμον γὰρ τὸν τοῦ θεοῦ. οὐ ζῶντα αἰῶνα ἠγάπησεν, ἀλλ᾽ ἐπίπλαστον πρόσκαιρον:~

λ᾽ τῇ ἐν ἁγίοις πατέρων ἡμῶν, τῶν πατριαρχῶν κωνσταντινουπόλεως, ἀλεξάνδρου, ἰωάννου, καὶ παύλου τοῦ νέου. ἀπολυτίκιον, τοῦ προδρόμου. δόξα, τῶν ἁγίων. ὁ θεὸς τῶν πατέρων ἡμῶν.

καὶ κοντάκιον, τοῦ προδρόμου.

λα᾽ ἡ κατάθεσις τῆς τιμίας ζώνης, τῆς ὑπεραγίας θεοτόκου. ἀπολυτίκιον ἦχος πλ δ᾽.

Θεοτόκε ἀειπάρθενε, τῶν ἀνθρώπων ἡ σκέπη. ἐσθῆτα καὶ ζώνην τοῦ ἀχράντου σου σώματος, κραταιὰν τῇ πόλει σου περιβολὴν ἐδωρήσω. τῷ ἀσπόρῳ τόκῳ σου, ἄφθαρτα διαμείναντα. ἐπὶ σοὶ γὰρ καὶ φύσις καινοτομεῖται καὶ χρόνος. διὸ δυσωποῦμέν σε. εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος:~

κοντάκιον ἦχος β᾽. τὴν ἐν πρεσβείαις.

Τὴν θεοδόχον γαστέρα σου θεοτόκε, περιλαβοῦσα ἡ ζώνη σου ἡ τιμία, κράτος τῇ πόλει σου ἀπροσμάχητον. καὶ θησαυρὸς ὑπάρχει τῶν ἀγαθῶν ἀνέκλειπτος, ἡ μόνη τεκοῦσα ἀειπάρθενος:~

τέλος τοῦ μηνολογίου τοῦ ὅλου ἐνιαυτοῦ.

Digitized by Google

Ἀπολυτίκια καὶ κοντάκια τοῦ Τριωδίου, τὰ ἔξω παζίν, ἀρχόμενα ἀπὸ τῆς κυριακῆς τοῦ τελώνου καὶ τοῦ φαρισαίου. μέχρι τῶν ἁγίων πάντων.

Τῇ κυριακῇ τοῦ τελώνου καὶ τοῦ φαρισαίου. Τροπάριον, τὸ ἀναστάσιμον τοῦ ἤχου, καὶ κοντάκιον, ἦχος δ΄. Ἐπεφάνης σήμε.

Φαρισαίου φύγωμεν ὑψηγορίαν. καὶ τελώνου μάθωμεν τὸ ταπεινὸν ἐν στεναγμοῖς. πρὸς τὸν σωτῆρα κραυγάζοντες, ἵλαθι μόνε ἡμῖν εὐδιάλλακτε:~

Τῇ κυριακῇ τοῦ ἀσώτου. Τροπάριον τοῦ ἤχου καὶ κοντάκιον. Ἡ παρθένος σήμερον.

Τῆς πατρῴας δόξης σου, ἀποσκιρτήσας ἀφρόνως. ἐν κακοῖς ἐσκόρπισα ὅν μοι παρέδωκας πλοῦτον. ὅθεν σοι τὴν τοῦ ἀσώτου φωνὴν κραυγάζω. ἥμαρτον ἐνώπιόν σου πάτερ οἰκτίρμον. δέξαι με μετανοοῦντα καὶ ποίησόν με ὡς ἕνα τῶν μισθίων σου:~

Τῷ σαββάτῳ τῆς ἀπόκρεω. Τροπάριον, ἦχος πλ. δ΄.

Ὁ βυθῷ σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων μόνε δημιουργέ, ἀνάπαυσον κύριε τὰς ψυχὰς τῶν δούλων σου. ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ καὶ πλάστῃ καὶ θεῷ ἡμῶν:~ Κοντάκιον, ἦχος πλ. δ΄.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον χριστὲ τὰς ψυχὰς τῶν δούλων σου. ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος:~

Digitized by Google

τῇ κυριακῇ τῆς ἀπόκρεω. Τροπάριον, τὸ ἀναστάσιμον τοῦ ἤχου. καὶ κοντάκιον ἦχος α΄.

Ὅταν ἔλθῃς ὁ θεὸς ἐπὶ γῆς μετὰ δόξης. καὶ τρέμουσι τὰ σύμπαντα, ποταμὸς δὲ τοῦ πυρὸς πρὸ τοῦ βήματος ἕλκει, καὶ βίβλοι διανοίγονται, καὶ τὰ κρυπτὰ δημοσιεύονται, τότε ῥῦσαί με ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου. καὶ ἀξίωσόν με ἐκ δεξιῶν σου με στῆναι, κριτὰ δικαιότατε.

Τῷ σαββάτῳ τῆς τυροφάγου, μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἐν ἀσκήσει λαμψάντων ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν. Τροπάριον, ἦχος δ΄.

Ὁ θεὸς τῶν πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκειαν. μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν:~

κοντάκιον, ἦχος πλ. δ΄. ὡς ἀπαρχάς.

Ὡς εὐσεβείας κήρυκας, καὶ ἀσεβείας φιμωτάς, τῶν θεοφόρων τὸν δῆμον ἐφαίδρυνας. τῇ ὑφηλίῳ λάμποντα ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ τελείᾳ τοὺς σὲ δοξάζοντας καὶ μεγαλύνοντας, διαφύλαξον ψάλλειν καὶ ᾄδειν σοι, ἀλληλούϊα:~

Εἰδέναι χρή, ὅτι τῇ τετράδι καὶ παρασκευῇ τῆς τυροφάγου, μετὰ τὴν θ΄, ἐσθίομεν τυρὸν καὶ ὠά, διὰ τοὺς ἰακωβίτας καὶ τετραδίτας, κατὰ τὸν κανόνα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν νικηφόρου πατριάρχου κωνσταντινουπόλεως:~

τῇ κυριακῇ τῆς τυροφάγου, τροπάριον ἀναστάσιμον τοῦ ἤχου. καὶ κοντάκιον ἰδιόμελον, ἦχος πλ. β΄.

Τῆς

Τῆς σοφίας ὁδηγέ. φρονήσεως χορηγέ. τῶν ἀφρόνων παιδευτὰ, καὶ πτωχῶν ὑπερασπιστά· στήριξον συνέτισον τὴν καρδίαν μου δέσποτα. σὺ δίδου μοι λόγον, ὁ τοῦ πατρὸς λόγος. ἰδοὺ γὰρ τὰ χείλη μου οὐ κωλύσω ἐν τῷ κράζειν σοι, ἐλεῆμον ἐλέησόν με τὸν παραπεσόντα :~

Τῷ πρώτῳ σαββάτῳ τῶν νηστειῶν, μνήμην ἐπιτελοῦμεν τοῦ γενομένου θαύματος διὰ τῶν κολύβων, παρὰ τοῦ ἁγίου μεγαλομάρτυρος θεοδώρου τοῦ τύρωνος. Τροπάριον. ἦχος β'.

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα, ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως. ὁ ἅγιος μάρτυς θεόδωρος ἠγάλλετο. πυρὶ γὰρ ὁλοκαυτωθεὶς, ὡς ἄρτος ἡδὺς τῇ τριάδι προσήνεκται. ταῖς αὐτοῦ ἱκεσίαις χριστὲ ὁ θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν :~

Κοντάκιον, ἦχος πλ. δ'.

Πίστιν χριστοῦ ὡσεὶ θώρακα, ἔνδον λαβὼν ἐν καρδίᾳ σου· τὰς ἐναντίας δυνάμεις κατεπάτησας πολύαθλε. καὶ στέφει οὐρανίῳ ἐστέφθης αἰωνίως ὡς ἀήττητος.

Τῇ πρώτῃ κυριακῇ τῶν νηστειῶν, ἤτοι τῆς ὀρθοδοξίας. μνείαν ἐπιτελοῦμεν τῶν ἁγίων προφητῶν, μωϋσέως καὶ ἀαρὼν, καὶ τῶν λοιπῶν. καὶ τῆς τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἀναστηλώσεως. Τροπάριον τοῦ ἤχου. δόξα. ἦχος β'.

Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν χριστὲ ὁ θεός. βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου. ὅθεν εὐχαρίστως βοῶμέν σοι. χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.



Digitized by Google

καὶ νῦν, θεοτοκίον τὸ πρῶτον τοῦ αὐτοῦ ἤχου.
κοντάκιον, ἰδιόμελον. ἦχος πλαγίου δ΄.

Ὁ ἀπερίγραπτος λόγος τοῦ πατρὸς, ἐκ σοῦ θεοτόκε περιεγράφη σαρκούμενος. καὶ τὴν ῥυπωθεῖσαν εἰκόνα εἰς τὸ ἀρχαῖον ἀναμορφώσας, τῷ θείῳ κάλλει συγκατέμιξεν. ἀλλ' ὁμολογοῦντες τὴν σωτηρίαν. ἔργῳ καὶ λόγῳ ταύτην ἀνιστοροῦμεν. Τῇ αὐτῇ ἑσπέρᾳ ψάλλομεν τὸ παρὸν προκείμενον εἰς ἦχον τὸν δ΄. ἤγουν τό.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι ταχὺ ἐπάκουσόν μου.
στίχος. ἡ σωτηρία σου ὁ θεὸς ἀντιλάβοιτό μου.
στίχος. ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν.
τῇ δὲ ἑσπέρᾳ τῆς δευτέρας κυριακῆς, ὁμοίως τὸ παρὸν προκείμενον εἰς ἦχον πλαγίου δ΄.

Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.
στίχος. ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σέ.
στίχος. σκεπασθήσομαι ἐν τῇ σκέπῃ.
ψάλλεται δὲ ἓν παρ' ἓν ἑκάστῃ κυριακῇ, μέχρι τῆς τελευταίας κυριακῆς τῶν νηστειῶν. τῇ τρίτῃ κυριακῇ τῶν νηστειῶν, ἑορτάζομεν τὴν προσκύνησιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. τροπάριον τὸ ἀναστάσιμον. δόξα.

Σῶσον κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ σταυροῦ σου πολίτευμα.
καὶ νῦν θεοτοκίον, τὸ πρῶτον τοῦ ἤχου.
κοντάκιον ἰδιόμελον, ἦχος βαρύς.

Οὐκέτι φλογίνη ῥομφαία φυλάττει τὴν πύλην τῆς Ἐδέμ· αὐτῇ γὰρ ἐπέστη παράδοξος σβέσις τὸ ξύλον

τοῦ σταυροῦ. θανάτου τὸ κέντρον, καὶ ᾅδου τὸ νῖκος ἐμύλ
λακτο. ἐπέστη δὲ στίρμου βοῶν τοῖς ἐν ᾅδῃ, εἰσάγε
σθε πάλιν εἰς τὸν παράδεισον :~ τῇ δ' κυριακῇ
τῶν νηστειῶν, ψάλλομεν τὴν ἀκολουθίαν τοῦ ὁσίου πρς
ἡμῶν ἰωάννου τοῦ συγγραφέως τῆς κλίμακος. τροπά. καὶ
κοντάκιον, ζήτει μαρτίῳ δ'. τῇ μὲν πέμπτῃ τῆς αὐ
τῆς ἑβδομάδος, ὁμοίως ψάλλομεν τὴν ἀκολουθίαν
τοῦ μεγάλου κανόνος. κοντάκιον, ἦχος πλ β'.

Ψυχή μου ψυχή μου, ἀνάστα τί καθεύδεις, τὸ τέ-
λος ἐγγίζει καὶ μέλλεις θορυβεῖσθαι. ἀνάνηψον
οὖν ἵνα φείσηταί σου Χς ὁ θς, ὁ πανταχοῦ πα
ρὼν καὶ τὰ πάντα πληρῶν :~

τῷ δὲ σαββάτῳ, ψάλλομεν τὸν εἰς τὴν ὑπεραγίαν
θεοτόκον ἀκάθιστον ὕμνον. τροπάριον, ἦχος πλ δ'.

Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει. ἐν τῇ
σκηνῇ τοῦ Ἰωσὴφ, σπουδῇ ἐπέστη. ὁ ἀσώματος λέγων
τῇ ἀπειρογάμῳ. ὁ κλίνας τῇ καταβάσει τοὺς οὐρανούς.
χωρεῖται ἀναλλοιώτως ὅλως ἐν σοί. ὃν καὶ βλέπων
ἐν μήτρᾳ σου. λαβόντα δούλου μορφὴν, ἐξίσταμαι
κραυγάζων σοι, χαῖρε νύμφη ἀνύμφευτε :~ κοντά
κιον, τῇ ὑπερμάχῳ, ζήτει μαρτίῳ, κε'. τῇ ε' κυρια
κῇ τῶν νηστειῶν, ψάλλομεν τὴν ἀκολουθίαν τῆς ὁσίας
μρς ἡμῶν μαρίας τῆς αἰγυπτίας. τροπά. ἦχος πλ δ'.
ἐν σοὶ μῆτερ ἀκριβῶς. κοντάκιον, ἦχος δ'.

Τῆς ἁμαρτίας τὴν ἀχλὺν ἐκφυγοῦσα, τῆς μετα-
νοίας τῷ φωτὶ αὐγασθεῖσα, τὴν σὴν καρδίαν ἐν-
δόξε προσήξας Χῷ. τούτου τὴν πανάμωμον καὶ
ἁγίαν μητέρα, πρέσβιν συμπαθέστατον προσενέγ-



Digitized by Google

κας. ὅθεν καὶ τῶν πταισμάτων ὥρες ἀποχλὴν, καὶ
σὺν ἀγγέλοις ἀεὶ ἐπαγάλλεσαι :~ τῷ σαββάτῳ τοῦ
ἁγίου καὶ δικαίου Λαζάρου. ἀπολυτίκιον, ἦχος α΄.

Τὴν κοινὴν ἀνάστασιν πρὸ τοῦ σοῦ πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον Χριστὲ ὁ Θεός. ὅθεν καὶ ἡμεῖς ὡς οἱ παῖδες τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ νικητῇ τοῦ θανάτου βοῶμεν. ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου :~ κοντάκιον, ἦχος β΄. τὰ ἄνω ζητῶν.

Ἡ πάντων χαρὰ, Χριστὸς ἡ ἀλήθεια, τὸ φῶς ἡ ζωὴ, τοῦ κόσμου ἡ ἀνάστασις, τοῖς ἐν γῇ πεφανέρωται, τῇ αὐτοῦ ἀγαθότητι, γεγονὼς τύπος τῆς ἀναστάσεως, καὶ πᾶσι παρέχων θείαν ἄφεσιν :~ τῇ κυριακῇ τῶν βαΐων

ἀπολυτίκιον. τὴν κοινὴν ἀνάστασιν,
ἐκ δευτέρου. καὶ τοῦτο ἅπαξ, ἦχος δ΄.

Συνταφέντες σοι διὰ τοῦ βαπτίσματος Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν, τῇ ἀναστάσει σου. καὶ ἀνυμνοῦντες κράζομεν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. ἀπὸ γ΄ ᾠδῆς ἡ ὑπακοή. ἦχος πλ. β΄.

Μετὰ κλάδων ὑμνήσαντες πρότερον, μετὰ ξύλων συνέλαβον ὕστερον, οἱ ἀγνώμονες Χριστὸν, Ἰουδαῖοι τὸν Θεόν. ἡμεῖς δὲ πίστει ἀμεταθέτῳ ἀεὶ τιμῶντες ὡς εὐεργέτην, διαπαντὸς βοήσωμεν αὐτῷ, εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι :~

κοντάκιον, ἦχος πλ. β΄.

Τῷ θρόνῳ ἐν οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς ἐποχούμενος Χριστὲ ὁ Θεὸς, τῶν ἀγγέλων τὴν αἴνεσιν καὶ τῶν παίδων ἀνύμνησιν, προσεδέξω βοώντων σοι, εὐλογη-

Digitized by Google

μένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.
Τῇ ἁγίᾳ καὶ μεγάλῃ δευτέρᾳ. ἐν τῷ ὄρθρῳ, εἰς τὸ
ἀλληλούϊα. Τροπάριον, ἦχος πλ. δ'.

Ἰδοὺ ὁ νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός, καὶ
μακάριος ὁ δοῦλος ὃν εὑρήσει γρηγοροῦντα. ἀνά-
ξιος δὲ πάλιν ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε
οὖν ψυχή μου μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ
θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλει-
σθῇς. ἀλλὰ ἀνάνηψον κράζουσα. ἅγιος, ἅγιος, ἅ-
γιος εἶ ὁ θεός, διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς.

Κοντάκιον. ὡς ἀπαρχάς.

Ὁ Ἰακὼβ ὠδύρετο, τοῦ Ἰωσὴφ τὴν στέρησιν, καὶ ὁ γεν-
ναῖος ἐκάθητο ἅρματι ὡς βασιλεὺς τιμώμενος.
τῆς αἰγυπτίας γὰρ τότε ταῖς ἡδοναῖς μὴ δουλεύσας,
ἀντεδοξάζετο παρὰ τοῦ βλέποντος τὰς τῶν ἀνθρώπων καρ-
δίας, καὶ νέμοντος στέφος ἄφθαρτον. Τῇ ἁγίᾳ
καὶ μεγάλῃ γ'. τροπάριον. ἰδοὺ ὁ νυμφίος ἔρχεται.

Κοντάκιον, ἦχος β'. τὰ ἄνω ζητῶν.

Τὴν ὥραν ψυχή, τοῦ τέλους ἐννοήσασα. καὶ τὴν ἐκ-
κοπὴν τῆς συκῆς δειλιάσασα, τὸ δοθέν σοι τάλαν-
τον φιλοπόνως ἔργασαι ταλαίπωρε. γρηγοροῦσα
καὶ κράζουσα, μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.
Τῇ ἁγίᾳ καὶ μεγάλῃ δ'. τροπάριον, τὸ αὐτό.

Κοντάκιον, ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ὑπὲρ τὴν πόρνην ἀγαθὲ ἀνομήσας, δακρύων ὄμ-
βρους οὐδαμῶς σοι προσήνεγκα, ἀλλὰ σιγῇ δεόμενος
προσπίπτω σοι. πόθῳ ἀσπαζόμενος τοὺς ἀχράν-
τους σου πόδας, ὅπως μοι τὴν ἄφεσιν ὡς δεσπότης

καλέσαι. ὅθεν καὶ τῶν πλασμάτων ὥρες ἀποχλῶ, καὶ σὺν ἀγγέλοις ἀεὶ ἐπαγάλλεσθαι :~ Τῷ σαββάτῳ τοῦ ἁγίου καὶ δικαίου Λαζάρου. Ἀπολυτίκιον, ἦχος α'.

Τὴν κοινὴν ἀνάστασιν πρὸ τοῦ σοῦ πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον Χριστὲ ὁ Θεός, ὅθεν καὶ ἡμεῖς ὡς οἱ παῖδες τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ νικητῇ τοῦ θανάτου βοῶμεν. ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου :~ Κοντάκιον, ἦχος β'. τὰ ἄνω ζητῶν.

Ἡ πάντων χαρά, Χριστὸς ἡ ἀλήθεια. τὸ φῶς ἡ ζωή, τοῦ κόσμου ἡ ἀνάστασις. τοῖς ἐν γῇ πεφανέρωται, τῇ αὐτοῦ ἀγαθότητι, γεγονὼς τύπος τῆς ἀναστάσεως, καὶ πᾶσι παρέχων θείαν ἄφεσιν :~ Τῇ κυριακῇ τῶν βαΐων Ἀπολυτίκιον. Τὴν κοινὴν ἀνάστασιν,

ἐκ δευτέρου. καὶ τοῦτο ἅπαξ, ἦχος δ'.

Συνταφέντες σοι διὰ τοῦ βαπτίσματος Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν, τῇ ἀναστάσει σου. καὶ ἀνυμνοῦντες κράζομεν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. ἀπὸ γ' ᾠδῆς ἡ ὑπακοή. ἦχος πλ. β'.

Μετὰ κλάδων ὑμνήσαντες πρότερον. μετὰ ξύλων συνέλαβον ὕστερον, οἱ ἀγνώμονες Χριστόν, Ἰουδαῖοι τὸν Θεόν. ἡμεῖς δὲ πίστει ἀμεταθέτῳ ἀεὶ τιμῶντες ὡς εὐεργέτην, διαπαντὸς βοήσωμεν αὐτῷ, εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι :~

Κοντάκιον. ἦχος πλ. β'.

Τῷ θρόνῳ ἐν οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς ἐποχούμενος Χριστὲ ὁ Θεός, τῶν ἀγγέλων τὴν αἴνεσιν καὶ τῶν παίδων ἀνύμνησιν, προσεδέξω βοώντων σοι, εὐλογη-

μένος εἰ ὁ ἐρχόμενος τὸν ἀδὰμ ἀνακαλέσασθαι:~
τῇ ἁγίᾳ καὶ μεγάλῃ δευτέρᾳ. ἐν τῷ ὄρθρῳ, εἰς τὸ
ἀλληλούϊα. τροπάριον, ἦχος πλ δ'.
Ἰδοὺ ὁ νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτὸς, καὶ
μακάριος ὁ δοῦλος ὃν εὑρήσει γρηγοροῦντα. ἀνά-
ξιος δὲ πάλιν ὃν εὑρήσει ῥαθυμοῦντα. βλέπε
οὖν ψυχή μου μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ
θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλει-
σθῇς. ἀλλὰ ἀνάνηψον κράζουσα. ἅγιος, ἅγιος, ἅ-
γιος εἶ ὁ θεὸς, διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς:~
κοντάκιον. ὡς ἀπαρχάς.
Ὁ ἰακὼβ ὠδύρετο, τοῦ ἰωσὴφ τὴν στέρησιν, καὶ ὁ γεν-
ναῖος ἐκάθητο ἅρματι ὡς βασιλεὺς τιμώμενος.
τῆς αἰγυπτίας γὰρ τότε ταῖς ἡδοναῖς μὴ δουλεύσας,
ἀντεδοξάζετο παρὰ τοῦ βλέποντος τὰς τῶν ἀνθρώπων καρ-
δίας, καὶ νέμοντος στέφος ἄφθαρτον:~ τῇ ἁγίᾳ
καὶ μεγάλῃ γ'. τροπά. ἰδοὺ ὁ νυμφίος ἔρχεται.
κοντάκιον, ἦχος β'. τὰ ἄνω ζητῶν.
Τὴν ὥραν ψυχὴ, τοῦ τέλους ἐννοήσασα. καὶ τὴν ἐκ-
κοπὴν τῆς συκῆς δειλιάσασα, τὸ δοθέν σοι τάλαν-
τον φιλοπόνως ἔργασαι ταλαίπωρε. γρηγοροῦσα
καὶ κράζουσα, μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ:~
τῇ ἁγίᾳ καὶ μεγάλῃ δ'. τροπάριον τὸ αὐτό.
κοντάκιον, ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.
Ὑπὲρ τὴν πόρνην ἀγαθὲ ἀνομήσας, δακρύων ὄμ-
βρους οὐδαμῶς σοι προσήνεξα, ἀλλὰ σιγῇ δεόμενος
προσπίπτω σοι. πόθῳ ἀσπαζόμενος τοὺς ἀχράν-
τους σου πόδας, ὅπως μοι τὴν ἄφεσιν ὡς δεσπότης

παράσχης τῶν ὀφλημάτων κράζοντι σῶτερ ἐκ τοῦ βορβόρου τῶν ἔργων μου ῥῦσαί με:~

τῇ ἁγίᾳ καὶ μεγάλῃ ε΄. εἰς τὸ ἀλληλούϊα.

τροπάριον. ἦχος πλ. δ΄.

Ὅτε οἱ ἔνδοξοι μαθηταί, ἐν τῷ νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβής, φιλαργυρίαν νοσήσας ἐσκοτίζετο, καὶ ἀνόμοις κριταῖς, σὲ τὸν δίκαιον κριτὴν παραδίδωσι. βλέπε χρημάτων ἐραστά, τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον. φεῦγε ἀκόρεστον ψυχήν, τὴν διδασκάλῳ τοιαῦτα τολμήσασαν. ὁ περὶ πάντων ἀγαθὸς κύριε δόξα σοι:~

κοντάκιον, ἦχος β΄. τὰ ἄνω ζητῶν.

Τὸν ἄρτον λαβὼν, εἰς χεῖρας ὁ προδότης, κρυφίως αὐτάς, ἐκτείνει καὶ λαμβάνει. τὴν τιμὴν τοῦ πλάσαντος, ταῖς οἰκείαις χερσὶ τὸν ἄνθρωπον. καὶ ἀδιόρθωτος ἔμεινεν, Ἰούδας ὁ δοῦλος καὶ δόλιος:~

τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ. τροπάριον, τὸ, ὅτε οἱ ἔνδοξοι μαθηταί.

καὶ κοντάκιον ἰδιόμελον, ἦχος πλαγίου δ΄.

Τὸν δι᾽ ἡμᾶς σταυρωθέντα, δεῦτε πάντες ὑμνήσωμεν. αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν. εἰ καὶ σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ υἱὸς καὶ θεός μου:~

τροπάριον εἰς τὴν ἀπόλυσιν. ἦχος δ΄.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου. τῷ τιμίῳ σου αἵματι. τῷ σταυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, σωτὴρ ἡμῶν δόξα σοι:~

τροπάριον τῆς πρώτης ὥρας, ἦχος α΄.

Digitized by Google

Σταυρωθέντος σου Χριστέ, ἀνῃρέθη ἡ τυραννίς. ἐπατή-
θη ἡ δύναμις τοῦ ἐχθροῦ. οὔτε γὰρ ἄγγελος, οὐκ ἄν-
θρωπος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσας ἡμᾶς δόξα σοι:~
δόξα καὶ νῦν. τί σε καλέσωμεν ὦ κεχαριτωμένη.

τροπάριον τῆς γ' ὥρας, ἦχος πλ β'.

Κύριε, κατέκριναν σε ἰουδαῖοι θανάτῳ, τὴν ζωὴν τῶν
ἁπάντων. οἱ τὴν ἐρυθρὰν ῥάβδῳ πεζεύσαντες,
σταυρῷ σε προσηλώσαν, καὶ οἱ ἐκ πέτρας μέλι θηλά-
σαντες, χολήν σοι προσήνεγκαν. ἀλλ' ἑκὼν ὑπέ-
μεινας, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῆς δουλείας τοῦ
ἐχθροῦ, Χριστὲ ὁ Θεὸς δόξα σοι:~ δόξα καὶ νῦν.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

τροπάριον τῆς ς' ὥρας, ἦχος β'.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεός, ἐπὶ
σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας. ἐπισυ-
νάγων πάντα τὰ ἔθνη κράζοντα, κύριε δόξα σοι:~
δόξα καὶ νῦν. ὅτι οὐκ ἔχομεν παρρησίαν.

τροπάριον τῆς ἐννάτης ὥρας, ἦχος πλ δ'.

Βλέπων ὁ λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐπὶ σταυροῦ κρε-
μάμενον ἔλεγεν. εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθεὶς ὁ
σὺν ἡμῖν σταυρωθείς, οὐκ ἂν ὁ ἥλιος τὰς ἀκτῖνας
ἐναπέκρυψεν. οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο.
ἀλλ' ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου κύριε ἐν τῇ
βασιλείᾳ σου:~ δόξα καὶ νῦν. ὁ δι' ἡμᾶς γεννηθεὶς
ἐκ παρθένου. κοντάκιον, ἦχος πλ δ'.

Τὸν δι' ἡμᾶς σταυρωθέντα, δεῦτε πάντες ὑμνήσωμεν. αὐ-
τὸν γὰρ κατεῖδε μαρία ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν, εἰ καὶ
σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ υἱὸς καὶ Θεός μου:~



Digitized by Google

τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ. τροπά. ἦχος β'.

Ὁ εὐσχήμων Ἰωσὴφ, ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα. σινδόνι καθαρᾷ εἱλίσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας, ἀπέθετο. δόξα.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς θεότητος. ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον, ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι. καὶ νῦν.

Ταῖς μυροφόροις γυναιξὶ, παρὰ τὸ μνῆμα ἐπιστὰς ὁ ἄγγελος ἐβόα. τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια. Χριστὸς δὲ διαφθορᾶς, ἐδείχθη ἀλλότριος.

κοντάκιον, ἦχος β'. χειρόγραφον εἰκόνα.

Τὴν ἄβυσσον ὁ κλείσας, νεκρὸς ὁρᾶται. καὶ σμύρνῃ καὶ σινδόνι ἐνειλημμένος, ἐν μνημείῳ κατατίθεται, ὡς θνητὸς ὁ ἀθάνατος. γυναῖκες δὲ αὐτὸν ἦλθον μυρίσαι, κλαίουσαι πικρῶς καὶ ἐκβοῶσαι. τοῦτο τὸ σάββατόν ἐστι τὸ ὑπερευλογημένον. ἐν ᾧ Χριστὸς ἀφυπνώσας, ἀναστήσεται τριήμερος.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ πάσχα. ἡ ὑπακοὴ ἀντὶ τροπαρίου, ἦχος δ'.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ ἀγγέλου τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον. βλέπετε τὰ ἐντάφια σπάργανα. δράμετε καὶ τῷ κόσμῳ κηρύξατε. ὡς ἠγέρθη ὁ κύριος, θανατώσας τὸν θάνατον. ὅτι ὑπάρχει θεοῦ υἱὸς,

τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

κοντάκιον, ἰδιόμελον. ἦχος πλ. δ΄.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν. καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος χαίρετε. καὶ τοῖς σοῖς ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν. Δεῖ εἰδέναι, ὅτι ἀπὸ ταύτης τῆς ἡμέρας τῆς ἁγίας καὶ μεγάλης κυριακῆς τοῦ πάσχα, μέχρι τοῦ σαββάτου τῆς διακαινησίμου αἱ ὧραι καὶ τὰ ἀπόδειπνα, ὑποψάλλονται. μετὰ τοῦ [illegible].

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος:~

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. τὸν σταυρόν σου Χριστὲ προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν. σὺ γὰρ εἶ θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. δεῦτε πάντες πιστοὶ προσκυνήσωμεν, τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν. ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. διὰ παντὸς εὐλογοῦντες τὸν κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ. σταυρὸν γὰρ ὑπομείνας, θανάτῳ θάνατον ὤλεσεν:~ ἐκ γ΄.

Προλαβοῦσαι τὸν ὄρθρον. Εἰ καὶ ἐν τάφῳ κα.

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς θεός. ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ μετὰ πατρὸς καὶ πνεύματος. πάντα πληρῶν ὁ ἀπερίγραπτος:~ δόξα.

Ὡς ζωηφόρος, ὡς παραδείσου ὡραιότερος, ὄντως καὶ

Digitized by Google

παςάδος πάσης βασιλικῆς, ἀμαδέδεικται λαμπεύτρος χε̄ ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναςάσεως :~ καὶ νῦν.

Τὸ ὃ ὑψίςου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ θκε̄ τοῖς κραυγάζουσιν, ὦ λογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις, παναμώμε δέσποινα:~ ψ ὁ κε̄ ἐλέησον μ'. καὶ λέγεται ςίχος.

τρ... δὲ ἡ τοιαύτη ἀκολουθία, ἔν τε ταῖς ὥραις. ὃ τῷ ἀποδείπνῳ. ὃ τῷ μεσονυκτικῷ. εἰς δὲ ὃ ἀπόδειπνον, λέγομεν ὃ τὴν ἀρχὴν ταύτην.

Ε ὐλογητὸς εἶ δέσποτα παντοκράτορ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ:~ καὶ τὰ λοιπὰ ζήτει ἐν τῷ τέλει ὃ ἑσπερινοῦ. ὃ Χς̄ ἀνέςη γ'. ὃ ἀπόλυσις. τῇ κυριακῇ ὃ ἁγίου ἀποςόλου θωμᾶ. τροπάριον, ἦχος βαρύς.

Ε σφραγισμένου ὃ μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας χε̄ ὁ θς̄. ὃ τῶν θυρῶν κεκλεισμένων, ταῖς μαθηταῖς ἐπέςης ἡ πάντων ἀνάςασις. πνᾶ ὦ ἐς δι' αὐτ̄ ἐγκαινίζων ἡμῖν, κατὰ ὃ μέγα σου ἔλεος:~ κοντάκιον. ἦχος πλαγίου δ'.

Τῇ φιλοπράγμονι δεξιᾶ, τὴν ζωοπάροχόν σου πλευρὰν, ὁ θωμᾶς ἐξηρεύνησε χε̄ ὁ θς̄. συγκεκλεισμένων γὰρ τῶν θυρῶν ὡς εἰσῆλθες σὺν τοῖς λοιποῖς ἀποςόλοις ἐβόα, κς̄ ὑπάρχεις ὃ θεός μου:~

τῇ κυριακῇ τῶν μυροφόρων. τροπάριον.

ὅτε κατῆλθες πρὸς τὸν θάνατον.

δόξα. ὁ εὐσχήμων ἰωσήφ. καὶ νῦν.

ταῖς μυροφόροις γυναιξί.

κοντάκιον ἰδιόμελον, ἦχος β'.

Ὁ χαίρε ταῖς μυροφόροις προσέταξας. τὸν θρῆνον τῶν προμητόρων Εὔας κατέπαυσας, τῇ ἀναστάσει σου Χριστὲ ὁ θεός. τοῖς ἀποστόλοις δὲ τοῖς σοῖς, κηρύττειν ἐπέταξας, ὁ σωτὴρ ἐξαναστὰς τοῦ μνήματος :~

τῇ κυριακῇ τοῦ παραλύτου. τροπάριον. τὸ ἀναστάσιμον. κοντάκιον, ἦχος γ'. ἡ παρθένος.

Τὴν ψυχήν μου κύριε, ἐν ἁμαρτίαις παντοίαις, καὶ ἀτόποις πράξεσι δεινῶς παραλελυμένην. ἔγειρον τῇ θεϊκῇ σου ἐπιστασίᾳ. ὥσπερ καὶ τὸν παράλυτον ἤγειρας λόγῳ. ἵνα κράζω σεσωσμένος, οἰκτίρμον δόξα Χριστὲ τῷ κράτει σου :~ τῇ τετάρτῃ τῆς μεσοπεντηκοστῆς. τροπάριον, ἦχος πλαγίου δ'.

Μεσούσης τῆς ἑορτῆς διψῶσάν μου τὴν ψυχὴν, εὐσεβείας πότισον νάματα. ὅτι πᾶσι σωτὴρ ἐβόησας ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω, ἡ πηγὴ τῆς ζωῆς ἡμῶν, Χριστὲ ὁ θεὸς δόξα σοι :~

κοντάκιον, ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τῆς ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων ποιητὴς καὶ δεσπότης, πρὸς τοὺς παρόντας ἔλεγες Χριστὲ ὁ θεὸς, δεῦτε καὶ ἀρρύσασθε ὕδωρ ἀθανασίας. ὅθεν σοι προσπίπτομεν, καὶ πιστῶς ἐκβοῶμεν. τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν. σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν :~ κυριακὴ τῆς σαμαρείτιδος. τροπάριον, τὸ ἀναστάσιμον. καὶ κοντάκιον, ἦχος πλαγίου δ'. πρὸς τὸ, τὴν Χριστοῦ ὥσει.

Πίστει ἐλθοῦσα ἐν τῷ φρέατι ἡ σαμαρεῖτις. ἐθεάσατο τὸ τῆς σοφίας ὕδωρ σε. ᾧ ποτισθεῖσα δαψιλῶς,

Digitized by Google

βασιλείαν τὴν ἄνωθεν ἐκληρώσατο αἰωνίως καὶ ἀοίδιμος:~ τῇ κυριακῇ τοῦ τυφλοῦ. τροπάριον, τὸ ἀναστάσιμον. καὶ κοντάκιον. ἐπεφάνης σήμερον.

Τῆς ψυχῆς τὰ ὄμματα πεπηρωμένος. σοὶ χριστὲ προσέρχομαι ὡς ὁ τυφλὸς ἐκ γενετῆς. ἐν μετανοίᾳ κραυγάζων σοι. σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον:~ τῇ πέμπτῃ τῆς ἀναλήψεως. τροπάριον ἦχος δ'.

Ἀνελήφθης ἐν δόξῃ χριστὲ ὁ θεὸς ἡμῶν. χαροποιήσας τοὺς μαθητὰς τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου πνεύματος. βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου:~ κοντάκιον. ἦχος πλ. β'.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανοῖς, ἀνελήφθης ἐν δόξῃ χριστὲ ὁ θεὸς, οὐδαμόθεν χωριζόμενος. ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε, ἐγώ εἰμι μεθ' ὑμῶν καὶ οὐδεὶς καθ' ὑμῶν:~ τῇ κυριακῇ τῶν ἁγίων τιη' θεοφόρων πατέρων, τῶν ἐν νικαίᾳ. τροπάριον, ἦχος πλ. δ'.

Ὑπερδεδοξασμένος εἶ χριστὲ ὁ θεὸς ἡμῶν. ὁ φωστῆρας ἐπὶ γῆς τοὺς πατέρας ἡμῶν θεμελιώσας. καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε δόξα σοι:~ κοντάκιον, ἦχος πλ. δ'.

Τῶν ἀποστόλων τὸ κήρυγμα. καὶ τῶν πατέρων τὰ δόγματα. τῇ ἐκκλησίᾳ μίαν τὴν πίστιν ἐσφράγισαν. ἣ καὶ χιτῶνα φοροῦσα τῆς ἀληθείας, τὸν ὑφαντὸν ἐκ τῆς ἄνω θεολογίας. ὀρθοτομεῖ καὶ δοξάζει, τῆς εὐσεβείας τὸ μέγα μυστήριον:~ τῷ σαββάτῳ πρὸ τῆς πεντηκοστῆς. μνήμη πάντων τῶν ἀπ' αἰῶνος κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν. τροπά

Digitized by Google

ειον. τὸ κοντάκιον ζήτει σαββάτῳ τῆς ἀπόκρεω.

τῇ κυριακῇ τῆς ἁγίας πεντηκοστῆς. τροπ. ἦχος πλ. δ′.

Εὐλογητὸς εἶ Χριστὲ ὁ θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον. καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας φιλάνθρωπε δόξα σοι:~

κοντάκιον, ἦχος πλ. δ′.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ ὕψιστος. ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον πνεῦμα:~

τῇ κυριακῇ τῶν ἁγίων πάντων. τροπ. τὸ ἀναστάσιμον, καὶ τῶν ἁγίων, ἦχος δ′.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα ἡ ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι Χριστὲ ὁ θεός. τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος:~

κοντάκιον, ἦχος πλ. δ′.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι κύριε, τοὺς θεοφόρους μάρτυρας. ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ βαθείᾳ, τὴν ἐκκλησίαν σου τὴν πολιτείαν σου, διὰ τῆς θεοτόκου συντήρησον πολυέλεε:~

Τὰ πολυτίκια ἀναστάσιμα τῶν ὀκτὼ ἤχων σὺν τοῖς θεοτοκίοις, καὶ ταῖς ὑπακοαῖς αὐτῶν. τροπά. ἦχος α′.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα,

ἀνέστης τριήμερος σῶτερ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν. διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι ζωοδότα. δόξα τῇ ἀναστάσει σου Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε:~ θεοτοκίον.

Τοῦ γαβριὴλ φθεγξαμένου σοι παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων δεσπότης. ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος δαβίδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου. δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου:~ ἡ ὑπακοή.

Ἡ τοῦ λῃστοῦ μετάνοια, τὸν παράδεισον ἐσύλησεν. ὁ δὲ θρῆνος τῶν μυροφόρων, τὴν χαρὰν ἐμήνυσεν, ὅτι ἀνέστης Χριστὲ ὁ θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος:~ ἦχος β'.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος. τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς θεότητος. ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον, ζωοδότα Χριστὲ ὁ θεὸς ἡμῶν δόξα σοι:~ θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ θεοτόκε μυστήρια. τῆς ἁγνείας ἐσφραγισμένης, καὶ παρθενίας φυλαττομένης. μήτηρ ἐγνώσθης ἀψευδής, θεὸν τεκοῦσα ἀληθινόν. αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν:~ ἡ ὑπακοή.

Μετὰ τὸ πάθος πορευθεῖσαι ἐν τῷ μνήματι, πρὸς τὸ μυρίσαι τὸ σῶμά σου αἱ γυναῖκες Χριστὲ ὁ θεός, εἶδον

ἀγγέλους ἐν τῷ τάφῳ καὶ ἐξέστησαν. φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν, ὅτι ἀνέστη ὁ κύριος, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος:~

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, ὁ κύριος ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον. πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος:~ θ΄.

ὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τῷ γένει ἡμῶν, ἀνυμνοῦμεν θεοτόκε παρθένε. ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ υἱός σου καὶ θεὸς ἡμῶν, τὸ διὰ σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος:~ ἡ ὑπακοή.

κπλήττων τῇ ὁράσει, δροσίζων τοῖς ῥήμασιν. ὁ ἀστράπτων ἄγγελος ταῖς μυροφόροις ἔλεγε. τὸν ζῶντα ζητεῖτε ἐν μνήματι; ἠγέρθη κενώσας τὰ μνήματα. τῆς φθορᾶς ἀλλοιωτήν, γνῶτε τὸν ἀναλλοίωτον. εἴπατε τῷ θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου, ὅτι τὸ γένος ἔσωσας τῶν ἀνθρώπων:~ ἦχ.

Ὁ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ ἀγγέλου μαθοῦσαι αἱ τοῦ κυρίου μαθήτριαι. καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς ἀποστόλοις καυχώμεναι ἔλεγον. ἐσκύλευται ὁ θάνατος. ἠγέρθη Χριστὸς ὁ θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος:~

Ὁ ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καὶ ἀγγέλοις ἄγνωστον μυστήριον. διὰ σοῦ θεοτόκε, τοῖς ἐπὶ γῆς πεφανέρωται. θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος. καὶ σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος. δι᾽ οὗ ἀνα-

Digitized by Google

σίας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς
ψυχὰς ἡμῶν :~ ὑπακοή.
Τὰ τῆς σῆς παραδόξου ἐγέρσεως, προδραμοῦσαι αἱ
μυροφόροι τοῖς ἀποστόλοις ἐκήρυττον χριστὲ ὅτι ἀνέστης
ὡς θεὸς, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος. ἦχος πλ. α.
Τὸν συνάναρχον λόγον πατρὶ καὶ πνεύματι, τὸν ἐκ παρθένου
τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ
προσκυνήσωμεν. ὅτι ηὐδόκησε σαρκὶ ἀνελθεῖν ἐν
τῷ σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθ-
νεῶτας ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ :~ θηόμ.
Χαῖρε πύλη κυρίου ἡ ἀδιόδευτος. χαῖρε τεῖχος καὶ σκέπη
τῶν προστρεχόντων εἰς σέ. χαῖρε ἀχείμαστε λιμὴν
καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου
καὶ θεόν. πρεσβεύουσα μὴ ἐλλείπης ὑπὲρ τῶν ἀνυ-
μνούντων, καὶ προσκυνούντων τὸν τόκον σου. ἡ ὑπακοή.
Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι. καὶ θεϊκῇ
ἐγέρσει τὴν ψυχὴν φωτιζόμεναι, αἱ μυροφόροι τοῖς
ἀποστόλοις εὐηγγελίζοντο· ἀναγγείλατε ἐν τοῖς ἔθνε-
σι τὴν ἀνάστασιν, τοῦ κυρίου συνεργοῦντος τοῖς θαύ-
μασι, καὶ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος. ἦχος πλ. β.
Ἀγγελικαὶ δυνάμεις ἐπὶ τὸ μνῆμά σου. καὶ οἱ φυλάσ-
σοντες ἀπενεκρώθησαν. καὶ ἵστατο μαρία ἐν τῷ τά-
φῳ ζητοῦσα τὸ ἄχραντόν σου σῶμα. ἐσκύλευσας τὸν
ᾅδην μὴ πειρασθεὶς ὑπ' αὐτοῦ, ὑπήντησας τῇ παρ-
θένῳ δωρούμενος τὴν ζωὴν, ὁ ἀναστὰς ἐκ τῶν νε-
κρῶν κύριε δόξα σοι :~ θεοτοκίον.
Ὁ τὴν εὐλογημένην καλέσας σου μητέρα, ἦλθες ἐπὶ τὸ
πάθος ἑκουσίᾳ βουλῇ. λάμψας ἐν τῷ σταυρῷ, ἀνα-
ζητῆσαι

ζητῆσαι θέλων τὸν ἀδάμ. λέγων τοῖς ἀγγέλοις συγχα-
ρητέ μοι, ὅτι εὑρέθη ἡ ἀπολωλυμένη δραχμή. ὁ πάν-
τα σοφῶς οἰκονομήσας θεὸς ἡμῶν δόξα σοι:~ ὑπακοή.

Τῷ ἑκουσίῳ καὶ ζωοποιῷ σου θανάτῳ χριστέ, πύλας τοῦ
ᾅδου συντρίψας ὡς θεός, ἤνοιξας ἡμῖν τὸν πάλαι πα-
ράδεισον. καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐρρύσω ἐκ φθο-
ρᾶς τὴν ζωὴν ἡμῶν:~ ἦχος βαρύς.

Κατέλυσας τῷ σταυρῷ σου τὸν θάνατον. ἀνέῳξας τῷ λῃστῇ
τὸν παράδεισον. τῶν μυροφόρων τὸν θρῆνον μετέβαλες,
καὶ τοῖς σοῖς ἀποστόλοις κηρύττειν ἐπέταξας. ὅτι
ἀνέστης ὡς θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος. δ'.

Ὡς τῆς ἡμῶν ἀναστάσεως θησαύρισμα, τοὺς ἐπὶ σοὶ
πεποιθότας παναμώμητε, ἐκ λάκκου καὶ βυθοῦ
πταισμάτων ἀνάγαγε. σὺ γὰρ τοὺς ὑπευθύνους
τῇ ἁμαρτίᾳ, ἔσωσας τεκοῦσα τὴν σωτηρίαν ἡμῶν. ἡ
πρὸ τόκου παρθένος, καὶ ἐν τόκῳ παρθένος.
καὶ μετὰ τόκον παρθένος:~ ὑπακοή.

Ὁ τὴν ἡμετέραν μορφὴν ἀναλαβών, καὶ ὑπομείνας σταυρὸν
σωματικῶς, σῶσόν με τῇ ἀναστάσει σου χριστὲ ὁ θεός,
ὡς φιλάνθρωπος:~ ἦχος πλάγιος δ'.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατε-
δέξω τριήμερον. ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν.
ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν κύριε δόξα σοι:~ θ'.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ παρθένου, καὶ σταύρωσιν ὑπομεί-
νας ἀγαθέ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ
ἔγερσιν δείξας ὡς θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ
χειρί σου. δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον. δέξαι
τὴν τεκοῦσάν σε θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶ-



Digitized by Google

σον σῶτερ ἡμῶν, λαὸν ἀπεγνωσμένον:~ ἡ ὑπακοή.

Αἱ μυροφόροι τοῦ ζωοδότου ἐπιστᾶσαι τῷ μνήματι, τὸν δεσπότην ἐζήτουν, ἐν νεκροῖς τὸν ἀθάνατον. καὶ χαρᾶς εὐαγγέλια ἐκ τοῦ ἀγγέλου δεξάμεναι. τοῖς ἀποστόλοις ἐκήρυττον, ὅτι ἀνέστη ὁ κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος:~

Τροπάρια ἀναστάσιμα, ψαλλόμενα μετὰ τὸν ἄμωμον, ἐν ταῖς κυριακαῖς τοῦ ὅλου ἐνιαυτοῦ. ἦχος πλ. α'. ἐν ἑνὶ δὲ ἑκάστῳ τροπαρίῳ, λέγομεν τό, εὐλογητὸς εἶ κύριε δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα. τοῦ θανάτου δὲ σῶτερ τὴν ἰσχὺν καθελόντα. καὶ σὺν ἑαυτῷ τὸν ἀδὰμ ἐγείραντα, καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα:~ εὐλογητὸς εἶ κύριε.

Τί τὰ μύρα συμπαθῶς τοῖς δάκρυσιν, ὦ μαθήτριαι κιρνᾶτε. ὁ ἀστράπτων ἐν τῷ τάφῳ ἄγγελος, προσεφθέγγετο ταῖς μυροφόροις. ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε. ὁ σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος. εὐλογητὸς εἶ κύριε.

Λίαν πρωῒ μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι. ἀλλ' ἐπέστη πρὸς αὐτὰς ὁ ἄγγελος καὶ εἶπε, θρήνων ὁ καιρὸς πέπαυται, μὴ κλαίετε. τὴν ἀνάστασιν δὲ, ἀποστόλοις εἴπατε:~ εὐλογητός.

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι. πρὸς τὸ μνῆμά σου σῶτερ ἐνηχοῦντο. ἄγγελος δὲ πρὸς αὐτὰς ἔφη λέγων, τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε. ὡς θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος:~ δόξα τριαδικόν.

Προσκυνοῦμεν πατέρα, καὶ τὸν τούτου υἱόν τε, καὶ τὸ ἅγιον πνεῦ.

τὴν ἁγίαν Τριάδα ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς σεραφὶμ κράζοντες τὸ ἅγιος, ἅγιος, ἅγιος εἶ κύριε. καὶ νῦν, Θε.

Ζωοδότην τεκοῦσα, ἁμαρτίας παρθένε τὸν ἀδὰμ ἐλυτρώσω. χαρμονὴν δὲ τῇ εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεῦσαν ζωῆς, ἴθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθεὶς θεὸς καὶ ἄνθρωπος. ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ θεός. ἐκ γ'.

Ἕτερα τροπάρια νεκρώσιμα, ψαλλόμενα μετὰ τὸν ἄμωμον τοῦ σαββάτου, ἦχος πλ. α'. λέγεται δὲ ἐν ἑνὶ ἑκάστῳ καὶ τούτων, τό, εὐλογητὸς εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἁγίων ὁ χορὸς, εὗρε πηγὴν τῆς ζωῆς, καὶ θύραν παραδείσου. εὕρω κἀγὼ τὴν ὁδὸν διὰ τῆς μετανοίας. τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι. ἀνακάλεσαί με σωτὴρ καὶ σῶσόν με:~ εὐλογητὸς εἶ κύριε.

Οἱ τὸν ἀμνὸν τοῦ θεοῦ κηρύξαντες, καὶ σφαγιασθέντες ὥσπερ ἄρνες, καὶ πρὸς ζωὴν τὴν ἀγήρω ἅγιοι, καὶ ἀΐδιον μετατεθέντες, τοῦτον ἐκτενῶς μάρτυρες αἰτήσασθε, ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι:~ εὐλογητός.

Οἱ τὴν ὁδὸν τὴν στενὴν βαδίσαντες τεθλιμμένην πάντες οἱ ἐν βίῳ, οἱ τὸν σταυρὸν ὡς ζυγὸν ἀράμενοι, καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει, δεῦτε ἀπολαύετε ἃ ἡτοίμασα ὑμῖν βραβεῖα, καὶ στέφη τὰ οὐράνια:~ εὐλογητὸς εἶ κύριε.

Εἰκών εἰμι, τῆς ἀρρήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων, οἰκτείρησον τὸ σὸν πλάσμα δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ, καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, παραδεί-



Digitized by Google

του πάλιν ποιῶν πολίτην με:~ εὐλογητὸς εἶ κύριε.

Ὁ πάλαι μὲν ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἀποστρέψας, εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ' ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος † ἀναμορφῶσαι:~ εὐλογητὸς εἶ κύριε.

† ἐν ἄλλῳ, ἀναμορφώσας.

Ἀνάπαυσον ὁ θεὸς τοὺς δούλους σου, καὶ κατάταξον αὐτοὺς ἐν παραδείσῳ, ὅπου χοροὶ τῶν ἁγίων κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες. τοὺς κεκοιμημένους δούλους σου ἀνάπαυσον, παρορῶν αὐτῶν, πάντα τὰ ἐγκλήματα:~ δόξα. τριαδικόν.

Τὸ τρίλαμπες τῆς μιᾶς θεότητος, εὐσεβῶς ὑμνήσωμεν. βοῶντες, ἅγιος εἶ ὁ πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος υἱὸς καὶ θεῖον πνεῦμα, φώτισον ἡμᾶς † πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον. καὶ νῦν. θεοτοκίον.

† ἐν ἄλλῳ, φόβῳ.

Χαῖρε σεμνὴ, ἡ θεὸν σαρκὶ τεκοῦσα εἰς πάντων σωτηρίαν. δι' ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν. διὰ σοῦ γὰρ, εὕραμεν παράδεισον, θεοτόκε ἁγνὴ εὐλογημένη:~ ἀλληλούια, ἀλληλούια, ἀλληλούια. δόξα σοι ὁ θεός. ἐκ γ'.

Θεῖα ἀπολυτίκια ψαλλόμενα ἐν ὅλῳ τῷ ἐνιαυτῷ, ἔν τε τῷ ἑσπερινῷ, καὶ εἰς τὸ θεὸς κύριος ἐν τῷ ὄρθρῳ. καὶ πάλιν εἰς τῷ τέλει τοῦ ὄρθρου.

τῇ κυριακῇ ἑσπέρας. καὶ τῇ β' εἰς τὸ θεὸς κύριος. ἦχος α'.

Θαῦμα θαυμάτων κεχαριτωμένη. ἐν θεωροῦσα ἡ κτίσις ἀγάλλεται. συνέλαβες ἀσπόρως, καὶ ἔτεκες ἀφράστως. ὃν ταξιαρχίαι ἀγγέλων ὁρᾶν οὐδε-

διώκωνται. αὐτὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν:~

εἰς τὸ τέλος τοῦ ὄρθρου, ἦχος α΄.

Α χραντε θεοτόκε, ἡ ἐν οὐρανοῖς εὐλογημένη. καὶ ἐπὶ γῆς δοξολογουμένη. χαῖρε νύμφη ἀνύμφευτε:~

τῇ β΄ ἑσπέρας. καὶ τῇ γ΄ εἰς τὸ θεὸς κύριος, ἦχος α΄.

Σ υλλαβοῦσα ἀφλέκτως, τὸ πῦρ τῆς θεότητος. καὶ τεκοῦσα ἀσπόρως, πηγὴν ζωῆς τὸν κύριον. κεχαριτωμένη θεοτόκε διέσωζε τοὺς σὲ μεγαλύνοντας:~

εἰς τὸ τέλος τοῦ ὄρθρου, ἦχος α΄.

Τ ὸν ἀμήτορα ἐν οὐρανῷ. ὑπὲρ ἔννοιαν καὶ ἀκοὴν, ἐπὶ γῆς ἀπάτορα ἔτεκες. αὐτὸν θεοτόκε ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν:~

τῇ γ΄ ἑσπέρας. καὶ τῇ δ΄ εἰς τὸ θεὸς κύριος, ἦχος α΄.

Ο ἱ τὴν σὴν προστασίαν κεκτημένοι ἄχραντε. καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι. τῷ σταυρῷ τοῦ υἱοῦ σου ἐν παντὶ φρουρούμενοι. κατὰ χρέος σε πάντες εὐσεβῶς μεγαλύνομεν:~

εἰς τὸ τέλος τοῦ ὄρθρου.

Α χραντε θεοτόκε. ἡ ἐν οὐρανοῖς εὐλογημένη. καὶ ἐπὶ γῆς δοξολογουμένη. χαῖρε νύμφη ἀνύμφευτε:~

τῇ δ΄ ἑσπέρας. καὶ τῇ ε΄ εἰς τὸ θεὸς κύριος. συλλαβοῦσα ἀφλέκτως. εἰς τὸ τέλος τοῦ ὄρθρου, ἦχος α΄.

τὸν ἀμήτορα ἐν οὐρανῷ, ὑπὲρ ἔννοιαν.

τῇ ε΄ ἑσπέρας. καὶ τῇ παρασκευῇ εἰς τὸ θεὸς κύριος, ἦχος α΄.

Ο ἱ τὴν σὴν προστασίαν κεκτημένοι.

εἰς τὸ τέλος τοῦ ὄρθρου. ἄχραντε θεοτόκε.

τῇ παρασκευῇ ἑσπέρας. καὶ τῷ σαββάτῳ εἰς τὸ θεὸς κύριος, ἦχος α΄.



Digitized by Google

Γ αβριὴλ φθεγξαμένου σοι παρθένε τὸ χαῖρε. σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων δεσπότης. ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος δαβίδ. ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου. δόξα τῷ ἐνοικήσαντι ἐν σοί. δόξα τῷ προελθόντι ἐκ σοῦ. δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου. εἰς τὸ τέλος τοῦ ὄρθρου. τὸν ἀμήτορα ἐν ὁμοίω.

τῇ κυριακῇ ἑσπέρας. καὶ τῇ β΄ εἰς τὸ θεὸς κύριος, ἦχος β΄

Ε ὐσπλαγχνίας ὑπάρχουσα πηγή. συμπαθείας ἀξίωσον ἡμᾶς θεοτόκε. βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα. δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου. εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ χαῖρε βοῶμέν σοι, ὡς ποτὲ ὁ γαβριὴλ, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος:~

εἰς τὸ τέλος τοῦ ὄρθρου ἦχος β΄.

Μ ήτηρ ἁγία τοῦ ἀφράστου φωτός. ἀγγελικοῖς σε ὕμνοις, τιμῶντες εὐσεβῶς μεγαλύνομεν:~

τῇ β΄ ἑσπέρας. καὶ τῇ γ΄ εἰς τὸ θεὸς κύριος, ἦχος β΄.

Θ είας γενόμενοι κοινωνοὶ φύσεως, διὰ σοῦ θεοτόκε ἀειπάρθενε. θεὸν γὰρ ἡμῖν σεσαρκωμένον τέτοκας. διὸ κατὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν:~ εἰς τὸ τέλος τοῦ ὄρθρου, ἦχος β΄.

Σ ὲ μεγαλύνομεν θεοτόκε βοῶντες. χαῖρε ἀδύτου φωτὸς νεφέλη. αὐτὸν βαστάσασα κόλποις τῆς δόξης τὸν κύριον:~

τῇ γ΄ ἑσπέρας. καὶ τῇ δ΄ εἰς τὸ θεὸς κύριος, ἦχος β΄.

Υ πὲρ δεδοξασμένη ὑπάρχεις θεοτόκε ὑμνοῦμέν σε. διὰ γὰρ τοῦ σταυροῦ τοῦ υἱοῦ σου, κατεβλήθη ὁ ᾅδης, καὶ ὁ θάνατος τέθνηκε. νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν, τὸν παράδεισον ἐλάβομεν, τὴν

Digitized by Google

ἀρχαίαν ἀπόλαυσιν. διὸ εὐχαριστοῦντες δοξολο-
γοῦμεν. ὡς κραταιὸν Χριστὸν τὸν θεὸν ἡμῶν, καὶ μόνον
πολυέλεον :~ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Σὲ μεγαλύνομεν θεοτόκε βοῶντες. χαῖρε ῥάβδος ἐξ ἧς
ἀσπόρως θεὸς βλαστήσας, ἀπέκτεινεν ἐν ξύλῳ τὸν θάνα-
τον :~ τῇ δ΄ ἑσπέρας. καὶ τῇ ε΄ εἰς τὸ θεοτόκε, ἦχος β΄.

Θείας γενόμενοι κοινωνοὶ φύσεως.

εἰς τὸ τέλος τοῦ ὄρθρου.

Σὲ μεγαλύνομεν θεοτόκε βοῶντες. χαῖρε ἀδύτου.
τῇ ε΄ ἑσπέρας, καὶ τῇ παρασκευῇ εἰς τὸ θεοτόκε, ἦχος β΄

Ὑπερδεδοξασμένη ὑπάρχεις θεοτόκε.

εἰς τὸ τέλος τοῦ ὄρθρου. Σὲ μεγαλύνομεν θεοτόκε
βοῶντες. χαῖρε ῥάβδος. τῇ παρασκευῇ
ἑσπέρας, καὶ τῷ σαββάτῳ. εἰς τὸ θεοτόκε, ἦχος β΄.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ
θεοτόκε μυστήρια. τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρ-
θενίᾳ φυλαττομένη. μήτηρ ἐγνώσθης ἀψευδῶς, θεὸν
τεκοῦσα ἀληθινόν. αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυ-
χὰς ἡμῶν :~ εἰς τὸ τέλος τοῦ ὄρθρου, ἦχος β΄.

Μήτηρ ἁγία τοῦ ἀφράστου φωτὸς ἀγγελικοῖς σε ὕμνοις τι-
μῶντες εὐσεβῶς μεγαλύνομεν :~ εἰ δὲ τύχῃ ἀλλη-
λούια ἐν οἱῳδήποτε ἤχῳ, λέγονται ταῦτα, ἦχος β΄.

Ἀπόστολοι μάρτυρες καὶ προφῆται. ἱεράρχαι ὅσιοι
καὶ δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ
τὴν πίστιν τηρήσαντες. παῤῥησίαν ἔχοντες πρὸς
τὸν σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσα-
τε. σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν :~

Μνήσθητι κύριε ὡς ἀγαθὸς τὰς ψυχὰς τῶν δούλων σου.



Digitized by Google

καὶ ὅσα ἐν βίῳ ἥμαρτον, συγχώρησον. οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σὺ ὁ δυνάμενος, καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν :~

Μήτηρ ἁγία τοῦ ἀφράστου φωτός. ἀγγελικοῖς σε ὕμνοις, τιμῶντες εὐσεβῶς μεγαλύνομεν :~

τῇ κυριακῇ ἑσπέρας. καὶ τῇ β' εἰς τὸ θεὸς κύριος, ἦχος γ'.

Ψ Τὴν ὡραιότητα τῆς παρθενίας σου. καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου. ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι θεοτόκε. ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον. τί δὲ ὀνομάσω σε, ἀπορῶ καὶ ἐξίσταμαι. διὸ ὡς προσετάγην βοῶ σοι. χαῖρε ἡ κεχαριτωμένη :~

εἰς τὸ τέλος τοῦ ὄρθρου, ἦχος γ'.

Ἕκαστος ὅπου σώζεται, ἐκεῖ δικαίως καὶ προστρέχει. καὶ ποία ἄλλη τοιαύτη καταφυγή, ὡς σὺ θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν :~

τῇ β' ἑσπέρας. καὶ τῇ γ' εἰς τὸ θεὸς κύριος, ἦχος γ'.

Καταφυγὴ καὶ δύναμις ἡμῶν θεοτόκε. ἡ κραταιὰ βοήθεια τοῦ κόσμου, ταῖς πρεσβείαις σου σκέπε τοὺς δούλους σου, ἀπὸ πάσης ἀνάγκης, μόνη εὐλογημένη :~

εἰς τὸ τέλος τοῦ ὄρθρου. Ἕκαστος ὅπου σώζεται.

τῇ γ' ἑσπέρας. καὶ τῇ δ'. εἰς τὸ θεὸς κύριος, ἦχος γ'.

Ῥάβδον δυνάμεως κεκτημένοι, τὸν σταυρὸν τοῦ υἱοῦ σου θεοτόκε. ἐν αὐτῷ καταβάλλομεν, τῶν ἐχθρῶν τὰ φρυάγματα, οἱ πόθῳ σε ἀπαύστως μεγαλύνομεν :~ εἰς τὸ τέλος τοῦ ὄρθρου. Καταφυγὴ καὶ δύναμις ἡμῶν.

τῇ δ' ἑσπέρας. καὶ τῇ ε' εἰς τὸ θεὸς κύριος, ἦχος γ'.

Προφῆται προεκήρυξαν. ἀπόστολοι ἐδίδαξαν. μάρτυρες ὡμολόγησαν. καὶ ἡμεῖς πιστεύσαμεν θεοτό-

Digitized by Google

κόμισε κυρίως ὑπάρχουσαν. διὸ καὶ μεγαλύνομέν σε

τὸν τόκον σου τὸν ἄφραστον:~

Εἰς τὸ τέλος τοῦ ὄρθρου. Ἕκαστος ὅπου σώζεται.

Τῇ ἑσπέρας. καὶ τῇ παρασκευῇ εἰς τὸ θεὸς κύριος. ἦχος γʹ.

Ῥάβδον δυνάμεως κεκτημένοι.

Εἰς τὸ τέλος τοῦ ὄρθρου. Καταφυγὴ καὶ δύναμις.

Τῇ παρασκευῇ ἑσπέρας, καὶ τῷ σαββάτῳ. εἰς τὸ θεὸς κύριος. ἦχος γʹ.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν θεοτόκε παρθένε. ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ υἱός σου καὶ θεὸς ἡμῶν, τὸ διὰ σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος :~

Εἰς τὸ τέλος τοῦ ὄρθρου. Προφῆται προεκήρυξαν.

Τῇ κυριακῇ ἑσπέρας. καὶ τῇ βʹ εἰς τὸ θεὸς κύριος. ἦχος δʹ.

Τῇ ἀνατραφείσῃ ἐν τῷ ναῷ, εἰς τὰ ἅγια τῶν ἁγίων. τῇ περιβεβλημένῃ τὴν πίστιν καὶ τὴν σοφίαν, καὶ τὴν ἄμετρον παρθενίαν. ὁ ἀρχιστράτηγος γαβριήλ, προσέφερεν οὐρανόθεν τὸν ἀσπασμόν, καὶ τὸ χαῖρε. χαῖρε εὐλογημένη. χαῖρε δεδοξασμένη ὁ κύριος μετὰ σοῦ:~

Εἰς τὸ τέλος τοῦ ὄρθρου, ἦχος δʹ.

Ὅτι πάντων ὑπάρχεις τῶν ποιημάτων ὑπερτέρα· ἀνυμνεῖν σε ἀξίως μὴ εὐποροῦντες θεοτόκε. δωρεὰν αἰτοῦμέν σοι ἐλέησον ἡμᾶς :~

Τῇ βʹ ἑσπέρας. καὶ τῇ γʹ εἰς τὸ θεὸς κύριος, ἦχος δʹ.

Τῇ θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν ἁμαρτωλοὶ καὶ ταπεινοί. καὶ προσπέσωμεν ἐν μετανοίᾳ. κράζοντες ἐκ βάθους ψυχῆς. δέσποινα

βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα. σπεῦσον ἀ-
πολλύμεθα ὑπὸ πλήθους πταισμάτων. μὴ ἀπο-
στρέψῃς τοὺς σοὺς δούλους κενούς. σὲ γὰρ καὶ μόνην ἐλπί-
δα κεκτήμεθα:~ εἰς τὸ τέλος τοῦ ὄρθρου, ἦχος δ'.

Σὲ μεγαλύνομεν θεοτόκε βοῶντες. σὺ εἶ ἡ βάτος ἐν ᾗ
ἀφλέκτως Μωσῆς κατεῖδεν, ὡς φλόγα τὸ πῦρ τῆς
θεότητος. τῇ γ' ἑσπέρας. καὶ τῇ δ' εἰς τὸ θεὸς κύριος. ἦχος δ'.

Παρθένε παναμώμητε μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλ-
θε τὴν παναγίαν ψυχήν. ἡνίκα σταυρούμενον, ἐ-
βλεψας ἑκουσίως τὸν υἱὸν καὶ Θεόν σου, ὃν, εὐλογη-
μένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμά-
των ἡμῖν δωρήσασθαι:~ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Σὲ μεγαλύνομεν θεοτόκε βοῶντες. σὺ εἶ τὸ ὄρος
ἐξ οὗ ἀρρήτως ἐτμήθη λίθος. καὶ πύλας τοῦ ᾅδου συν-
έτριψεν:~

τῇ δ' ἑσπέρας. καὶ τῇ ε' εἰς τὸ θεὸς κύριος. ἦχος δ'.

Τὸν λόγον τοῦ πατρὸς, Χριστὸν τὸν Θεὸν ἡμῶν. ἐκ σοῦ σαρκω-
θέντα ἔγνωμεν θεοτόκε παρθένε. μόνη ἁγνὴ μόνη
εὐλογημένη. διὸ ἀπαύστως σε ἀνυμνοῦντες μεγα-
λύνομεν:~ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ὅτι πάντων ὑπάρχεις τῶν ποιημάτων ὑπερτέρα.

τῇ ε' ἑσπέρας. καὶ τῇ παρασκευῇ εἰς τὸ θεὸς κύριος. ἦχος δ'.

Παρθένε παναμώμητε μῆτερ Χριστοῦ τοῦ Θεοῦ.

εἰς τὸ τέλος τοῦ ὄρθρου.

Σὲ μεγαλύνομεν θεοτόκε βοῶντες σὺ εἶ τὸ ὄρος.

τῇ παρασκευῇ ἑσπέρας. καὶ τῷ σαββάτῳ

εἰς τὸ θεὸς κύριος, ἦχος δ'.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ ἀγγέλοις ἄγνωστον

Digitized by Google

μυστήριον. διὰ σοῦ θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρω
ται. θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος. σταυρὸν
ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος. δι' οὗ ἀναστή
σας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς
ψυχὰς ἡμῶν:~ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ε μεγαλύνομεν θεοτόκε βοῶντες. σὺ εἶ ἡ βάτος
ἐν ἣ ἀφλέκτως μωσῆς κατεῖδεν, ὡς φλόγα τὸ πῦρ
τῆς θεότητος:~ τῇ κυριακῇ ἑσπέρας.

καὶ τῇ β' εἰς τὸ θεὸς κύριος, ἦχος πλαγίου α'.

Μ ετὰ ἀγγέλων τὰ οὐράνια. μετὰ ἀνθρώπων τὰ ἐπίγεια.
ἐν φωνῇ ἀγαλλιάσεως, θεοτόκε βοῶμέν σοι. χαῖ
ρε πύλη τῶν οὐρανῶν πλατυτέρα. χαῖρε μόνη τῶν
γηγενῶν σωτηρία. χαῖρε σεμνὴ κεχαριτωμένη, ἡ
τεκοῦσα θεὸν σεσαρκωμένον:~

εἰς τὸ τέλος τοῦ ὄρθρου. ἦχος πλαγίου α'.

Ο ἐκ παρθένου ἀνατείλας τῷ κόσμῳ Χριστὲ ὁ θεὸς.
υἱοὺς φωτὸς δι' αὐτῆς ἀναδείξας ἐλέησον ἡμᾶς:~

τῇ β' ἑσπέρας. καὶ τῇ γ' εἰς τὸ θεὸς κύριος, ἦχος πλ. α'.

Τ ὴν ταχεῖαν σου σκέπην καὶ τὴν βοήθειαν. καὶ τὸ ἔλεος
δεῖξον ἐπὶ τοὺς δούλους σου. καὶ τὰ κύματα ἁγνὴ κατα
πράϋνον, τῶν ματαίων λογισμῶν. καὶ τὴν πεσοῦσάν
μου ψυχὴν, ἀνάστησον θεοτόκε. οἶδα γὰρ οἶδα παρ
θένε. ὅτι ἰσχύεις ὅσα καὶ βούλει. εἰς τὸ τέλος τοῦ ὄρ.

Μ ήτηρ θεοῦ παναγία, τὸ τεῖχος τῶν χριστιανῶν. ῥῦσαι
λαόν σου συνήθως κραυγάζοντά σοι ἐκτενῶς. ἀν
τιτάχθητι ἐχθροῖς καὶ ἀλαζόσι λογισμοῖς. ἵνα βοῶ
μέν σοι. χαῖρε ἀειπάρθενε:~

τῇ γ' ἑσπέρας. καὶ τῇ δ' εἰς τὸ θεὸς κύριος, ἦχος πλ. α'.

Digitized by Google

ὦ σταυρῷ τοῦ υἱοῦ σου θεοχαρίτωτε. τῶν εἰδώλων ἡ πλά-
νη πᾶσα καταργεῖται. καὶ τῶν δαιμόνων ἡ ἰσχὺς κατα-
πεπάτηται. διατοῦτο οἱ πιστοὶ κατὰ χρέος σε ἀεὶ
ὑμνοῦμεν καὶ εὐλογοῦμεν. καὶ θεοτόκον κυρίως ὁμολο-
γοῦντες σε μεγαλύνομεν:–

εἰς τὸ τέλος τοῦ ὄρθρου. ὁ ἐκ παρθένου ἀνατείλας.
τῇ δ᾽ ἑσπέρας. καὶ τῇ ε᾽ εἰς τὸ θεοτόκε. ἦχος πλ. α᾽.

Τὸ ξένον τῆς παρθένου μυστήριον. τῷ κόσμῳ ἀνε-
δείχθη σωτήριον. ἐξ αὐτῆς γὰρ ἐτέχθης ἄνευ σπο-
ρᾶς. καὶ σαρκὶ ἀνεδείχθης δίχα φθορᾶς. ἡ πάν-
των χαρὰ κύριε δόξα σοι:–

εἰς τὸ τέλος τοῦ ὄρθρου. μήτηρ θεοῦ παναγία.
τῇ ε᾽ ἑσπέρας. καὶ τῇ παρασκευῇ εἰς τὸ θεοτόκε. ἦχος πλ. α᾽.
τῷ σταυρῷ τοῦ υἱοῦ σου θεοχαρίτωτε.
εἰς τὸ τέλος τοῦ ὄρθρου. ὁ ἐκ παρθένου ἀνατείλας.
τῇ παρασκευῇ ἑσπέρας, καὶ τῷ σαββάτῳ.

Χαῖρε πύλη κυρίου ἡ ἀδιόδευτος. χαῖρε τεῖχος καὶ σκέ-
πη τῶν προστρεχόντων εἰς σέ. χαῖρε ἀχείμαστε λι-
μὴν καὶ ἀπειρόγαμε. ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν
σου καὶ θεόν. πρεσβεύουσα μὴ ἐλλείπῃς ὑπὲρ τῶν
ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου:–

εἰς τὸ τέλος τοῦ ὄρθρου. ὁ ἐκ παρθένου ἀνατείλας.
τῇ κυριακῇ ἑσπέρας. καὶ τῇ β᾽ εἰς τὸ θεοτόκε. ἦχος πλ. δ᾽.

Χαῖρε δι᾽ ἀγγέλου τὴν χαρὰν τοῦ κόσμου δεξαμέ-
νη. χαῖρε ἡ τεκοῦσα τὸν ποιητήν σου καὶ κύριον.
χαῖρε ἡ ἀξιωθεῖσα γενέσθαι μήτηρ θεοῦ:–

εἰς τὸ τέλος τοῦ ὄρθρου.

Χαῖρε ἡ πύλη τοῦ βασιλέως τῆς δόξης. ἣν ὁ ὕψιστος

Digitized by Google

μόνος διώδευσε. καὶ μένειν ἐσφραγισμένην ἐφύλαξεν, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν:~

τῇ β΄ ἑσπέρας. ἡ τῇ γ΄ εἰς τὸ Θεὸς κύριος, ἦχος πλ. δ΄.

Τὸ ἀσάλευτον στήριγμα τῆς πίστεως. ἡ σεβάσμιον δώρημα τῶν ψυχῶν ἡμῶν, τὴν θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν πιστοί. χαῖρε ἡ τὴν πέτραν τῆς ζωῆς, ἐν γαστρί σου χωρήσασα. χαῖρε τῶν περάτων ἡ ἐλπίς. θλιβομένων ἀντίληψις. χαῖρε νύμφη ἀνύμφευτε:~ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Παρθένε ἄχραντε. σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου. κινοῦσα σπλάγχνα μητρικά, τῷ υἱῷ σου τῷ θεῷ ἡμῶν.

τῇ γ΄ ἑσπέρας. ἡ τῇ δ΄ εἰς τὸ Θεὸς κύριος, ἦχος πλ. δ΄.

Τὸν ἀμνὸν καὶ ποιμένα ἡ σωτῆρα τοῦ κόσμου, ἐν τῷ σταυρῷ θεωροῦσα ἡ τεκοῦσα ἔλεγε δακρύουσα. ὁ μὲν κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν. τὰ δὲ σπλάγχνα μου φλέγονται ὁρώσης σου τὴν σταύρωσιν. ἣν ὑπὲρ πάντων ὑπομένεις ὁ υἱός τε θεός μου.

εἰς τὸ τέλος τοῦ ὄρθρου, ἦχος πλ. δ΄.

Ὁ καρπὸς τῆς κοιλίας σου ἄχραντε. τῶν προφητῶν ὑπάρχει τε τοῦ νόμου τὸ πλήρωμα. διό σε θεοτόκον ἐν ἐπιγνώσει δοξάζοντες. εὐσεβῶς μεγαλύνομεν:~

τῇ δ΄ ἑσπέρας. ἡ τῇ ε΄ εἰς τὸ Θεὸς κύριος. ἦχος πλ. δ΄.

Ἡ μόνη ἡ πύλη τῆς ζωῆς ἄχραντε θεοτόκε. τοὺς προστρέχοντάς σοι πιστῶς, λύτρωσαι τῶν κινδύνων. ἵνα δοξάζωμεν τὸν πανάγιον τόκον σου, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

εἰς τὸ τέλος τοῦ ὄρθρου. Παρθένε ἄχραντε.

τῇ ε΄ ἑσπέρας. ἡ τῇ παρασκευῇ εἰς τὸ Θεὸς κύριος.

Τὸν ἀμνὸν καὶ ποιμένα καὶ σωτῆρα.

εἰς τὸ τέλος τοῦ ὄρθρου. ὁ καρπὸς τῆς κοιλίας σου.
τῇ παρασκευῇ ἑσπέρας, καὶ τῷ σαββάτῳ.
εἰς τὸ θεὸς κύριος. ἦχος πλαγίου δ΄.

Ο δι' ἡμᾶς γεννηθεὶς ἐκ παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθέ. ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς θεός. μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου. δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον. δέξαι τὴν τεκοῦσάν σε θεοτόκον πρεσβεύουσαν ὑπὲρ ἡμῶν. καὶ σῶσον σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον:~ εἰς τὸ τέλος τοῦ ὄρθρου, ἦχος πλ. δ΄.

Παρθένε ἄχραντε, σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου. κινοῦσα σπλάγχνα μητρικά. τῷ υἱῷ σου καὶ θεῷ ἡμῶν:~

τέλος τῶν θεοτοκίων.

ἀπολυτίκια τῆς ὅλης ἑβδομάδος.

μετὰ τῶν θεοτοκίων καὶ κοντακίων αὐτῶν.

τῇ κυριακῇ ἑσπέρας τῶν ἀσωμάτων. ἀπολυτίκιον. ἦχος δ΄.

Τῶν οὐρανίων στρατιῶν ἀρχιστράτηγοι. δυσωποῦμεν ὑμᾶς οἱ ἀνάξιοι. ἵνα ταῖς ὑμῶν δεήσεσι, τειχίσητε ἡμᾶς σκέπῃ τῶν πτερύγων τῆς ἀΰλου ὑμῶν δόξης. φρουροῦντες ἡμᾶς προσπίπτοντας ἐκτενῶς καὶ βοῶντας. ἐκ τῶν κινδύνων λυτρώσατε ἡμᾶς, ὡς ταξιάρχαι τῶν ἄνω δυνάμεων:~ θεοτ. ἦχος ὁ αὐτός.

τῇ ἀνατραφείσῃ ἐν τῷ ναῷ. κοντάκιον, ἦχος β΄.

ἀρχιστράτηγοι θεοῦ.

τῇ β΄ ἑσπέρας τοῦ προδρόμου. ἀπολυτίκιον, ἦχος β΄.

Μνήμη δικαίου μετ' ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ κυρίου πρόδρομε. ἀνεδείχθης γὰρ ὄντως καὶ προφητῶν σεβασμιώτερος. ὅτι ἐν ῥείθροις

βασιλεῦσι κατηξιώθης τὸν κηρυττόμενον· ὅθεν τῇ ἀληθείᾳ ὑπεραθλήσας, χαίρων εὐηγγελίσω, καὶ τοῖς ἐν ᾅδῃ θεὸν φανερωθέντα ἐν σαρκί. τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος :~ στιχ. ὁ αὐτός.

θείας γενόμενοι κοινωνοὶ φύσεως. κοντάκιον, ἦχος β'. προφῆτα θεοῦ καὶ πρόδρομε. τῇ γ' ἑσπέρας στιχηρὰ ἀναστάσιμα. τροπ. ἦχος α'. σῶσον κύριε τὸν λαόν σου. στιχ.
οἱ τὴν σὴν προστασίαν κεκτημένοι ἄχραντε.
κοντάκιον, ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.
τῇ δ'. ἑσπέρας τῶν ἀποστόλων, καὶ τοῦ μεγάλου νικολάου. τροπάριον, τῶν ἀποστόλων. ἦχος γ'.
Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι θεῷ· ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν :~
δόξα τοῦ ἁγίου, ἦχος δ'. κανόνα πίστεως. στιχ. ἦχος δ'.
τὸν λόγον τοῦ πρὸς Χριστὸν τὸν θεὸν ἡμῶν.
καὶ ὅτι πάντων ὑπάρχεις τῶν ποιημάτων. κοντάκιον, τῶν ἀποστόλων, ἦχος β'. τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους κήρυκας. τοῦ ἁγίου, ἦχος γ'. στιχ. ἡ παρθένος σήμερον· ἐν τοῖς μύροις ἅγιε. τῇ ε' ἑσπέρας σταυρώσιμα. τροπά. ἦχος α'. σῶσον κύριε τὸν λαόν σου. στιχ.
οἱ τὴν σὴν προστασίαν κεκτημένοι ἄχραντε.
κοντάκιον, ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.
τῇ παρασκευῇ ἑσπέρας, τῶν ἁγίων πάντων· τροπάριον, ἦχος β'. ἀπόστολοι μάρτυρες καὶ προφῆται· δόξα, τὸ νεκρώσιμον· μνήσθητι κύριε ὡς ἀγαθὸς τῶν. θεοτοκίον. μήτηρ ἁγία τοῦ ἀφράστου φωτός. κοντάκιον, νεκρώσιμον. ὡς ἀπαρχὰς τῆς φύσεως.

Digitized by Google

Μήτηρ ἁγία τοῦ ἀφράστου φωτός· ἀγγελικοῖς σε ὕμνοις, τιμῶντες εὐσεβῶς μεγαλύνομεν:~

Ἀκολουθία εἰς τὸν ἀκάθιστον ὕμνον, τῆς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου μαρίας. εἰς τὸ κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια, ἦχος πλαγίου β'. ὅλην ἀποθέμενοι.

Βουλὴν προαιώνιον, ἀποκαλύπτων σοι κόρη· γαβριὴλ ἐφέστηκε. σὲ κατασπαζόμενος καὶ φθεγγόμενος· χαῖρε γῆ ἄσπορε. χαῖρε βάτε ἄφλεκτε. χαῖρε βάθος δυσθεώρητον. χαῖρε ἡ γέφυρα, πρὸς τοὺς οὐρανοὺς ἡ μετάγουσα. καὶ κλίμαξ ἡ μετάρσιος, ἣν ὁ ἰακὼβ ἐθεάσατο. χαῖρε θεία στάμνε τοῦ μάννα. χαῖρε λύσις τῆς ἀρᾶς, χαῖρε ἀδὰμ ἡ ἀνάκλησις, μετὰ σοῦ ὁ κύριος:~

Φαίνημοι ὡς ἄνθρωπος, φησὶν ἡ ἄφθορος κόρη, πρὸς τὸν ἀρχιστράτηγον. καὶ πῶς φθέγγῃ ῥήματα ὑπὲρ ἄνθρωπον. μετ' ἐμοῦ ἔφης γάρ, τὸν θεὸν ἔσεσθαι· καὶ σκηνώσαι ἐν τῇ μήτρᾳ μου, καὶ πῶς γενήσομαι, λέγε μοι χωρίον εὐρύχωρον, καὶ τόπος ἁγιάσματος, τοῖς χερουβὶμ ἐπιβαίνοντος· μή με δελεάσῃς ἀπάτῃ· οὐ γὰρ ἔγνων ἡδονήν· γάμου ὑπάρχω ἀμύητος. πῶς οὖν παῖδα τέξομαι:~

Θεὸς ὅπου βούλεται, νικᾶται φύσεως τάξις· φησὶν ὁ ἀσώματος, καὶ τὰ ὑπὲρ ἄνθρωπον διαπράττεται. τοῖς ἐμοῖς πίστευε, ἀληθέσι ῥήμασι, παναγία ὑπεράμωμε. ἡ δὲ ἐβόησε· γένοιτό μοι νῦν ὡς τὸ ῥῆμά σου. καὶ τέξομαι τὸν ἄσαρκον, σάρκα ἐξ ἐμοῦ δανεισάμενον. ὅπως ἀναγάγῃ τὸν ἄνθρωπον ὡς μόνος δυνατός, εἰς τὸ ἀρχαῖον ἀξίωμα, διὰ τῆς συγκράσεως:~

δόξα

Τὸ ἀπ' αἰῶνος μυστήριον. ἀνακαλύπτεται σήμερον.
καὶ ὁ υἱὸς τοῦ θεοῦ, καὶ υἱὸς ἀνθρώπου γίνεται. ἵνα τοῦ χείρονος μετα
λαβὼν μεταδῶ μοι τοῦ βελτίονος. ἐψεύσθη πάλαι
ἀδὰμ, καὶ θεὸς ἐπιθυμήσας οὐ γέγονεν. ἄνθρωπος γίνε
ται θεὸς, ἵνα θεὸν τὸν ἀδὰμ ἀπεργάσηται. εὐφραι=
νέσθω ἡ κτίσις, χορευέτω ἡ φύσις. ὅτι ἀρχάγγελος
παρθένῳ μετὰ δέους παρίσταται, καὶ τὸ χαῖρε κομί-
ζει τῆς λύπης ἀντίθετον. ὁ διὰ σπλάγχνα ἐλέους
ἐνανθρωπήσας θεὸς ἡμῶν δόξα σοι:~

εἰς τὸν στίχον. στιχηρ. ἦχος α'. τῶν οὐρανίων.

Τῶν οὐρανίων ἀψίδων, ὁ γαβριὴλ καταπτάς. εἰς να
ζαρὲτ ἐπέστη, πρὸς παρθένον μαρίαν. βοῶν αὐτῇ
τὸ χαῖρε. συλλήψῃ υἱὸν, τοῦ ἀδὰμ ἀρχαιότερον. τὸν
ποιητὴν τῶν αἰώνων καὶ λυτρωτὴν, τῶν βοώντων σοι
τὸ χαῖρε ἁγνή:~ στίχος. ἄκουσον θύγατερ καὶ ἴδε.

Ὁ γαβριὴλ τῇ παρθένῳ. τὸ εὐαγγέλιον. ἐξ οὐρανοῦ
κομίσας, ἀνεβόα τὸ χαῖρε. συλλήψῃ ἐν γαστρί σου, τὸν
σοὶ χωρητὸν, καὶ ταῖς πᾶσιν ἀχώρητον, καὶ κυοφόρος
ὀφθήσῃ τοῦ ἐκ πατρὸς, πρὸ ἑωσφόρου ἀνατείλαν
τος:~ στίχος. τὸ πρόσωπόν σου.

Ὁ συναΐδιος λόγος, τοῦ προανάρχου πατρὸς, μὴ χωρισθεὶς
τῶν ἄνω, νῦν ἐπέστη τοῖς κάτω. δι' ἄκραν εὐσπλαγ-
χνίαν. οἶκτον λαβὼν, τοῦ καθ' ἡμᾶς ὀλισθήματος, καὶ
τοῦ ἀδὰμ τὴν πτωχείαν ἀναλαβὼν, ἐμορφώθη τὸ
ἀλλότριον. στίχ. πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι.

Ὁ ἐκ πατρὸς ἀϊδίως, καὶ ἐκ μητρὸς χρονικῶς. φανερωθεὶς
τῷ κόσμῳ, ὑπερούσιος λόγος. μορφὴν δούλου λαμ-

Χ φ

Digitized by Google

βαίνει. καὶ γίνεται σάρξ, μὴ ἐκστὰς τῆς θεότητος. καὶ τὸν ἀδὰμ ἀναπλάττει ἐν τῇ γαστρί, τῆς ἀσπόρως συλλαβούσης αὐτόν. δόξα καὶ νῦν, ἦχος β΄.

Εὐαγγελίζεται ὁ γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον. χαῖρε ἀνύμφευτε μῆτερ καὶ ἀπειρόγαμε. μὴ καταπλαγῇς τῇ ξένῃ μου μορφῇ. μηδὲ δειλιάσῃς, ἀρχάγγελός εἰμι. ὄφις ἐξηπάτησεν εὔαν ποτέ. νῦν εὐαγγελίζομαί σοι τὴν χαρὰν καὶ μενεῖς ἄφθορος, καὶ τέξεις τὸν κύριον ἄχραντε:~

Εἰς τὸν ὄρθρον, μετὰ τὸ θεὸς κύριος, ψάλλομεν τροπάριον, ἦχος πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει. ἐν τῇ σκηνῇ τοῦ ἰωσὴφ, σπουδῇ ἐπέστη. ὁ ἀσώματος, λέγων τῇ ἀπειρογάμῳ. ὁ κλίνας τῇ καταβάσει τοὺς οὐρανούς, χωρεῖται ἀναλλοιώτως ὅλως ἐν σοί. ὃν καὶ βλέπων ἐν μήτρᾳ σου λαβόντα δούλου μορφήν, ἐξίσταμαι κραυγάζων σοι. χαῖρε νύμφη ἀνύμφευτε:~ λέγομεν δὲ αὐτὸ ἐκ τρίτου ἀργῶς καὶ μετὰ μέλους. μετὰ δὲ τὴν στιχολογίαν, ψάλλομεν. κοντάκιον, ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια. ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια. ἀναγράφω σοι ἡ πόλις σου θεοτόκε. ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι. χαῖρε νύμφη ἀνύμφευτε:~ εἶθ' οὕτως, οἶκοι ἑξ.

Ἄγγελος πρωτοστάτης οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ θεοτόκῳ, τὸ χαῖρε. καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ σωματούμενόν σε θεωρῶν κύριε, ἐξίστατο καὶ ἵστατο κραυγάζων πρὸς αὐτὴν τοιαῦτα. χαῖρε δι' ἧς

Digitized by Google

ἡ χαρὰ ἐκλάμψει· χαῖρε δι' ἧς ἡ ἀρὰ ἐκλεί-
ψει. χαῖρε τοῦ πεσόντος ἀδὰμ ἡ ἀνάκλησις. χαῖ-
ρε τῶν δακρύων τῆς εὔας ἡ λύτρωσις. χαῖρε ὕψος
δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς. χαῖρε βάτος δυσ
θεώρητον καὶ ἀγγέλων ὀφθαλμοῖς. χαῖρε ὅτι ὑπάρ
χεις βασιλέως καθέδρα. χαῖρε ὅτι βαστάζεις τὸν
βαστάζοντα πάντα. χαῖρε ἀστὴρ ἐμφαίνων τὸν ἥ-
λιον. χαῖρε γαστὴρ ἐνθέου σαρκώσεως. χαῖρε δι' ἧς
νεουργεῖται ἡ κτίσις. χαῖρε δι' ἧς προσκυνεῖται ὁ
πλάστης:— χαῖρε νύμφη ἀνύμφευτε.

Βλέπουσα ἡ ἁγία ἑαυτὴν ἐν ἁγνείᾳ, φησὶ τῷ γαβριὴλ
θαρσαλέως. τὸ παράδοξόν σου τῆς φωνῆς, δυσπαράδεκ-
τόν μου τῇ ψυχῇ φαίνεται. ἀσπόρου γὰρ συλλήψε-
ως τὴν κύησιν πῶς λέγεις κράζων:— ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι ἡ παρθένος ζητοῦσα, ἐβόη
σε πρὸς τὸν λειτουργοῦντα. ἐκ λαγόνων ἁγνῶν, υἱὸν
πῶς ἐστι τεχθῆναι δυνατόν, λέξον μοι. πρὸς ὃν
ἐκεῖνος ἔφησεν ἐν φόβῳ, πλὴν κραυγάζων οὕτως.
χαῖρε βουλῆς ἀπορρήτου μύστις. χαῖρε σιγῆς δεο
μένων πίστις. χαῖρε τῶν θαυμάτων Χριστοῦ τὸ προοί-
μιον. χαῖρε τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον. χαῖ
ρε κλίμαξ ἐπουράνιε δι' ἧς κατέβη ὁ θεός. χαῖρε γέ
φυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς οὐρανόν. χαῖ-
ρε τὸ τῶν ἀγγέλων πολυθρύλλητον θαῦμα. χαῖρε
τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα. χαῖρε τὸ
φῶς ἀρρήτως γεννήσασα. χαῖρε τὸ πῶς, μηδένα
διδάξασα. χαῖρε σοφῶν ὑπερβαίνουσα γνῶσιν.
χαῖρε πιστῶν καταυγάζουσα φρένας:— χαῖρε νύμ-



Digitized by Google

Δύναμις τοῦ ὑψίστου ἐπεσκίασε τότε, πρὸς σύλληψιν τῇ ἀπειρογάμῳ. καὶ τὴν εὔκαρπον ταύτης μήτραν, ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι, τοῖς θέλουσι θερίζειν σωτηρίαν ἐν τῷ ψάλλειν οὕτως: ἀλληλούϊα.

Ἔχουσα θεοδόχον ἡ παρθένος τὴν μήτραν, ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ. τὸ δὲ βρέφος ἐκείνης, εὐθὺς ἐπιγνοῦν τὸν ταύτης ἀσπασμὸν, ἔχαιρε. καὶ ἅλμασιν ὡς ᾄσμασιν ἐβόα πρὸς τὴν θεοτόκον. χαῖρε βλαστοῦ ἀμαράντου κλῆμα, χαῖρε καρποῦ ἀκηράτου κτῆμα. χαῖρε γεωργὸν γεωργοῦσα φιλάνθρωπον. χαῖρε φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα. χαῖρε ἄρουρα βλαστάνουσα, εὐφορίαν οἰκτιρμῶν. χαῖρε τράπεζα βαστάζουσα, εὐθηνίαν ἱλασμῶν. χαῖρε ὅτι λειμῶνα τῆς τροφῆς ἀναθάλλεις. χαῖρε ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις. χαῖρε δεκτὸν πρεσβείας θυμίαμα. χαῖρε παντὸς τοῦ κόσμου ἐξίλασμα. χαῖρε θεοῦ πρὸς θνητοὺς εὐδοκία. χαῖρε θνητῶν πρὸς θεὸν παρρησία: χαῖρε νύμφη ἀνύμ.

Ζάλην ἔνδοθεν ἔχων λογισμῶν ἀμφιβόλων, ὁ σώφρων Ἰωσὴφ ἐταράχθη. πρὸς τὴν ἄγαμόν σε θεωρῶν, καὶ κλεψίγαμον ὑπονοῶν ἄμεμπτε. μαθὼν δέ σου τὴν σύλληψιν ἐκ πνεύματος ἁγίου, ἔφη: ἀλληλούϊα. εἶθ' οὕτως τὸ κοντάκιον. τῇ ὑπερμάχῳ.

εἶτα τὸν ἄμωμον, καὶ πάλιν, καὶ κοντάκιον.

εἶτα τοὺς ἑτέρους ἓξ οἴκους.

Ἤκουσαν οἱ ποιμένες τῶν ἀγγέλων ὑμνούντων, τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν. καὶ δραμόντες ὡς πρὸς ποιμένα, θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον ἐν

Digitized by Google

τῇ γαστρὶ μαρίας βοσκηθέντα, ὃν ὑμνοῦντες εἶπον·
χαῖρε ἀμνοῦ καὶ ποιμένος μῆτερ. χαῖρε αὐλὴ λογικῶν
προβάτων. χαῖρε ἀοράτων ἐχθρῶν ἀμυντήριον.
χαῖρε παραδείσου θυρῶν ἀνοικτήριον. χαῖρε ὅτι
τὰ οὐράνια συναγάλλεται τῇ γῇ. χαῖρε ὅτι τὰ ἐπίγεια
συγχορεύει οὐρανοῖς. χαῖρε τῶν ἀποστόλων τὸ ἀσίγητον
στόμα. χαῖρε τῶν ἀθλοφόρων τὸ ἀνίκητον θάρσος.
χαῖρε στερρὸν τῆς πίστεως ἔρεισμα. χαῖρε λαμπρὸν
τῆς χάριτος γνώρισμα. χαῖρε δι' ἧς ἐγυμνώθη ὁ ἅδης. χαῖρε δι' ἧς ἐνεδύθημεν δόξαν :~

χαῖρε νύμφη ἀνύμφευτε.

Θεοδρόμον ἀστέρα θεωρήσαντες μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλῃ. καὶ ὡς λύχνον κρατοῦντες αὐτὸν, δι' αὐτοῦ ἠρεύνων κραταιὸν ἄνακτα. καὶ φθάσαντες τὸν ἄφθαστον, ἐχάρησαν αὐτῷ βοῶντες :~ ἀλληλούϊα.

Ἴδον παῖδες χαλδαίων ἐν χερσὶ τῆς παρθένου, τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους. καὶ δεσπότην νοοῦντες αὐτὸν εἰ καὶ δούλου ἔλαβε μορφὴν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι, καὶ βοῆσαι τῇ εὐλογημένῃ. χαῖρε ἀστέρος ἀδύτου μῆτερ. χαῖρε αὐγὴ μυστικῆς ἡμέρας.
χαῖρε τῆς ἀπάτης τὴν κάμινον σβέσασα. χαῖρε τῆς
τριάδος τοὺς μύστας φωτίζουσα. χαῖρε τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς. χαῖρε κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν. χαῖρε ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας. χαῖρε ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων. χαῖρε πυρὸς προσκύνησιν παύσασα. χαῖρε φλογὸς
παθῶν ἀπαλλάττουσα. χαῖρε πιστῶν ὁδηγὲ σωφροσύνης. χαῖρε πασῶν γενεῶν εὐφροσύνη :~



Digitized by Google

χαῖρε νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι γενόμενοι οἱ μάγοι, ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα. ἐκτελέσαντές σου τὸν χρησμὸν καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν, ἀφέντες τὸν ἡρώδην ὡς ληρώδη, μὴ εἰδότα ψάλλειν:~ ἀλληλούϊα.

Λάμψας ἐν τῇ αἰγύπτῳ φωτισμὸν ἀληθείας, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος. τὰ γὰρ εἴδωλα, σωτὴρ, μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκεν. οἱ τούτων δὲ ῥυσθέντες νῦν, ἐβόων πρὸς τὴν θεοτόκον. χαῖρε ἀνόρθωσις τῶν ἀνθρώπων. χαῖρε κατάπτωσις τῶν δαιμόνων. χαῖρε ἡ τῆς πλάνης τὸ κράτος πατήσασα. χαῖρε ἡ τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα. χαῖρε θάλασσα ποντίσασα φαραὼ τὸν νοητόν. χαῖρε πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν. χαῖρε πύρινε στύλε ὁδηγῶν τοὺς ἐν σκότει. χαῖρε σκέπη τοῦ κόσμου πλατυτέρα νεφέλης. χαῖρε τροφὴ τοῦ μάννα διάδοχε. χαῖρε τρυφῆς τῆς ἁγίας διάκονε. χαῖρε ἡ γῆ τῆς ἐπαγγελίας. χαῖρε ἐξ ἧς ῥέει μέλι καὶ γάλα:~

χαῖρε νύμφη ἀνύμφευτε.

Μέλλοντος συμεῶνος τοῦ παρόντος αἰῶνος, μεθίστασθαι τοῦ ἀπατεῶνος, ἐπεδόθης ὡς βρέφος αὐτῷ. ἀλλ' ἐγνώσθης τούτῳ καὶ θεὸς τέλειος. διό περ ἐξεπλάγη σου τὴν ἄρρητον σοφίαν κράζων:~ ἀλληλούϊα. τῇ ὑπερμάχῳ στρατηγῷ. εἶθ' οὕτως τὸν πεντηκοστὸν, καὶ ὁ κανὼν τῆς θεοτόκου ποίημα ἰωσὴφ τοῦ ὑμνογράφου. οὗ ἡ ἀκροστιχίς, χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῃ. ὠδὴ α'. ἦχος δ'. ἀνοίξω τὸ στόμα μου.

Digitized by Google

Χ ῦ βίβλον ἔμψυχον· ἐσφραγισμένην ὥστε πνεύμα-
τι. ὁ μέγας ἀρχάγγελος, ἁγνὴ θεώνυμος. ἐπεφώνει
σοι· χαῖρε χαρᾶς δοχεῖον, δι' ἧς τῆς προμήτορος,
ἀρὰ λυθήσεται :~

Α δὰμ ἐπανόρθωσις. χαῖρε παρθένε θεόνυμφε·
τοῦ ἅδου ἡ νέκρωσις· χαῖρε πανάμωμε, τὸ πα-
λάτιον τοῦ μόνου βασιλέως. χαῖρε θρόνε πύρι-
νε τοῦ παντοκράτορος :~

Ρ όδον τὸ ἀμάραντον. χαῖρε ἡ μόνη βλαστήσασα. τὸ
μῆλον τὸ εὔοσμον· χαῖρε ἡ τέξασα. τὸ ὀσφράδιον
τοῦ πάντων βασιλέως. χαῖρε ἀπειρόγαμε,
κόσμου διάσωσμα :~

Α γνείας θησαύρισμα. χαῖρε δι' ἧς ἐκ τοῦ πτώματος.
ἡμῶν ἐξανέστημεν. χαῖρε ἡδύπνοον. κρῖνον δέσποι-
να πιστοὺς εὐωδιάζον. θυμίαμα εὔοσμον, μύρον
πολύτιμον :~ καταβασία. ἀνοίξω τὸ στόμα-
μου. ᾠδὴ ν'. τοῖς σοῖς ὕμνοις.

Ε τάχυν ἡ βλαστήσασα τὸ θεῖον, ὡς χώρα ἀνήροτος σα-
φῶς. χαῖρε ἔμψυχε τράπεζα, ἄρτον ζωῆς χωρήσα-
σα. χαῖρε τοῦ ζῶντος ὕδατος, πηγὴ ἀκένωτος δέσποινα·

Δ άμαλις τὸν μόσχον ἡ τεκοῦσα. τὸν ἄμωμον χαῖρε
τοῖς πιστοῖς. χαῖρε ἀμνὰς κυήσασα, θεοῦ ἀμνὸν
τὸν αἴροντα· κόσμου παντὸς τὰ πταίσματα. χαῖ-
ρε θερμὸν ἱλαστήριον :~

Ο ρθρος φαεινὸς χαῖρε ἡ μόνη, τὸν ἥλιον φέρουσα χ̄ν.
φωτὸς κατοικητήριον. χαῖρε τὸ σκότος λύσασα. καὶ
τοὺς ζοφώδεις δαίμονας, ὁλοτελῶς ἐκμειώσασα.

Χ αῖρε πύλη μόνη ἣν ὁ λόγος, διώδευσε μόνος, ἡ


Digitized by Google

μοχλοὺς· καὶ πύλας ᾅδου δὲ ὡς θεὸς τῷ τόκῳ σου συντρίψασα. χαῖρε ἡ θεία εἴσοδος, τῶν σωζομένων παμμύμητε:~

τὸ κοντάκιον. τῇ ὑπερμάχῳ. καὶ πάλιν ἄλλους ἐξ οἴκους.

Νέαν ἔδειξε κτίσιν, ἐμφανίσας ὁ κτίστης ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις, ἐξ ἀσπόρου βλαστήσας γαστρός, καὶ φυλάξας ταύτην ὥσπερ ἦν ἄφθορον, ἵνα τὸ θαῦμα βλέποντες ὑμνήσωμεν αὐτὴν βοῶντες. χαῖρε τὸ ἄνθος τῆς ἀφθαρσίας. χαῖρε τὸ στέφος τῆς ἐγκρατείας· χαῖρε ἀναστάσεως τύπον ἐκλάμπουσα. χαῖρε ἀγγέλων τὸν βίον ἐμφαίνουσα. χαῖρε δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί. χαῖρε ξύλον εὐσκιόφυλλον, ἐξ οὗ σκέπονται πολλοί. χαῖρε κυοφοροῦσα ὁδηγὸν πλανωμένοις· χαῖρε ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις· χαῖρε κριτοῦ δικαίου δυσώπησις. χαῖρε πολλῶν πταιόντων συγχώρησις. χαῖρε στολὴ τῶν γυμνῶν παρρησίας. χαῖρε στοργὴ πάντα πόθον νικῶσα:~

χαῖρε νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ κόσμου, τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες. διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς θεὸς ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος, βουλόμενος ἑλκύσαι πρὸς ὕψος τοὺς αὐτῷ βοῶντας:~ ἀλληλούϊα.

Ὅλος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδ' ὅλως ἀπῆν ὁ ἀπερίγραπτος λόγος. συγκατάβασις γὰρ θεϊκή, οὐ μετάβασις δὲ τοπικὴ γέγονε· καὶ τόκος ἐκ παρθένου θεολήπτου ἀκουούσης ταῦτα. χαῖρε θεοῦ ἀχωρήτου

Digitized by Google

χώρα· χαῖρε σεπτοῦ μυστηρίου θύρα. χαῖρε τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα. χαῖρε τῶν πιστῶν ἀναμφίβολον καύχημα. χαῖρε ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν χερουβίμ. χαῖρε οἴκημα πανάριστον, τοῦ ἐπὶ τῶν σεραφίμ. χαῖρε ἡ τἀναντία εἰς ταυτὸ ἀγαγοῦσα. χαῖρε ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα. χαῖρε δι᾽ ἧς ἐλύθη παράβασις. χαῖρε δι᾽ ἧς ἠνοίχθη παράδεισος. χαῖρε ἡ κλεὶς τῆς Χριστοῦ βασιλείας. χαῖρε ἐλπὶς ἀγαθῶν αἰωνίων:~ χαῖρε νύμ.

Πᾶσα φύσις ἀγγέλων κατεπλάγη, τὸ μέγα τῆς σῆς ἐνανθρωπήσεως ἔργον. τὸν ἀπρόσιτον γὰρ, ὡς θεὸν, ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον. ἡμῖν μὲν συνδιάγοντα. ἀκούοντα δὲ παρὰ πάντων οὕτως:~ ἀλληλούϊα.

Ῥήτορας πολυφθόγγους, ὡς ἰχθύας ἀφώνους ὁρῶμεν ἐπὶ σοὶ θεοτόκε. ἀποροῦσι γὰρ λέγειν, τὸ πῶς καὶ παρθένος μένεις, καὶ τεκεῖν ἴσχυσας. ἡμεῖς δὲ τὸ μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν. χαῖρε σοφίας θεοῦ δοχεῖον. χαῖρε προνοίας αὐτοῦ ταμεῖον. χαῖρε φιλοσόφους ἀσόφους δεικνύουσα. χαῖρε τεχνολόγους ἀλόγους ἐλέγχουσα. χαῖρε ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί. χαῖρε ὅτι ἐμαράνθησαν, οἱ τῶν μύθων ποιηταί. χαῖρε τῶν ἀθηναίων τὰς πλοκὰς διασπῶσα. χαῖρε τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα. χαῖρε βυθοῦ ἀγνοίας ἐξέλκουσα. χαῖρε πολλοὺς ἐν γνώσει φωτίζουσα. χαῖρε ὁλκὰς τῶν θελόντων σωθῆναι. χαῖρε λιμὴν τοῦ βίου πλωτήρων.

χαῖρε νύμφη ἀνύμφευτε.

Θέλων τὸν κόσμον, ὁ τῶν ὅλων κοσμήτωρ,

Digitized by Google

πρὸς τὸν αὐτὲ παντελὸς ἦλθε. ὁ ποιμὴν ὑπάρ-
χων ὡς θεός, δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος. ὁμοίῳ
γὰρ τὸ ὅμοιον καλέσας ὡς θεὸς ἀκούει :~ ἀλλη-
λούϊα. τὸ κοντάκιον. τῇ ὑπερμάχῳ στρατηγῷ. ᾠδὴ
δ'. ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου θεότητος.

Ἐν φωναῖς ᾀσμάτων πιστεῖ, σοὶ βοῶμεν πανύμνητε.
χαῖρε πῖον ὄρος καὶ τετυρωμένον ἐν πνι. χαῖρε
λυχνία καὶ στάμνε, μάννα φέρουσα. τὸ γλυκαῖ-
νον, τὰ τῶν εὐσεβῶν αἰσθητήρια :~

Ἱλαστήριον τοῦ κόσμου. χαῖρε ἄχραντε δέσποινα.
χαῖρε κλῖμαξ γῆθεν. πάντας ἀνυψώσασα χά-
ριτι. χαῖρε ἡ γέφυρα ὄντως ἡ μετάγουσα, ἐκ
θανάτου πάντας, εἰς ζωὴν τοὺς ὑμνοῦντάς σε :~

Οὐρανῶν ὑψηλοτέρα, χαῖρε γῆς τὸ θεμέλιον. ἐν τῇ
σῇ νηδύϊ. ἄχραντε ἀκόπως βαστάσασα. χαῖρε
κογχύλη πορφύραν θείαν βάψασα. ἐξ αἱμά-
των σου τῷ βασιλεῖ τῶν δυνάμεων :~

Νομοθέτην ἡ τεκοῦσα ἀληθῶς. χαῖρε δέσποι-
να, τὴν τὰς ἀνομίας, πάντων δωρεὰν ἐξαλείφον-
τα. ἀκατανόητον βάθος, ὕψος ἄρρητον. ἀπειρό-
γαμε δι' ἧς βροτοὶ ἐθεώθημεν :~

Σὲ τὴν πλέξασαν τῷ κόσμῳ. ἀχειρόπλοκον στέφα-
νον. ἀνυμνολογοῦμεν χαῖρέ σοι παρθένε κραυ-
γάζοντες. τὸ φυλακτήριον πάντων καὶ χαράκω-
μα. καὶ κραταίωμα. καὶ ἱερὸν καταφύγιον :~

ᾠδὴ πέμπτη. ἐξέστη τὰ σύμπαντα.

Ὁδὸν ἡ κυήσασα ζωῆς, χαῖρε παναμώμητε. ἡ κα-

Digitized by Google

κατακλυσμοῦ τῆς ἁμαρτίας. σώσασα κόσμον. χαῖ-
ρε θεόνυμφε. ἄκουσμα καὶ λάλημα φρικτόν. χαῖ-
ρε ἐνδιαίτημα, τοῦ δεσπότου τῆς κτίσεως :~

Ἰσχὺς καὶ ὀχύρωμα, ἀνθρώπων χαῖρε ἄχραντε. τόπε
ἁγιάσματος τῆς δόξης. νέκρωσις ἅδου νυμφὼν
ὁλόφωτε. χαῖρε τῶν ἀγγέλων χαρμονή. χαῖ-
ρε ἡ βοήθεια τῶν πιστῶς δεομένων σου :~

Πυρίμορφον ὄχημα τοῦ λόγου χαῖρε δέσποινα.
ἔμψυχε παράδεισε τὸ ξύλον. ἐν μέσῳ ἔχων ζωῆς
τὸν κύριον. οὗ ὁ γλυκασμὸς ζωοποιεῖ, πίστει τοὺς μετέ-
χοντας. καὶ φθορᾷ ὑποκύψαντας :~

Ῥωννύμενοι θέρμει σου, πιστῶς ἀναβοῶμέν σοι. χαῖ-
ρε πόλις τοῦ παμβασιλέως. δεδοξασμένα καὶ ἀξιά-
κουστα. περὶ ἧς λελάληνται σαφῶς. ὄρος ἀλατό-
μητον. χαῖρε βάθος ἀμέτρητον :~

Εὐρύχωρον σκήνωμα, τοῦ λόγου χαῖρε ἄχραντε.
κόχλος ἡ τὸν θεῖον μαργαρίτην. προσαγαγοῦ-
σα χαῖρε πανθαύμαστε. πάντων πρὸς θεὸν κα-
ταλλαγή, τῶν μακαριζόντων σε θεοτόκε ἑκάστοτε :~

ᾠδὴ ϛʹ. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Παστὰς τοῦ λόγου ἀμόλυντε. αἰτία τῆς τῶν πάντων θεώ-
σεως. χαῖρε πανάχραντε. τῶν προφητῶν περιήχη-
μα. χαῖρε τῶν ἀποστόλων τὸ ἐγκαλλώπισμα :~

Ἐκ σοῦ ἡ δρόσος ἀπέσταξε, φλογμὸν πολυθεΐας ἡ
λύσασα. ὅθεν βοῶμέν σοι. χαῖρε ὁ πόκος ὁ ἔν-
δροσος. ὃν γεδεὼν παρθένε προεθεάσατο :~

Ἰδού σοι χαῖρε κραυγάζομεν. λιμὴν ἡμῖν γενοῦ θα-
λαττεύουσι, καὶ ὁρμητήριον, ἐν τῷ πελάγει τῶν

Digitized by Google

θλίψεων. ἐκ τῶν σκανδάλων πάντων τοῦ πολεμήτορος.

Χαρᾶς αἰτία χαριτοῦσα, ὑμῶν τὸν λογισμὸν τῆς κραυγάζειν σοι. χαῖρε ἡ ἄφλεκτος βάτος, νεφέλη ὁλόφωτε, ἡ τοῖς πιστοῖς ἀπαύστως ἐπισκιάζουσα:~

τὸν εἱρμὸν. τὴν ... μαχίῳ καὶ ᾠδῆς.

Τεῖχος εἶ τῶν παρθένων, θεοτόκε παρθένε. καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων. ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς κατεσκεύασέ σε ποιητὴς ἄχραντε. οἰκήσας ἐν τῇ μήτρα σου καὶ πάντας σοι προσφωνεῖν διδάξας. χαῖρε ἡ στήλη τῆς παρθενίας. χαῖρε ἡ πύλη τῆς σωτηρίας. χαῖρε ἀρχηγὲ νοητῆς ἀναπλάσεως. χαῖρε χορηγὲ θεϊκῆς ἀγαθότητος. χαῖρε σὺ γὰρ ἀνεγέννησας, τοὺς συλληφθέντας αἰσχρῶς. χαῖρε σὺ γὰρ ἐνουθέτησας, τοὺς συληθέντας τὸν νοῦν. χαῖρε ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα. χαῖρε ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα. χαῖρε παστὰς ἀσπόρου νυμφεύσεως. χαῖρε πιστοὺς κυρίῳ ἁρμόζουσα. χαῖρε καλὴ κουροτρόφε παρθένε. χαῖρε ψυχῶν νυμφοστόλε ἁγίων:~ χαῖρε νύμφη ἀνύμφευτε.

Ὕμνος ἅπας ἡττᾶται, συνεκτείνεσθαι σπουδάζων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου. ἰσαρίθμοις ψαλμοῖς καὶ ᾠδὰς ἂν προσφέρωμέν σοι βασιλεῦ ἅγιε, οὐδὲν τελοῦμεν ἄξιον ὧν δέδωκας ἡμῖν τοῖς σοι βοῶσιν:~ ἀλληλούια.

Φωτοδόχον λαμπάδα τοῖς ἐν σκότει φανεῖσαν, ὁρῶμεν τὴν ἁγίαν παρθένον. τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς, ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας.

αὐγὴ τὴν ψυχὴν φωτίζουσα, κραυγὴ δὲ τιμωμένη ταῦτα. χαῖρε ἀκτὶς νοητοῦ ἡλίου. χαῖρε βολὶς τοῦ ἀδύτου φέγγους. χαῖρε ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα. χαῖρε ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα. χαῖρε ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν. χαῖρε ὅτι τὸν πολύρρυτον ἀναβλύζεις ποταμόν. χαῖρε τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον. χαῖρε τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον. χαῖρε λουτὴρ ἐκπλύνων συνείδησιν. χαῖρε κρατὴρ κιρνῶν ἀγαλλίασιν. χαῖρε ὀσμὴ τῆς Χριστοῦ εὐωδίας. χαῖρε ζωὴ, μυστικῆς εὐωχίας :~ χαῖρε νύμφη ἀνύμ.

Χάριν δοῦναι θελήσας, ὀφλημάτων ἀρχαίων, ὁ πάντων χρεολύτης ἀνθρώπων, ἐπεδήμησε δι' ἑαυτοῦ, πρὸς τοὺς ἀποδήμους τῆς χάριτος αὐτοῦ. καὶ σχίσας τὸ χειρόγραφον, ἀκούει παρὰ πάντων οὕτως. Ἀλληλούια.

Ψάλλοντές σου τὸν τόκον, ἀνυμνοῦμέν σε πάντες, ὡς ἔμψυχον ναὸν θεοτόκε. ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρὶ, ὁ συνέχων πάντα τῇ χειρὶ κύριος, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας. χαῖρε σκηνὴ τοῦ θεοῦ καὶ λόγου. χαῖρε ἁγία, ἁγίων μείζων. χαῖρε κιβωτὲ χρυσωθεῖσα τῷ πνεύματι. χαῖρε θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε. χαῖρε τίμιον διάδημα, βασιλέων εὐσεβῶν. χαῖρε καύχημα σεβάσμιον, ἱερέων εὐλαβῶν. χαῖρε τῆς ἐκκλησίας ὁ ἀσάλευτος πύργος. χαῖρε τῆς βασιλείας, τὸ ἀπόρθητον τεῖχος. χαῖρε δι' ἧς ἐχθροὶ καταπίπτουσι. χαῖρε χρωτὸς τοῦ ἐμοῦ θεραπεία. χαῖρε ψυχῆς τῆς ἐμῆς σωτηρία :~

χαῖρε νύμφη ἀνύμφευτε.

Digitized by Google

Ὑπεραμύμνητε μῆτερ, ἡ τεκοῦσα τὸν πάντων ἁγίων ἁγιώτατον λόγον. δεξαμένη τὴν νῦν προσφοράν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως, τοὺς σοὶ βοῶντας:~ ἀλληλούϊα, καὶ πάλιν, ὁ, ἄγγελος πρωτοστάτης. εἶτα τὸ κοντάκιον. τῇ ὑπερμάχῳ. ᾠδὴ ἑβδόμη. οὐκ ἐλάτρευσαν τὴν κτίσιν.

Ἀνυμνοῦμέν σε βοῶντες, χαῖρε ὄχημα ἡλίου τοῦ νοητοῦ. ἄμπελος ἀληθινή, τὸν βότρυν τὸν πέπειρον ἡ γεωργήσασα. οἶνον στάζοντα, τὸν τὰς ψυχὰς εὐφραίνοντα, τῶν πιστῶς σε δοξαζόντων:~

Ἰατρὸν τῶν ἀνθρώπων ἡ κυήσασα, χαῖρε θεόνυμφε. ἡ ῥάβδος ἡ μυστική, ἄνθος τὸ ἀμάραντον ἡ ἐξανθήσασα. χαῖρε δέσποινα, δι' ἧς χαρᾶς πληρούμεθα, καὶ ζωὴν κληρονομοῦμεν:~

Ῥητορεύουσά σε οὐ σθένει γλῶσσα δέσποινα ὑμνολογῆσαί σε. ὑπὲρ γὰρ τὰ σεραφίμ, ὑψώθης κυήσασα τὸν βασιλέα Χριστόν. ὃν ἱκέτευε πάσης βλάβης ῥύσασθαι, τοὺς πιστῶς σε προσκυνοῦντας:~

Εὐφημοῦσί σε μακαρίζοντα τὰ πέρατα, καὶ ἀνακράζουσί σοι, χαῖρε ὁ τόμος ἐν ᾧ δακτύλῳ ἐγγέγραπται πατρὸς ὁ λόγος ἁγνή, ὃν ἱκέτευε, βίβλῳ ζωῆς τοὺς δούλους σου, καταγράψαι θεοτόκε:~

Ἱκετεύομέν σε οἱ δοῦλοί σου, καὶ κλίνομεν γόνυ καρδίας ἡμῶν, κλῖνον τὸ οὖς σου ἁγνή, καὶ σῶσον τοὺς θλίψεσι βυθιζομένους ἡμᾶς. καὶ συντήρησον, πάσης ἐχθρῶν ἁλώσεως, τὴν σὴν πόλιν θεοτόκε:~

Digitized by Google

ᾠδὴ η΄. παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ἡ νηδύϊ τὸν λόγον ὑπεδέξω. τὸν πάντα βαστάζοντα ἐβάστασας. γάλακτι ἐξέθρεψας νεύματι τὸν τρέφοντα τὴν οἰκουμένην ἅπασαν. ἁγνὴ ᾧ ψάλλομεν, τὸν κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας:~

Μωσῆς κατενόησεν ἐν βάτῳ, τὸ μέγα μυστήριον τοῦ τόκου σου, παῖδες προεικόνισαν, τοῦτο ἐμφανέστατα. μέσον πυρὸς ἱστάμενοι, καὶ μὴ φλεγόμενοι, ἀκήρατε ἁγία παρθένε. ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Οἱ πρώην ἀπάτῃ γυμνωθέντες, στολὴν ἀφθαρσίας ἐνεδύθημεν, τῇ κυοφορίᾳ σου. καὶ οἱ καθεζόμενοι, ἐν σκότει παραπτώσεων, φῶς κατωπτεύσαμεν, φωτὸς κατοικητήριον κόρη. ὅθεν σε ὑμνοῦμεν, εἰς πάν.

Νεκροὶ διὰ σοῦ ζωοποιοῦνται. ζωὴν γὰρ τὴν ἐνυπόστατον ἐκύησας, εὔλαλοι οἱ ἄλαλοι, πρώην χρηματίζοντες. λεπροὶ ἀποκαθαίρονται. νόσοι διώκονται. πνευμάτων ἀερίων τὰ πλήθη, ἥττηνται παρθένε βροτῶν ἡ σωτηρία:~

Ἡ κόσμῳ τεκοῦσα σωτηρίαν, δι᾽ ἧς ἀπὸ γῆς εἰς ὕψος ἤρθημεν. χαίροις πανευλόγητε, σκέπη καὶ κραταίωμα, τεῖχος καὶ ὀχύρωμα, τῶν μελῳδούντων ἁγνή, τὸν κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας:~ ᾠδὴ θ΄. ἅπας γηγενὴς σκιρτάτω.

Ἵνα σοὶ πιστοὶ, τὸ χαῖρε κραυγάζωμεν, οἱ διὰ σοῦ τῆς χαρᾶς μέτοχοι γενόμενοι τῆς ἀϊδίου, ῥῦσαι ἡμᾶς πειρασμοῦ βαρβαρικῆς ἁλώσεως, καὶ πάσης ἄλλης πληγῆς, διὰ πλῆθος κόρη πα-

Digitized by Google

ϵα τελώσεως, ἐποίησας βροτοῖς ἂν ἁρπάζουσιν:~

Ὤφθης φωτισμὸς ἡμῶν καὶ βεβαίωσις. ὅθεν βοῶμέν σοι. χαῖρε ἄστρον ἄδυτον, εἰσάγον κόσμῳ τὸν μέγαν ἥλιον. χαῖρε ἐδὲμ ἀνοίξασα, τὴν κεκλεισμένην ἁγνή. χαῖρε στῦλε πύρινε εἰσάγουσα, εἰς τὴν ἄνω ζωὴν τὸ ἀνθρώπινον:~

Στῶμεν εὐλαβῶς, ἐν οἴκῳ θεοῦ ἡμῶν καὶ ἐκβοήσωμεν. χαῖρε κόσμου δέσποινα. χαῖρε μαρία κυρία πάντων ἡμῶν. χαῖρε ἡ μόνη ἄμωμος ἐν γυναιξὶ καὶ καλή. χαῖρε σκεῦος, μύρον τὸ ἀκένωτον, ἐπὶ σὲ κενωθὲν εἰσδεξάμενον:~

Ἡ περιστερὰ, ἡ τὸν ἐλεήμονα ἀποκυήσασα. χαῖρε ἀειπάρθενε. ὁσίων πάντων, χαῖρε τὸ καύχημα. τῶν ἀθλητῶν στεφάνωμα, χαῖρε ἁπάντων τε τῶν δικαίων θεῖον ἐγκαλλώπισμα, καὶ ἡμῶν τῶν πιστῶν τὸ διάσωσμα.

Φεῖσαι ὁ θεὸς, τῆς κληρονομίας σου, τὰς ἁμαρτίας ἡμῶν πάσας παραβλέπων νῦν, εἰς τοῦτο ἔχων ἐκδυσωποῦντά σε, τὴν ἐπὶ γῆς ἀσπόρως σε κυοφορήσασαν. διὰ μέγα ἔλεος, θελήσαντα μορφωθῆναι χριστὲ τὸ ἀλλότριον:~

ἐξαποστειλάριον. Πρὸς τὸ, γυναῖκες ἀκουτί.

Σκιρτήσατε χορεύσατε, μετ' εὐφροσύνης ᾄσατε. ὁ γαβριὴλ τῇ παρθένῳ, χαρὰν κομίζων ἐπέστη, εἰς ναζαρὲτ νῦν τὴν πόλιν· χαρᾶς τὰ εὐαγγέλια. χαῖρε ἁγνὴ καὶ ἄμωμε, τοῦ κόσμου ἡ προστασία. χαῖρε οὐράνιε θρόνε:~ Εἰς τοὺς αἴνους, ἦχος δ'. Πρὸς τὸ, ὡς γενναῖον ἐν μάρτυσιν.

Κεκρυμμένον μυστήριον, καὶ ἀγγέλοις ἀγνώριστον,

γαβριὴλ

Digitized by Google

γαβριὴλ πιστεύεται ὁ ἀρχάγγελος. καὶ σοὶ σὲ μυστικῶς ἐλάσεται. τὴν μόνην ἀνίατον, καὶ καλὴν ἐν γυναιξὶ, καὶ τοῦ γένους ἀνάκλησιν. καὶ βοήσει σοι. παναγία τὸ χαῖρε. ἑτοιμάζου, διὰ λόγου τὸν λόγον, σοῖς ταῖς λαγόσιν εἰς δέξασθαι:~

Φωτοφόρον παλάτιον, ἡτοιμάσθη σοι δέσποτα, ἡ μηδὺς ἡ ἄχραντος τοῦ θεόπαιδος. δεῦρο πρὸς σὲ, τοῦ τὸ καταβῆναι. οἰκτεῖρον τὸ πλάσμα σου, φθονερῶς πολεμηθὲν. δουλεία κρατούμενον, τοῦ ἀλάστορος. καὶ τὸ κάλλος τὸ πρῶτον, ἀπολέσαν. καὶ τὴν σὴν σωτηριώδη, προσμένον κατάβασιν:~

Γαβριὴλ ὁ ἀρχάγγελος. σοὶ σὲ παναμώμητε. ἐμφανῶς ἐλάσεται, καὶ βοήσει σοι. χαῖρε κατάρας λυτήριον. πεσόντων ἀνόρθωσις. χαῖρε μόνη ἐκλεκτὴ, τῷ θεῷ χρηματίσασα. χαῖρε ἔμψυχε τοῦ ἡλίου νεφέλη. ὑποδέχου, τὸν ἀχώρητον ἐν μήτρα. εἰσοικισθῆναι σοὶ μέλλοντα:~ δόξα καὶ νῦν, ἦχος δ'.

Γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν ἡ θήκη. ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ ἀρχάγγελος, τοῦ εὐαγγελισμοῦ τὰ ῥήματα. ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον θεόν. διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι. ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως θεὸς, εἰρήνην τῷ κόσμῳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος:~ τέλος τοῦ ἀκαθίστου ὕμνου.

Κανὼν κατανυκτικὸς, εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ᾠδὴ α'. ἦχος β'. ἐν βυθῷ κατέ.

Ἰησοῦ γλυκύτατε Χριστὲ, Ἰησοῦ μακρόθυμε. τὰ τῆς ψυ-



Digitized by Google

χήσμου θεράπευσον τραύματα· ἰησοῦ καὶ γλύκα-
νον τὴν καρδίαν μου πολυέλεε δέομαι, ἰησοῦ σῶτέρ μου.
ἵνα μεγαλύνω σε σωζόμενος:~

Ἰησοῦ γλυκύτατε χριστέ, ἰησοῦ διάνοιξον. τῆς μετανοίας
μοι πύλας φιλάνθρωπε· ἰησοῦ καὶ δέξαι με. σοὶ προσπί-
πτοντα καὶ θερμῶς ἐξαιτούμενον. ἰησοῦ σῶτέρ μου·
τῶν πλημμελημάτων τὴν συγχώρησιν:~

Ἰησοῦ γλυκύτατε χριστέ, ἰησοῦ ἐξάρπασον. ἐκ τῆς χειρὸς τοῦ
δολίου βελίαρ με. ἰησοῦ καὶ ποίησόν δεξιὸν παρα-
στάτην τῆς δόξης σου. ἰησοῦ σῶτέρ μου μοίρας εὐω-
νύμου λυτρωσάμενος:~ ᾠδ.

Ἰησοῦν γεννήσασα θεόν, δέσποινα δυσώπησον· ὑπὲρ ἀχρεί-
ων οἰκετῶν παναχραντε· ὅπως τῆς κολάσεως, ταῖς
πρεσβείαις σου λυτρωθῶμεν ἀμόλυντε, οἱ μεμολυ-
σμένοι· δόξης ἀϊδίου ἀπολαύσαντες. ᾠδὴ γ'. ὁ εἱρ.

Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας, ἐπλάτυνας τὸ
,, στόμα μου ἐπ' ἐχθρούς μου. ηὐφράνθη γὰρ τὸ πνεῦμά
,, μου ἐν τῷ ψάλλειν. οὐκ ἔστιν ἅγιος ὡς ὁ θεὸς ἡμῶν·
,, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ κύριε:~

Εἰσάκουσον φιλάνθρωπε ἰησοῦ μου· τοῦ δούλου σου
βοῶντος ἐν κατανύξει. καὶ ῥῦσαι ἰησοῦ με τῆς κα-
ταδίκης. καὶ τῆς κολάσεως μόνε μακρόθυμε. ἰησοῦ
γλυκύτατε μόνε πολυέλεε:~

Ὑπόδεξαι τὸν δοῦλόν σου ἰησοῦ μου. προσπίπτοντα
σὺν δάκρυσιν ἰησοῦ μου. καὶ σῶσον ἰησοῦ με μετανοοῦν-
τα. καὶ τῆς γεέννης με δέσποτα λύτρωσαι. ἰησοῦ
γλυκύτατε πολυέλεε:~

Τὸν χρόνον ἰησοῦ μου ὃν δέδωκάς μοι. εἰς πάθη ἐδα-

Digitized by Google

πάρησα ἰησοῦμου. διό με ἰησοῦμου μὴ ἀπορρίψῃς.
ἀλλ' ἀνακάλεσαι δέομαι δέσποτα. ἰησοῦ γλυκύ-
τατε καὶ διάσωσον :~ Δξ.

Παρθένε ἡ τεκοῦσα τὸν ἰησοῦνμου. ἱκέτευε ῥυσθῆ-
ναίμε τῆς γεέννης. ἡ μόνη προστασία τῶν θλιβο-
μένων. θεοχαρίτωτε καὶ καταξίωσον. τῆς ζωῆς
παναμώμε τῆς ἀγήρωμε :~

ᾠδὴ δ'. ἐλήλυθας ἐκ παρθένου.

Θεράπευσον. ἰησοῦμου ψυχῆς μου τὰ τραύματα. ἰησοῦ μου
δέομαι ἐκ τῆς χειρός με ἐξάρπασον. ἰησοῦ μου ὦ σπλαγ-
χνε. τοῦ ψυχοφθόρου βελίαρ καὶ διάσωσον :~

Ἡμάρτηκα. ἰησοῦ μου γλυκύτατε ὦ σπλαγχνε. ἰησοῦ μου
σῶσόν με. τὸν προσφυγόντα τῇ σκέπῃ σου. ἰησοῦ μα-
κρόθυμε. καὶ βασιλείας τῆς σῆς με ἀξίωσον :~

Οὐχ ἥμαρτεν. ἰησοῦμου οὐδεὶς ὡς ἐγὼ ἥμαρτον. ἐγὼ ὁ
ταλαίπωρος. ἀλλὰ προσπίπτω δεόμενος. ἰησοῦ-
μου σῶσόν με. καὶ τὴν ζωὴν ἰησοῦ μου κληροδότησον :~

Πανύμνητε, ἰησοῦν ἡ γεννήσασα κύριον. αὐτὸν καθικέ-
τευε. τοῦ λυτρωθῆναι κολάσεως. πάντας τοὺς ὑμ-
νοῦντάς σε καὶ θεοτόκον κυρίως ὀνομάζοντας :~

ᾠδὴ ε'. ὁ φωτισμός.

Σὺ φωτισμός. ἰησοῦμου κόσμου σὺ σειρά. τῆς ἀπε-
γνωσμένης ψυχῆς μου σωτήρ. σὺ ἰησοῦμου τῆς κο-
λάσεως ῥῦσαι. καὶ γεέννης ἐμὲ κραυγάζοντα. σῶ-
σον ἰησοῦμε, χέμου τὸν ἄθλιον :~

Ὁλοσχερῶς. ἰησοῦ μου πρὸς πάθη τῆς ἀτιμίας.
καταβεβλημένος ἤδη κραυγάζω. σὺ ἰησοῦμου,
βοήθειάς μοι χεῖρα. καταπέμψας ἐκπα-



Digitized by Google

σου κράζοντα. σῶσόν Ἰησοῦ μου Χριστὲ με τὸν ἄθλιον:~

Β βδέλυγμα νῦν, Ἰησοῦ προσφέρων ἀναβοῶ σοι. κάθαρον τοῦ ῥύπου τῆς εἰς βάθη κακίας. ἐξ ἀγνοίας κατολισθήσαντα. σῶτερ Ἰησοῦ μου, καὶ σῶσόν με δέομαι:~ δι.

Ψ ὃν Ἰησοῦ ἡ γεννήσασα κόρη θεογεννήτορ. τοῦτον ἐκδυσώπει σωθῆναι πάντας. τοὺς ὀρθοδόξους μοναστὰς καὶ μιγάδας. καὶ γεέννης ῥυσθῆναι κραυγάζοντας. πλησίον σου προστασίαν, βεβαίαν οὐκ ἐγνώκαμεν:~

ᾠδὴ ς. ἐν ἀβύσσω.

Ι ησοῦ Χριστὲ πολυέλεε. ἐξομολογούμενον δέξαι με δέσποτα. ὦ Ἰησοῦ καὶ σῶσόν με. καὶ φθορᾶς Ἰησοῦ με ἐξάρπασον:~

Ι ησοῦ οὐ γέγονεν ἕτερος. ἄσωτος οὐδεὶς ὡς ἐγὼ ὁ ταλαίπωρος. ὦ Ἰησοῦ φιλάνθρωπε. ἀλλὰ σὺ Ἰησοῦ με διάσωσον:~

Ι ησοῦ μου καὶ πόρνην καὶ ἄσωτον. καὶ τὸν μαναστὴν καὶ τελώνην ἐνίκησα. ὦ Ἰησοῦ μου, πάθεσι. καὶ λῃστὴν Ἰησοῦ μιμούμενος τε:~ θεοτοκίον.

Ι ησοῦ τὸν Χριστὸν μου κυήσασα. ἄχραντε παρθένε ἡ μόνη ἀμόλυντος. μεμολυσμένον ὄντα με. πρεσβειῶν σου ὑσσώπῳ νῦν κάθαρον:~

κοντάκιον, ἦχος α΄. τὸν τάφον.

Ε ἰησοῦ Ἰησοῦ, ὁ τὸν ἄσωτον σώσας. σῆμερον Ἰησοῦ ὁ δεξάμενος πόρνην. κάμὲ νῦν ἐλέησον. Ἰησοῦ πολυέλεε. σῶσον οἰκτείρησον. ὦ Ἰησοῦ εὐεργέτα. ὥσπερ εὐσπλαγχνε, τὸν μαναστὴν Ἰησοῦ. ὡς μόνος φιλάνθρωπος. ᾠδὴ ζ΄. ὁ εἱρμός.

Ε ἰκόνος χρυσῆς, ἐν πεδίῳ δεειρᾶ λατρευομένης. οἱ
» τρεῖς σου παῖδες καταφρονήσαντες. ἀθεωτάτου προστά-
» γματος. μέσον δὲ πυρὸς ἐμβληθέντες, δροσιζόμενοι
» ἔψαλλον. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν:~

Digitized by Google

Χε̄ ἰῡ, οὐδεὶς ἥμαρτεν ἐν γῇ ἐκ τοῦ αἰῶνος. ὦ ἰῡ μου ὥσπερ ἥμαρτον, ἐγὼ ὁ τάλας καὶ ἄσωτος. ὅθεν ἰῡ μου βοῶ σοι. μελωδοῦντά με οἰκτείρησον. εὐλογητὸς εἶ ὁ θεὸς, ὁ τῶν πατέρων ἡμῶν:~

Χε̄ ἰῡ, ἐκ τοῦ φόβου σου βοῶ σοι καθηλωσόμενε. ὦ ἰῡ μου καὶ κυβέρνησόν με, πρὸς λιμένα τὸν ὥριον. ὅπως ἰῡ μου οἰκτίρμον. μελωδῶ σοι σωζόμενος. εὐλογητὸς εἶ ὁ θεὸς, ὁ τῶν πατέρων ἡμῶν:~

Χε̄ ἰῡ, μυριάκις ὑπεσχέθην σοι ὁ τάλας. ὦ ἰῡ μου τὴν μετάνοιαν, ἀλλ' ἐψευσάμην ὁ ἄθλιος. ὅθεν ἰῡ μου βοῶ σοι. τὴν ἀναίσθητον μένουσαν. ψυχήν μου φώτισον χε̄. ὁ τῶν πρων ἡμῶν θεὸς εὐλογητὸς εἶ:~ Θτ.

Χμ̄ ἰῡ. ἡ γεννήσασα φρικτῶς σε ὑπὲρ φύσιν. αὐτὸν δυσώπει παναμώμητε. τὰ παρὰ φύσιν μου πταίσματα. πάντα συγχωρῆσαί μοι κόρη. ἵνα κράζω σωζόμενος. εὐλογημένη εἶ θεὸν σαρκὶ κυήσασα:~

ᾠδὴ η. ὁ εἱρμός.

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς. τῶν ἑβραίων τοῖς παισὶ συγκαταβάντα. καὶ τὴν φλόγα εἰς δρόσον μεταβαλλόντα θεόν. ὑμνεῖτε τὰ ἔργα ὡς κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας:~

Σὲ ἰῡ μου δυσωπῶ. ὡς τὴν πόρνην ἰῡ μου ἐλυτρώσω τῶν πολλῶν ἐγκλημάτων. οὕτω κἀμὲ ἰῡ. χε̄ μου λύτρωσαι καὶ κάθαρον. τὴν ῥερυπωμένην ψυχήν μου ἰῡ μου:~

Καθυποκύψας ἰῡ ταῖς ἀλόγοις ἡδοναῖς ἄλογος ὤφθην. καὶ τοῖς κτήνεσιν ὄντως. ὦ ἰῡ μου οἰκτρῶς. ὁ τάλας σοι ἀφομοίωμαι. ὅθεν ἰῡ με τῆς ἀλογίας ῥῦσαι.

Περιπεσὼν μου ἰῡ ψυχοφθόροις ἐν λῃσταῖς ἀπεγυμνώ

Υ χ ιιι

Digitized by Google

θὴν. τὴν στολὴν ἰησοῦ μου, τὴν θεοΰφαντον μου. καὶ κεῖμαι μώλωψι κατάστικτος. ἔλαιον χέ μου ἐπίχεε καὶ οἶνον:~ Δξ.

Ψ ὸν ἰυ̃ μου καὶ θυ̃. ἡ βαστάσασα χ̃ν ἀνερμηνεύτως. θκέ μαρία, τοῦτον δυσώπει ἀεί. κινδύνων σώζεσθαι τοῖς δούλοις σου, καὶ τοῖς ὑμνητοῖς σου ἀπείρανδρε παρθένε:~ ὠδὴ θ'. τὸν ἐκ θεοῦ θυ̃ λόγον.

Ψ ὸν μαμαστὴν ἰησοῦ μου. ὃν τελώνην τὴν πόρνην. τὸν ἄσωτον οἰκτίρμον ἰησοῦ. καὶ τὸν λῃστὴν ὑπερβέβηκα. ἰησοῦ μου ἐν ἔργοις αἰσχίστοις καὶ ἀτόποις ἰησοῦ. ἀλλὰ σὺ ἰυ̃ μου. προφθάσας με διάσωσον:~

Ψ οὺς ἐξ ἀδὰμ ἰυ̃ μου. ἁμαρτήσαντας πάντας, πρὸ νόμου καὶ ἐν νόμῳ ἰυ̃. καὶ μετὰ νόμον ὁ ἄθλιος. ἰυ̃ μου καὶ χάριν. νενίκηκα τοῖς πάθεσιν οἰκτρῶς. ἀλλὰ σὺ ἰυ̃ μου τοῖς κρίμασί σου σῶσόν με:~

Μ ὴ χωρισθῶ ἰησοῦ μου. τῆς ἀφράστου σου δόξης. μὴ τύχω τῆς μερίδος ἰησοῦ. τῆς εὐωνύμου γλυκύτατε. ἰησοῦ ἀλλὰ σύ με, τοῖς δεξιοῖς προβάτοις σου χέ. ἰησοῦ μου συντάξας, ἀνάπαυσον ὡς εὔσπλαγχνος:~ Δξ.

Ψ ὸν ἰυ̃ θκέ. ὃν ἐβάστασας μόνη. ἀπείρανδρε παρθένε μαριάμ. τοῦτον ἀγνὴ ἐξιλέωσαι. ὡς υἱόν σου καὶ κτίστην. ῥυσθῆναι τοὺς προστρέχοντας εἰς σέ. πειρασμῶν καὶ κινδύνων, καὶ τοῦ πυρὸς τοῦ μέλλοντος:~

στιχηρὰ κατανυκτικὰ εἰς τὸν κν̄ ἡμῶν ἰησοῦν Χν̄.

ἦχος πλ. β'. ὅλην ἀποθέμενοι.

Ι ησοῦ γλυκύτατε. ψυχῆς ἐμῆς θυμηδία. ἰησοῦ ἡ κάθαρσις. τοῦ νοός μου δέσποτα πολυέλεε. ἰησοῦ σῶσόν με. ἰησοῦ σωτήρ μου. ἰησοῦ μου παντοδύναμε, μὴ

Digitized by Google

καταλίπῃς με. σῶτερ ἰησοῦ με ἐλέησον. ὁ λύτρωσαι κολάσεως πάσης, ἰησοῦ καὶ ἀξίωσον. τῷ τῶν σωζομένων μερίδος ἰησοῦ μου ὁ χορῷ. τῶν ἐκλεκτῶν σου με συντάξον. ἰησοῦ φιλάνθρωπε :~

Ἰησοῦ γλυκύτατε. τῶν ἀποστόλων ἡ δόξα. ἰησοῦ μου καύχημα. τῶν μαρτύρων δέσποτα παντοδύναμε. ἰησοῦ σῶσον με. ἰησοῦ σωτὴρ μου. ἰησοῦ μου ὡραιότατε, τὸν σοὶ προστρέχοντα. σῶτερ ἰησοῦ με ἐλέησον. πρεσβείαις τῆς τεκούσης σε. πάντων ἰησοῦ τῶν ἁγίων σου. προφητῶν τε πάντων, σῶτερ μου ἰησοῦ καὶ τῆς τρυφῆς. τοῦ παραδείσου ἀξίωσον. ἰησοῦ φιλάνθρωπε :~

δόξα. ὅμοιον.

Ἰησοῦ γλυκύτατε. τῶν μοναζόντων τὸ κλέος. ἰησοῦ μακρόθυμε. ἀσκητῶν ἐντρύφημα. καὶ καλλώπισμα. ἰησοῦ σῶσον με. ἰησοῦ σωτὴρ μου. ἰησοῦ μου ὑπεράγαθε. χειρὸς ἐξάρπασον. σῶτερ ἰησοῦ με τοῦ δράκοντος. καὶ τούτου τῶν παγίδων μυῦ. σῶτερ ἰησοῦ ἐλευθέρωσον. λάκκου κατωτάτου. σῶτερ μου ἰησοῦ ἀμνὰ γνώμ. καὶ δεξιοῖς συναρίθμησον, ἰησοῦ προβάτοις με :~

δόξα καὶ νῦν θεοτ. ὅμοιον.

Μὴ καταπιστεύσῃς με ἀνθρωπίνῃ προστασίᾳ, παναγία δέσποινα. ἀλλὰ δέξαι δέησιν τοῦ ἱκέτου σου. θλίψις γὰρ ἔχει με. φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα σκέπην οὐ κέκτημαι. οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος πάντοθεν πολεμούμενος. καὶ παραμυθίαν οὐκ ἔχων πλὴν σοῦ, δέσποινα τοῦ κόσμου. ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον :~



Digitized by Google

Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν θεοτόκον. ψαλλόμενος ἐν πάσῃ θλίψει τῆς ψυχῆς καὶ περιστάσει. ποίημα θεοστηρίκτου μοναχοῦ.

ᾠδὴ α'. ἦχος πλ. δ'. ὁ εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν. καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών. ὁ ἰσραηλίτης ἀνεβόα, τῷ λυτρωτῇ καὶ θεῷ ἡμῶν ᾄσωμεν:~

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφύγω, σωτηρίαν ἐπιζητῶν. ὦ μῆτερ τοῦ λόγου καὶ παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον:~

Παθῶν με ταράττουσι προσβολαί. πολλῆς ἀθυμίας, ἐμπιπλῶσαι μου τὴν ψυχήν. εἰρήνευσον κόρη τῇ γαλήνῃ, τῇ τοῦ υἱοῦ καὶ θεοῦ σου πανάμωμε:~

Σωτῆρα τεκοῦσάν σε καὶ θεόν. δυσωπῶ παρθένε, λυτρωθῆναί με τῶν δεινῶν. σοὶ γὰρ νῦν προσφύγων, ἀνατείνω καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν:~

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν. ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ. ἀξίωσον μόνη θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια:~ ᾠδὴ γ'. ὁ εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ κύριε. καὶ τῆς ἐκκλησίας δομῆτορ, σύ με στερέωσον. ἐν τῇ ἀγάπῃ τῇ σῇ. τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα. μόνε φιλάνθρωπε:~

Προστασίαν καὶ σκέπην τῆς ζωῆς ἐμῆς τίθημι. σὲ θεογεννῆτορ παρθένε, σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου. τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε:~

Ἱκετεύω παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς

ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου. σὺ γὰρ θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας μόνη πανύμνητε:~

Ε ὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον. τῆς εὐεργεσίας τὸν πλοῦτον. πᾶσιν ἀνάβλυσον. πάντα γὰρ δύνασαι ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα θεομακάριστε:~

Χ αλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ παρθένε σύ μοι βοήθησον. τῶν ἰαμάτων γὰρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν παναμώμε τὸν ἀδαπάνητον:~ ὠδὴ δ΄. ὁ εἱρμός.

Ε ἰσακήκοα κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον. κατενόησα τὰ ἔργα σου. καὶ ἐδόξασά σου τὴν θεότητα:~

Ψ ῶν παθῶν μου τὸν τάραχον. καὶ τὸν κυβερνήτην τεκοῦσα κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων θεονύμφευτε:~

Ε ὐσπλαγχνίας τὴν ἄβυσσον. ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα. καὶ σωτῆρα πάντων τῶν ὑμνούντων σε:~

Α πολαύοντες πάναγνε. τῶν σῶν δωρημάτων τὸ χαριστήριον. ἀναμέλπομεν ἐφύμνιον. οἱ γινώσκοντές σε θεομήτορα:~

Ε πὶ κλίνης ὀδύνης μου, καὶ τῆς ἀῤῥωστίας κατακειμένῳ μοι, ὡς φιλάνθρωπος βοήθησον, θεοτόκε μόνη ἀειπάρθενε:~

Θ ἰ ἐλπίδα καὶ στήριγμα. καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε πανύμνητε. δυσχερείας πάσης ἐκλυτρούμεθα:~ ὠδὴ ε΄. ὁ εἱρμός.

Digitized by Google

Φώτισον ἡμᾶς τοῖς προστάγμασί σου κύριε. καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ. τὴν σὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε:~

Ἔμπλησον ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν. τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον:~

Λύτρωσαι ἡμᾶς ἐκ κινδύνων θεοτόκε ἁγνή. ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν. καὶ τὴν εἰρήνην, τὴν πάντα νοῦν ὑπερέχουσαν:~

Λῦσον τὴν ἀχλὺν, τῶν πταισμάτων μου θεόνυμφε. τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος. ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον:~

Ἴασαι ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν. ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι:~ Μύρον μυστικῶς, ὀνομάζομέν σε πάναγνε. ὡς γεννήσασαν θεὸν ἐν σαρκί. τὸν τὰ εὐώδη ἀναβλύοντα χαρίσματα:~ ᾠδὴ ς΄. ὁ εἱρμός.

Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον. καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς πράξεις. ὅτι κακῶν ἡ ζωή μου ἐπλήσθη. καὶ ἡ ψυχή μου τῷ ᾅδῃ προσήγγισε. καὶ δέομαι ὡς Ἰωνᾶς. ἐκ φθορᾶς ὁ θεός με ἀνάγαγε:~

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ. τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν κατασχεθεῖσαν παρθένε, δυσώπησον, τὸν κύριόν σου καὶ υἱόν. τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι:~

Προστάτην σε τῆς ζωῆς ἐπίσταμαι. καὶ φρουρὰν ἀσφαλεστάτην παρθένε. τῶν πειρασμῶν διαλύουσαν ὄχλον. καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν. καὶ

Digitized by Google

δέομαι διαπαντὸς τῶν παθῶν μου ῥυσθῆναι πανάχραντε :~

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα. καὶ ψυχῶν σε παντελῆ σωτηρίαν. καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι κόρη. καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα. ὦ δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον:~

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι. καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου. ἀλλ' ἡ θεὸν τὸν σωτῆρα τοῦ κόσμου. καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησόν :~

κοντάκιον. τὰ ἄνω ζητῶν.

Πρεσβεία θερμὴ, καὶ τεῖχος ἀπροσμάχητον. ἐλέους πηγὴ, τοῦ κόσμου καταφύγιον. ἐκτενῶς βοῶμέν σοι, θεοτόκε δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα:~ ᾠδὴ ζ'. ὁ εἱρμός.

Οἱ ἐκ τῆς ἰουδαίας, καταντήσαντες παῖδες ἐν Βαβυλῶνι ποτέ. τῇ πίστει τῆς τριάδος, τὴν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες. ὁ τῶν πατέρων ἡμῶν. θεὸς εὐλογητὸς εἶ.

Τὴν ἡμῶν σωτηρίαν. ὡς ἠθέλησας σῶτερ οἰκονομήσασθαι. ἐν μήτρα τῆς παρθένου κατῴκησας τῷ κόσμῳ. ἣν προστάτιν ἀνέδειξας. ὁ τῶν πατέρων ἡμῶν θεὸς εὐλογητὸς εἶ:~

Θελητὴν τοῦ ἐλέους. ὃν ἐγέννησας μῆτερ, ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων ψυχῆς τε μολυσμάτων. τοὺς ἐν πίστει κραυγάζοντας, ὁ τῶν πατέρων ἡμῶν θεὸς εὐλογητὸς εἶ:~

Digitized by Google

Θ ησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ
κυήσασαν, καὶ πύργον ἀσφαλείας· καὶ θύραν με-
τανοίας τοῖς κραυγάζουσιν ἔδειξας. ὁ τῶν πατέρων
ἡμῶν θεὸς εὐλογητὸς εἶ. Θτ.

Σ ωμάτων μαλακίας. καὶ ψυχῶν ἀῤῥωστίας θεο-
γεννήτρια. τῶν πόθω προσιόντων τῇ σκέπῃ σου
τῇ θεία, θεραπεύειν ἀξίωσον. ἡ τὸν σωτῆρα Χριστὸν
ἡμῖν ἀποτεκοῦσα:~ ᾠδὴ η΄. ὁ εἱρμός.

Τ ὸν βασιλέα τῶν οὐρανῶν. ὃν ὑμνοῦσι στρατιαὶ τῶν ἀγγέλων,
ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας:~

Τ οὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους. μὴ παρί-
δῃς παρθένε ὑμνοῦντας, καὶ δοξολογοῦντας σε
κόρη εἰς αἰῶνας:~

Τ ὸν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις τοῖς πιστῶς ὑμνοῦ-
σί σε παρθένε, καὶ ὑπερυψοῦσι τὸν ἄφραστόν σου τόκον.

Τ ὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύοις, καὶ σαρκὸς
τὰς ὀδύνας παρθένε· ἵνα σε δοξάζω τὴν κεχαρι-
τωμένην:~ Θτ.

Τ ῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ
παθῶν τὰς ἐφόδους παρθένε· ὅθεν σε ὑμνοῦμεν,
εἰς πάντας τοὺς αἰῶνας:~ ᾠδὴ θ΄. ὁ εἱρμός.

Κ υρίως θεοτόκον, σὲ ὁμολογοῦμεν· οἱ διὰ σοῦ σε-
„ σωσμένοι παρθένε ἁγνή. σὺν ἀσωμάτοις χο-
„ ρείαις, σὲ μεγαλύνοντες:~

Ῥ οιώ μου τῶν δακρύων, μὴ ἀποποιήσῃ. ἡ τὸν παν-
τὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα παρ-
θένε, Χριστὸν κυήσασα:~

Χ αρᾶς μου τὴν καρδίαν, πλήρωσον παρθένε ἡ τῆς

Digitized by Google

χαρᾶς δεξαμένη τὸ πλήρωμα. τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίζασα:~

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων γενοῦ παρθένε καὶ τεῖχος ἀκράδαντον. καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα:~

Κακώσεως ἐν τόπῳ. τῷ τῆς ἀσθενείας κατακειμένῳ παρθένε θεράπευσον. ἐξ ἀρρωστίας, εἰς ῥῶσιν μετασκευάζουσα:~

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον παρθένε. τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς θεοτόκον σὲ μεγαλύνοντας:~

Ἀκολουθία τῆς ἁγίας μεταλήψεως. μετὰ τὸν στίχον, λέγομεν τὸ βασιλεῦ οὐράνιε. τρισάγιον. παναγία τριάς. πάτερ ἡμῶν. κύριε ἐλέησον, ιβ΄. δεῦτε προσκυνήσωμεν γ΄. τὸν πεντηκοστόν. καὶ εὐθὺς τὸν κανόνα. ἦχος β΄. δεῦτε λαοὶ ᾄσωμεν.

Ἄρτος ζωῆς, αἰωνιζούσης γενέσθω μοι, τὸ σῶμά σου τὸ ἅγιον εὔσπλαγχνε κύριε, καὶ τὸ τίμιον αἷμα τε νόσων πολυτρόπων ἀλεξιτήριον:~

Βεβηλωθεὶς ἔργοις ἀτόποις ὁ δείλαιος. τοῦ σοῦ ἀχράντου σώματος, καὶ θείου αἵματος ἀνάξιος ὑπάρχω χριστὲ τῆς μετουσίας, ἧς με ἀξίωσον:~

Ἡ ἀγαθὴ εὐλογημένη θεόνυμφε. τὸν στάχυν ἡ βλαστήσασα, τὸν ἀγεώργητον, τὸ σωτήριον κόσμῳ, ἀξίωσόν με τοῦτον τρώγοντα σώζεσθαι:~ ᾠδὴ γ΄. ὁ εἱρμός.

Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας. ἐπλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς μου. εὐφράνθη γὰρ τὸ πνεῦμά μου

,, ἐν τῷ ψάλλειν. οὐκ ἔστιν ἅγιος ὡς ὁ θεὸς ἡμῶν. καὶ
,, οὐκ ἔστι δίκαιος πλὴν σοῦ κύριε :~

Δακρύων μοι παράσχου χριστὲ ῥανίδας, τὸν ῥύπον τῆς καρδίας μου καθαιρούσας. ὥστ' ἂν ἐν συνειδήσει κεκαθαρμένος πίστει, προσέρχομαι καὶ φόβῳ δέσποτα, ἐν τῇ μεταλήψει, τῶν θείων δώρων σου :~

Εἰς ἄφεσιν γενέσθω μοι τῶν πταισμάτων, τὸ ἄχραντόν σου σῶμα καὶ θεῖον αἷμα. εἰς τὴν ἁγίου τε κοινωνίαν, καὶ εἰς αἰώνιον ζωὴν φιλάνθρωπε. καὶ παθῶν καὶ θλίψεων ἀλλοτρίωσιν :~ θεοτοκίον.

Ζωῆς τοῦ ἄρτου τράπεζα παναγία. τοῦ ἄνωθεν δι' ἔλεον καταβάντος. καὶ κόσμῳ καινοτέραν ζωὴν διδόντος, κἀμὲ ἀξίωσον νῦν τὸν ἀνάξιον, μετὰ φόβου γεύσασθαι τούτου καὶ ζήσεσθαι :~

ᾠδὴ δ'. ἐλήλυθας, ἐκ παρθένου.

Ἠθέλησας, δι' ἡμᾶς σαρκωθεὶς πολυέλεε. τυθῆναι ὡς πρόβατον, διὰ βροτῶν ἁμαρτήματα. ὅθεν ἱκετεύω σε, καὶ τὰ ἐμὰ ἐξαλεῖψαι πλημμελήματα :~

Θεράπευσον, τῆς ψυχῆς μου τὰ τραύματα κύριε, καὶ ὅλον ἁγίασον, καὶ καταξίωσον δέσποτα, ὅπως κοινωνήσω σου τοῦ μυστικοῦ θείου δείπνου ὁ ταλαίπωρος :~ θεοτοκίον.

Ἱλέωσαι, καὶ ἐμοὶ τὸν ἐκ σπλάγχνων σου δέσποινα. καὶ τήρει με ἄρρυπον. τὸν σὸν ἱκέτην καὶ ἄμωμον. ὅπως εἰσδεχόμενος, τὸν νοητὸν μαργαρίτην, ἁγιάζωμαι :~ ᾠδὴ ε'. ὁ τοῦ φωτὸς χο.

Καθὼς προέφης χριστέ, γενέσθω δὴ τῷ σῷ τελεῖ δούλῳ σου. καὶ ἐν ἐμοὶ μεῖνον ὡς ὑπέσχου. ἰδοὺ γὰρ τὸ σῶ-

μα τρώγω σου τὸ θεῖον, καὶ πίνω τὸ αἷμά σου:~

Λόγε Θεοῦ, καὶ Θεέ, ὁ ἄνθραξ γένοιτο τοῦ σου σώματος εἰς φωτισμόν, τῷ ἐσκοτισμένῳ ἐμοί, καὶ καθαρμὸς τῆς βεβηλωθείσης ψυχῆς τὸ αἷμά σου:~ Δόξα.

Μαρία Μῆτερ Θεοῦ, τῆς εὐωδίας τὸ σεπτὸν σκήνωμα. ταῖς σαῖς εὐχαῖς, σκεῦος ἐκλογῆς με ἀπέργασαι ὅπως· τῶν ἁγιασμάτων μετέχω τοῦ Υἱοῦ σου:~

ᾠδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Νοῦν ψυχήν, καὶ καρδίαν ἁγίασον, Σωτὴρ καὶ τὸ σῶμά μου. καὶ καταξίωσον, ἀκατακρίτως Δέσποτα, τοῖς φρικτοῖς μυστηρίοις προσέρχεσθαι:~

Ξενωθείην παθῶν, καὶ τῆς χάριτος σχοίην σου προσθήκην, ζωῆς τε ἀσφάλειαν. διὰ τῆς μεταλήψεως, τῶν ἁγίων Χριστὲ μυστηρίων σου:~ Καὶ νῦν.

Ο Θεοῦ Θεὲ Λόγος ὁ ἅγιος. ὅλον με ἁγίασον προσερχόμενον νῦν, τοῖς θείοις μυστηρίοις σου, τῆς ἁγίας Μητρός σου δεήσεσι:~ Κοντάκιον, ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸν ἄρτον Χριστὲ λαβεῖν μὴ ὑπερίδῃς με. τὸ σῶμα τὸ σόν, καὶ θεῖόν σου νῦν αἵματος, τῶν ἀχράντων Δέσποτα καὶ φρικτῶν μυστηρίων σου, μεταλαχεῖν ὁ ἄθλιος· μὴ εἰς κρῖμά μοι γένοιτο, γένοιτο δέ μοι εἰς ζωὴν αἰώνιον καὶ ἀθάνατον:~ ᾠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Πηγὴ ἀγαθῶν, ἡ μετάληψις Χριστὲ τῶν ἀθανάτων σου νῦν μυστηρίων. γενηθήτω μοι, φῶς καὶ ζωὴ καὶ ἀπάθεια. καὶ πρὸς ἀρετῆς θειοτέρας, προκοπὴν καὶ ἐπίδοσιν. πρόξενος μόνε ἀγαθέ, ὅπως δοξάζω σε:~

Ῥυσθείην παθῶν καὶ ἐχθρῶν καὶ ἀναγκῶν. καὶ πάσης θλίψεως. τρόμῳ καὶ πόθῳ προσιόντα νῦν μετ' εὐ-

λαβείας φυλάξει, σοῦ τοῖς ἀθανάτοις καὶ θείοις μυστηρίοις καὶ ψάλλειν σοι, εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν:~ θ' ἡμᾶς.

Σ εαρκωθεῖσα ἡ τεκοῦσα ἄφθορε μῆτερ θεοχαρίτωτε, ἐνδύσαι πῶς μου ὁ δοῦλός σου, τὴν καθαρὰν ὁ ἀκάθαρτος. μέλλοντά με νῦν τοῖς ἀχράντοις μυστηρίοις προσέρχεσθαι, καθαρόν ὅλον μολυσμοῦ σαρκὸς καὶ ψυχῆς.

ᾠδὴ η'. τὸν ἐν καμίνῳ τοῦ πυρός.

Τ ῶν οὐρανίων καὶ φρικτῶν, καὶ ἁγίων σου Χριστὲ, νῦν μυστηρίων, καὶ τοῦ θείου σου δείπνου. καὶ μυστικοῦ κοινωνὸν γενέσθαι, κἀμὲ καταξίωσον τὸν ἀπεγνωσμένον, ὁ θεὸς ὁ σωτήρ μου:~

Υ πὸ τὴν σὴν καταφυγὼν εὐσπλαγχνίαν ἀγαθὲ, κράζω σοι φόβῳ. ἐν ἐμοὶ μένον σῶτερ, κἀγὼ ὡς ἔφης ἐν σοί. ἰδοὺ γὰρ θαρρῶν τῷ ἐλέει σου, τρώγω σου τὸ σῶμα, καὶ πίνω σου τὸ αἷμα:~

Φ είτλω δεχόμενος τὸ πῦρ, μὴ φλεχθῶ ὡσεὶ κηρὸς καὶ ὡσεὶ χόρτος. ὢ φρικτοῦ μυστηρίου. ὢ εὐσπλαγχνίας θεοῦ, πῶς θείου σώματος ὁ πηλὸς μετέχω, καὶ ἄφθαρτος ποιοῦμαι:~ ᾠδὴ θ'. ἀνάρχου γεννήτορος.

Χ ς ἐστι, γεύσασθε καὶ ἴδετε ὁ κύριος. δι' ἡμᾶς καθ' ἡμᾶς γὰρ πάλαι γενόμενος, ἅπαξ ἑαυτόν τε προσενέγξας ὡς προσφορὰν, πατρὶ τῷ ἰδίῳ ἀεὶ σφαγιάζεται, ἁγιάζων τοὺς μετέχοντας:~

Ψ υχὴν σὴν τῷ σώματι ἁγιασθείην δέσποτα. φωτισθείην, σωθείην, γενοίμην οἶκός σου, τῇ τῶν μυστηρίων μεθέξει τῶν ἱερῶν. ἔνοικόν σε ἔχων, σὺν πατρὶ



Digitized by Google

πατρὶ καὶ πνεύματι, εὐεργέτα πολυέλεε:~

Ὡς πῦρ γεννηθήτω μοι, καὶ ὡσεὶ φῶς τὸ σῶμά σου καὶ τὸ αἷμα σωτήριόν μου τιμιώτατον. φλέγω ἁμαρτίας, τὴν ὕλην καὶ ἐμπιπρῶν. πάθων τὰς ἀκάνθας· καὶ ὅλον φωτίζων με προσκυνεῖν σου τὴν θεότητα. Θεὸ

θ. ς´ σεσωμάτωται ἐκ τῶν ἁγνῶν αἱμάτων σου. ὅθεν πᾶσα ὑμνεῖ σε, γενεὰ δέσποινα. νόων τε τὰ πλήθη δοξάζει ὡς διὰ σοῦ, σαφῶς καθορῶντα, τὸν πάντων δεσπόζοντα, οὐσιωθέντα τὸ ἀνθρώπινον:~

Καὶ εὐθὺς, ἄξιόν ἐστιν ὡς ἀληθῶς. τρισάγιον· παναγία τριάς. πάτερ ἡμῶν. τροπάριον, τῆς ἡμέρας, εἰ ἔστιν ἑορτὴ τῶν χριστουγέννων, ἢ ἄλλη. εἰ δ' οὔ, ταῦτα. ἦχος πλ. β´.

ἐλέησον ἡμᾶς· δόξα. κύριε ἐλέησον ἡμᾶς· καὶ νῦν. τῆς εὐσπλαγχνίας τὴν πύλην.

τὸ κύριε ἐλέησον μ´. καὶ ἡ εὐχὴ τῆς ἀποδείπνου. ἤγουν.

ἄσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε.

Τὴν ἐπαύριον δὲ μετὰ τὴν τῶν ὡρῶν συνήθη ἀκολουθίαν, ὁ μεταλαβεῖν μέλλων, ποιεῖ στίχον. εἶτα βασιλεῦ οὐράνιε. τρισάγιον. παναγία τριάς· πάτερ ἡμῶν. κύριε ἐλέησον ιβ´· δεῦτε προσκυνήσωμεν γ´. καὶ τοὺς παρόντας ψαλμούς.

Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν. ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με. τὴν ψυχήν μου ἐπέστρεψεν· ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης. ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. ἐὰν γὰρ καὶ πορευθῶ, ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ. ἡ



Digitized by Google

ῥάβδος σου, καὶ ἡ βακτηρία σου, αὐταί με παρεκάλεσαν. ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με. ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον. καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ κυρίου, εἰς μακρότητα ἡμερῶν :~

Τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν. τίς ἀναβήσεται εἰς τὸ ὄρος κυρίου; ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; ἀθῷος χερσί, καὶ καθαρὸς τῇ καρδίᾳ. ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τὸν πλησίον αὐτοῦ. οὗτος λήψεται εὐλογίαν παρὰ κυρίου, καὶ ἐλεημοσύνην παρὰ θεοῦ σωτῆρος αὐτοῦ. αὕτη ἡ γενεὰ ζητούντων τὸν κύριον, ζητούντων τὸ πρόσωπον τοῦ θεοῦ ἰακώβ. ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης. κύριος κραταιὸς καὶ δυνατός, κύριος δυνατὸς ἐν πολέμῳ. ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης. κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης:~

Ἐπίστευσα διὸ ἐλάλησα. ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης. τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάν-

Digitized by Google

των ὧν ἀνταπέδωκέ μοι. ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι. τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. ὦ κύριε, ἐγὼ δοῦλος σός. ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. διέῤῥηξας τοὺς δεσμούς μου. σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν ἐπικαλέσομαι. τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ, ἐν αὐλαῖς οἴκου κυρίου, ἐν μέσῳ σου ἱερουσαλήμ:~

δόξα καὶ νῦν. ἀλληλούϊα, μετανοίας γʹ. καὶ τὰ παρόντα τροπάρια, ἦχος πλ. βʹ.

Πας ἀνομίας μου πάριδε κύριε, ὁ ἐκ παρθένου τεχθείς. καὶ τὴν καρδίαν μου καθάρισον. ναὸν αὐτὴν ποιῶν τοῦ ἀχράντου σώματός σου καὶ αἵματος. μὴ με ἐξουδενώσης ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος:~ δόξα.

Εἰς τὴν μετάληψιν τῶν ἁγιασμάτων σου. πῶς ἀναιδευθῶ ὁ ἀνάξιος. ἐὰν γὰρ τολμήσω σοι προσελθεῖν σὺν τοῖς ἀξίοις, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ δείπνου. καὶ κατάκρισιν προξενήσω τῇ πολυαμαρτήτῳ μου ψυχῇ. καθάρισόν με κύριε τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος:~ καὶ νῦν.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν θεοτόκε πταισμάτων. πρὸς σὲ κατέφυγον ἁγνὴ σωτηρίας δεόμενος. ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχὴν καὶ πρέσβευε τῷ υἱῷ σου καὶ θεῷ ἡμῶν, δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν μόνη εὐλογημένη.

τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ μʹ. λέγε τό.



Digitized by Google

ἀκολουθία τῆς μεταλήψεως.

ὅτε οἱ ἔνδοξοι μαθηταί.

ζήτει τὸ ἅγια. καὶ μεγάλη ε'. εἶτα τὸ κύριε ἐλέησον μ'. μετανοίας ὅσας βούλει. εἶτα λέγε τοὺς παρόντας στίχους.

Μέλλων φαγεῖν ἄνθρωπε σῶμα δεσπότου,
φόβῳ πρόσελθε μὴ φλέγῃς, πῦρ τυγχάνει.
θεῖον δὲ πίνων αἷμα πρὸς μετουσίαν,
πρῶτον καταλλάγηθι τοῖς σὲ λυποῦσιν.
ἔπειτα θαρρῶν μυστικὴν βρῶσιν φάγε. ἕτεροι στίχοι.
Πρὸ τοῦ μετασχεῖν τῆς φρικώδους θυσίας,
τοῦ ζωοποιοῦ σώματος τοῦ δεσπότου,
ὧδε πρόσευξαι τῷ τρόπῳ μετὰ τρόμου.

εὐχὴ τοῦ μεγάλου βασιλείου.

Δέσποτα κύριε ἰησοῦ χριστὲ ὁ θεὸς ἡμῶν, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, ὁ πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως δημιουργός, ὁ τοῦ ἀνάρχου πατρὸς συναΐδιος υἱὸς καὶ συνάναρχος, ὁ διὰ ὑπερβολὴν ἀγαθότητος ἐπ' ἐσχάτων τῶν ἡμερῶν σάρκα φορέσας, καὶ σταυρωθείς, καὶ τυθεὶς ὑπὲρ τῶν ἀχαρίστων καὶ ἀγνωμόνων ἡμῶν, καὶ τῷ οἰκείῳ σου αἵματι ἀναπλάσας τὴν φθαρεῖσαν ὑπὸ τῆς ἁμαρτίας φύσιν ἡμῶν, αὐτὸς ἀθάνατε βασιλεῦ, πρόσδεξαι κἀμοῦ τοῦ ἁμαρτωλοῦ τὴν μετάνοιαν καὶ κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσόν μου τῶν ῥημάτων μου. ἥμαρτον γάρ κύριε, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι εἰς τὸ ὕψος τῆς δόξης σου. παρώργισα γάρ σου τὴν ἀγαθότητα, τὰς σὰς ἐντολὰς παραβὰς καὶ μὴ ὑπακούσας τοῖς σοῖς προστάγμασιν. ἀλλὰ σὺ κύριε ἀνεξίκακος ὤν, μακρόθυμός τε καὶ πολυέλεος, οὐ

παρέδωκάς με συναπολέσθαι ταῖς ἀνομίαις μου. τὴν ἐμὴν πάντως ἀναμένων ἐπιστροφήν. σὺ γὰρ εἶπας φιλάνθρωπε διὰ τοῦ προφήτου σου, ὅτι οὐ θελήσεις θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. οὐ γὰρ βούλει δέσποτα τὸ πλάσμα τῶν σῶν ἀπολέσθαι χειρῶν, οὐδὲ εὐδοκεῖς ἐπ' ἀπωλείᾳ ἀνθρώπων, ἀλλὰ θέλεις πάντας σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. διὸ κἀγὼ εἰ καὶ ἀνάξιός εἰμι τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ αὐτῆς τῆς προσκαίρου ζωῆς, ὅλον ἐμαυτὸν ὑποτάξας τῇ ἁμαρτίᾳ, καὶ ταῖς ἡδοναῖς δουλώσας, καὶ τὴν σὴν ἀχρειώσας εἰκόνα, ἀλλὰ ποίημα καὶ πλάσμα σὸν γενόμενος, οὐκ ἀπογινώσκω τὴν ἐμαυτοῦ σωτηρίαν ὁ ἄθλιος. τῇ δὲ σῇ ἀμετρήτῳ εὐσπλαγχνίᾳ θαρρήσας, προσέρχομαι. δέξαι οὖν κἀμὲ φιλάνθρωπε κύριε, ὡς τὴν πόρνην, ὡς τὸν λῃστήν, ὡς τὸν τελώνην, καὶ ὡς τὸν ἄσωτον. καὶ ἆρον μου τὸ βαρὺ φορτίον τῶν ἁμαρτιῶν, ὁ τὴν ἁμαρτίαν αἴρων τοῦ κόσμου, καὶ τὰς ἀσθενείας τῶν ἀνθρώπων ἰώμενος. ὁ τοὺς κοπιῶντας καὶ πεφορτισμένους, πρὸς σεαυτὸν καλῶν καὶ ἀναπαύων. ὁ μὴ ἐλθὼν καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. καὶ καθάρισόν με ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δίδαξόν με ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου. ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεώς μου, τῶν ἁγιασμάτων σου τὴν μερίδα ὑποδεχόμενος, ἑνωθῶ τῷ ἁγίῳ σώματί σου, καὶ αἵματι. καὶ ἕξω σε ἐν ἐμοὶ κατοικοῦντα καὶ μένοντα, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ σου πνεύματι. ναὶ κύριε Ἰησοῦ Χριστὲ ὁ θεός μου. καὶ μὴ εἰς κρίμα μοι γένοιτο ἡ μετάληψις τῶν ἀχράντων καὶ ζωοποιῶν μυστηρίων σου. μηδὲ ἀσθενὴς γενοίμην ψυχῇ τε καὶ



Digitized by Google

σώματι. ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν, ἀλλὰ δός μοι μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τὴν μερίδα τῶν ἁγιασμάτων σου, εἰς πνεύματος ἁγίου κοινωνίαν, εἰς ἐφόδιον ζωῆς αἰωνίου, καὶ εἰς εὐπρόσδεκτον ἀπολογίαν, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου. ὅπως ἂν κἀγὼ σὺν πᾶσι τοῖς ἐκλεκτοῖς σου, μέτοχος γένωμαι τῶν ἀκηράτων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε κύριε. ἐν οἷς δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας, ἀμήν:~

Εὐχὴ ἑτέρα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ χρυσοστόμου.

Κύριε ὁ θεός μου, οἶδα ὅτι οὐκ εἰμὶ ἄξιος, οὐδὲ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς τοῦ οἴκου τῆς ψυχῆς. διότι ὅλη ἔρημος καὶ καταπεσοῦσα ἐστὶ καὶ οὐκ ἔχεις παρ' ἐμοὶ τόπον ἄξιον τοῦ κλῖναι τὴν κεφαλήν. ἀλλ' ὡς ἐξ ὕψους δι' ἡμᾶς ἐταπείνωσας σεαυτόν, συμμετείασον καὶ νῦν τῇ ταπεινώσει μου. καὶ ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, οὕτω κατάδεξαι καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν. καὶ ὡς οὐκ ἀπηξίωσας εἰσελθεῖν καὶ συνδειπνῆσαι ἁμαρτωλοῖς, ἐν τῇ οἰκίᾳ σίμωνος τοῦ λεπροῦ, οὕτω κατάδεξαι εἰσελθεῖν καὶ εἰς τὸν οἶκον τῆς ταπεινῆς μου ψυχῆς τοῦ λεπροῦ καὶ ἁμαρτωλοῦ. καὶ ὡς οὐκ ἀπώσω τὴν ὁμοίαν μοι πόρνην καὶ ἁμαρτωλὸν προσερχομένην καὶ ἁπτομένην σου, οὕτω σπλαγχνίσθητι καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ προσερχομένῳ, καὶ ἁπτομένῳ σου. καὶ ὡς οὐκ ἐβδελύξω τὸ ῥυπαρὸν ἐκείνης στόμα καὶ ἐναγὲς καταφιλοῦν σε,

Digitized by Google

μὴ δὲ ἐμοῦ βδελύξῃ τὸ ῥυπαρώτερον ἐκείνης στόμα τὸ
ἐναγέστερον. μηδὲ τὰ ἐμμυσῆ καὶ ἀκάθαρτά μου χεί-
λη καὶ βέβηλα, καὶ τὴν ἀκαθαρτοτέραν μου γλῶσ-
σαν. ἀλλὰ γενέσθω μοι ὁ ἄνθραξ τοῦ παναγίου σου σώ-
ματος, καὶ τοῦ τιμίου σου αἵματος, εἰς ἁγιασμὸν, καὶ
φωτισμὸν καὶ ῥῶσιν τῆς ταπεινῆς μου ψυχῆς καὶ
τοῦ σώματος. εἰς κουφισμὸν τοῦ βάρους τῶν πολ-
λῶν μου πλημμελημάτων. εἰς φυλακτήριον πάσης
διαβολικῆς ἐνεργείας. εἰς ἀποτροπὴν καὶ ἐμπόδιον
τῆς φαύλης μου καὶ πονηρᾶς συνηθείας. εἰς ἀπονέ-
κρωσιν τῶν παθῶν. εἰς περιποίησιν τῶν ἐντολῶν
σου. εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς
σῆς βασιλείας οἰκείωσιν. οὐ γὰρ ὡς καταφρονῶν
προσέρχομαί σοι Χριστὲ ὁ θεός. ἀλλ' ὡς θαρρῶν τῇ ἀ-
φάτῳ σου ἀγαθότητι. καὶ ἵνα μὴ ἐπὶ πολὺ ἀφιστάμε-
νος τῆς κοινωνίας σου, θηριάλωτος ὑπὸ τοῦ νοητοῦ
λύκου γένωμαι. διὸ δέομαί σου ὡς μόνος ὢν ἅγιος δέ-
σποτα, ἁγίασόν μου τὴν ψυχὴν καὶ τὸ σῶμα. τὸν νοῦν
καὶ τὴν καρδίαν. τοὺς νεφροὺς καὶ τὰ σπλάγχνα.
καὶ ὅλον με ἀνακαίνισον, καὶ ῥίζωσον τὸν φόβον σου ἐν τοῖς
μέλεσί μου. καὶ τὸν ἁγιασμόν σου, ἀνεξάλειπτον ἀπ'
ἐμοῦ ποίησον. καὶ γενοῦ μοι βοηθὸς καὶ ἀντιλήπτωρ,
κυβερνῶν ἐν εἰρήνῃ τὴν ζωήν μου. καταξιῶν με καὶ
τῆς ἐκ δεξιῶν σου παραστάσεως μετὰ τῶν ἁγίων σου.
εὐχαῖς καὶ πρεσβείαις τῆς παναχράντου σου μη-
τρός. τῶν ἀΰλων σου λειτουργῶν καὶ ἀχράντων δυ-
νάμεων. καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι
εὐαρεστησάντων, ἀμήν :~

Εὐχὴ ἑτέρα συμεὼν τοῦ μεταφραστοῦ.

Ο μόνος καθαρὸς καὶ ἀκήρατος κύριε. ὁ διʼ οἶκτον φιλανθρωπίας ἀνεκδιήγητον, τὸ ἡμέτερον ὅλον προσλαβόμενος φύραμα, ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων τῆς ὑπερφυῶς κυησάσης σε. πνεύματος θείου ἐπελεύσει, καὶ εὐδοκία πατρὸς ἀϊδίου χριστὲ ἰησοῦ, σοφία θεοῦ, καὶ εἰρήνη καὶ δύναμις. ὁ τῷ προσλήμματί σου τὰ ζωοποιὰ καὶ σωτήρια πάθη καταδεξάμενος, τὸν σταυρόν, τοὺς ἥλους. τὴν λόγχην, τὸν θάνατον, νέκρωσόν μου τὰ ψυχοφθόρα πάθη τοῦ σώματος. ὁ τῇ ταφῇ σου τὰ τοῦ ἅδου σκυλεύσας βασίλεια. θάψον μου διὰ τῶν ἀγαθῶν λογισμῶν, τὰ πονηρὰ διαβούλια, καὶ τὰ τῆς πονηρίας πνεύματα διασκέδασον. ὁ τῇ τριημέρῳ σου καὶ ζωηφόρῳ ἀναστάσει τὸν πεπτωκότα προπάτορα ἀναστήσας. ἀνάστησόν με τῇ ἁμαρτίᾳ κατολισθήσαντα, τρόπους μοι μετανοίας ὑποτιθέμενος. ὁ τῇ ἐνδόξῳ σου ἀναλήψει, τῆς σαρκὸς θεώσας τὸ πρόσλημμα, καὶ τοῦτο τῇ δεξιᾷ καθέδρᾳ τιμήσας τοῦ πατρός. ἀξίωσόν με διὰ τῆς τῶν ἁγίων σου μυστηρίων μεταλήψεως, τῆς δεξιᾶς μερίδος τῶν σωζομένων τυχεῖν. ὁ τῇ ἐπιδημίᾳ τοῦ παρακλήτου σου πνεύματος, σκεύη τίμια τοὺς ἱερούς σου μαθητὰς ἐργασάμενος, δοχεῖον κἀμὲ τῆς αὐτοῦ ἀνάδειξον ἐπελεύσεως. ὁ μέλλων πάλιν ἔρχεσθαι κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, εὐδόκησον κἀμὲ προϋπαντῆσαί σοι ἐν νεφέλαις, τῷ κριτῇ καὶ πλάστῃ μου, σὺν πᾶσι τοῖς ἁγίοις σου. ἵνα ἀτελευτήτως δοξολογῶ καὶ ἀνυμνῶ σε, σὺν τῷ ἀνάρχῳ σου πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν

καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ.

Ὡς ἐπὶ τοῦ φοβεροῦ σου, καὶ ἀπροσωπολήπτου παρεστηκὼς βήματος, Χριστὲ ὁ Θεός, καὶ δίκας ὑπέχων καὶ λόγον ποιούμενος τῶν ἐμοὶ πεπραγμένων κακῶν, οὕτω σήμερον, πρὸ τοῦ φθάσαι τὴν ἡμέραν τῆς κατακρίσεώς μου, ἐπὶ τῷ ἁγίῳ σου θυσιαστηρίῳ, παριστάμενος ἐνώπιόν σου, καὶ τῶν φοβερῶν καὶ ἁγίων ἀγγέλων σου, κατακαμπτόμενος ὑπὸ τοῦ ἰδίου συνειδότος, προσφέρω τὰς πονηράς μου καὶ ἀθέσμους πράξεις, θριαμβεύων αὐτὰς καὶ δημοσιεύων. Ἴδε Κύριε τὴν ταπείνωσίν μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἴδε ὅτι ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου αἱ ἀνομίαι μου. Τί γὰρ οὐκ ἔπραξα κακόν; ποῖον ἁμάρτημα οὐκ ἐποίησα; ποῖον κακὸν οὐ διετυπωσάμην ἐν τῇ ψυχῇ μου; ἤδη δὲ καὶ ἐν τοῖς ἔργοις διεπραξάμην, πορνείαν, μοιχείαν, ὑπερηφανίαν, ἀλαζονείαν, λοιδορίαν, βλασφημίαν, ἀργολογίαν, βρασμῶν γέλωτας, μέθην, γαστριμαργίαν, ἀδηφαγίαν, μῖσος, φθόνον, φιλαργυρίαν, φιλοχρηματίαν, πλεονεξίαν, φιλαυτίαν, φιλοδοξίαν, ἁρπαγήν, ἀδικίαν, αἰσχροκέρδειαν, ζηλοτυπίαν, καταλαλιάν, παρανομίαν, πᾶσάν μου αἴσθησιν, καὶ πᾶν μέλος ἐμίανα, ἔφθειρα, ἠχρείωσα, ἐργαστήριον γενόμενος καθόλου τοῦ διαβόλου. Καὶ οἶδα Κύριε, ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου. Ἀλλ' ἀνείκαστον τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τὸ ἔλεος ἄφατον τῆς σῆς ἀνεξικάκου ἀγαθωσύνης. Καὶ οὐκ ἔστιν ἁμαρτία ἡ νικῶσα τὴν φιλανθρωπίαν σου. Διὸ παμθαύμαστε Βασιλεῦ ἀνεξί-

Digitized by Google

καὶ νῦν κύριε, θαυμάστωσον καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ τὰ ἐλέη σου. δεῖξον τὴν τῆς χρηστότητός σου δύναμιν. καὶ ἐμφάνισον τὴν ἰσχὺν τῆς τῶν σπλάγχνων ῥοπῆς σου. καὶ ἐπιστρέφοντα δέξαι με τὸν ἁμαρτωλόν. δέξαι με, ὡς ἐδέξω τὸν ἄσωτον. τὸν λῃστήν. τὴν πόρνην. δέξαι με τὸν ὑπερβαλλόντως, καὶ λόγῳ, καὶ ἔργῳ, καὶ ἐπιθυμίᾳ ἀτόπῳ, καὶ ἐνθυμήσει ἀλόγῳ ἡμαρτηκότα σοι. καὶ ὡς τοὺς περὶ τὴν ἑνδεκάτην ὥραν ἐδέξω μηδὲν ἄξιον ἐργασαμένους, οὕτω δέξαι κἀμὲ τὸν ἁμαρτωλόν. πολλὰ ἐπλημμέλησα, καὶ ἠσέλγησα, καὶ ἐλύπησα τὸ πνεῦμά σου τὸ ἅγιον, καὶ παρεπίκρανα τὰ φιλάνθρωπα σπλάγχνα σου, καὶ ἔργῳ, καὶ λόγῳ καὶ διανοίᾳ. ἐν νυκτὶ καὶ ἡμέρᾳ. φανερῶς τε καὶ ἀφανῶς. ἑκουσίως τε καὶ ἀκουσίως. καὶ οἶδα ὅτι παραστήσεις τὰς ἁμαρτίας μου ἔμπροσθέν μου, τοιαύτας, οἵας καὶ παρ' ἐμοῦ γεγόνασι, καὶ συνάρεις λόγον μετ' ἐμοῦ ὑπὲρ ὧν ἐν γνώσει, ἀσύγγνωστα ἔπραξα ἁμαρτήματα. ἀλλὰ κύριε κύριε, μὴ τῇ δικαίᾳ σου κρίσει μὴ τῷ θυμῷ σου ἐλέγξῃς. μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. ἐλέησόν με κύριε. ὅτι οὐ μόνον εἰμὶ ἀσθενής, ἀλλὰ καὶ σόν εἰμι πλάσμα. σὺ μὲν κύριε ἐπεστήριξας ἐπ' ἐμὲ τὸν φόβον σου. ἐγὼ δὲ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. σοὶ τῷ μόνῳ ἥμαρτον, ἀλλὰ δέομαί σου μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς κύριε κύριε, τίς ὑποστήσεται. ἐγὼ γάρ εἰμι τὸ πέλαγος τῆς ἁμαρτίας, καὶ οὐκ εἰμὶ ἄξιος, οὐδὲ ἱκανὸς ἀτενίσαι καὶ ἰδεῖν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τοῦ πλήθους τῶν ἁμαρτιῶν μου, ὧν οὐκ ἔστιν ἀριθμός. πᾶσαι γὰρ κακοπραγίαι καὶ

Digitized by Google

ἐπήρειαι, καὶ μεθοδίαι σατανικαὶ, διαφθοραὶ, ῥεύσεις, μαλακίαι, παιδοφθορείαι, μνησικακίαι, συμβουλίαι πρὸς ἁμαρτίαν, γαργαλισμοὶ, ἄλλα τε μυρία πάθη, οὐκ ἐξέλιπον ἀπ' ἐμοῦ. ποίοις γὰρ οὐ διεφθάρην ἁμαρτήμασι, ποίοις οὐ συνεσχέθην κακοῖς. πᾶσαν ἁμαρτίαν διεπραξάμην. πᾶσαν ἀσωτίαν διεθέμην ἐν τῇ ψυχῇ μου· ἠχρείωμαι ἀπὸ σοῦ τοῦ θεοῦ μου, καὶ ἀνθρώπων. τίς ἀναστήσει με τὸν ἐν τοιούτοις κακοῖς. καὶ τοσούτοις περιπεσόντα πλημμελήμασιν. ἐπὶ σοὶ κύριε ἤλπισα ὁ θεός μου, σὺ ἔστι μοι σωτηρίας ἐλπίς. σὺ νικᾷ ἡ φιλανθρωπία σου, τὰ πλήθη τῶν ἀνομιῶν μου, γενοῦ μοι σωτὴρ, καὶ κατὰ τοὺς οἰκτιρμούς σου καὶ τὰ ἐλέη σου, ἄφες ἄφες συγχώρησόν μοι πάντα ὅσα σοι ἥμαρτον, ὅτι πολλῶν κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ σωτηρίας ἐλπίς. ἐλέησόν με ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου. καὶ μὴ ἀποδώσῃς μοι κατὰ τὰ ἔργα μου· μηδὲ ὦ διώκῃς με κατὰ τὰς πράξεις μου, ἀλλ' ἐπίστρεψον. ἀντιλαβοῦ, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ τῶν συμφυέντων αὐτῇ κακῶν, καὶ δεινῶν προσλήψεων, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου· ἵνα ὅπου ἡ ἁμαρτία ἐπλεόνασεν, ὑπερπερισσεύσῃ ἡ χάρις σου· καὶ αἰνέσω καὶ δοξάσω σε διὰ παντὸς, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. σὺ γὰρ εἶ θεὸς τῶν μετανοούντων, καὶ σωτὴρ τῶν ἁμαρτανόντων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

### τοῦ δαμασκηνοῦ.

Δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἐξου-

Digitized by Google

ὅτε οἱ ἔνδοξοι μαθηταί.

ζήτει τὰ ἅγια καὶ μεγάλη ε΄. εἶτα τὸ κύριε ἐλέησον μ΄. μετανοίας ὅσας βούλει. εὐθὺς τοὺς παρόντας στίχους.

Μέλλων φαγεῖν ἄνθρωπε σῶμα δεσπότου,
Φόβῳ προσέλθε μὴ φλέξῃς, πῦρ τυγχάνει.
Θεῖον δὲ πίνων αἷμα πρὸς μετουσίαν,
Πρῶτον καταλλάγηθι τοῖς σὲ λυποῦσιν.
Ἔπειτα θαῤῥῶν μυστικὴν βρῶσιν φάγε. ἕτεροι στίχοι.
Πρὸ τοῦ μετασχεῖν τῆς φρικώδους θυσίας,
Τοῦ ζωοποιοῦ σώματος τοῦ δεσπότου,
Ὧδε προσεύξαι τῷ τρόπῳ μετὰ τρόμου.

εὐχὴ τοῦ μεγάλου βασιλείου.

Δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, ὁ πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως δημιουργός, ὁ τοῦ ἀνάρχου πατρὸς συναΐδιος υἱὸς καὶ συνάναρχος, ὁ διὰ ὑπερβολὴν ἀγαθότητος ἐπ' ἐσχάτων τῶν ἡμερῶν σάρκα φορέσας, καὶ σταυρωθείς, καὶ τυθεὶς ὑπὲρ τῶν ἀχαρίστων καὶ ἀγνωμόνων ἡμῶν, καὶ τῷ οἰκείῳ σου αἵματι ἀναπλάσας τὴν φθαρεῖσαν ὑπὸ τῆς ἁμαρτίας φύσιν ἡμῶν, αὐτὸς ἀθάνατε βασιλεῦ, πρόσδεξαι κἀμοῦ τοῦ ἁμαρτωλοῦ τὴν μετάνοιαν καὶ κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσόν μου τῶν ῥημάτων μου. ἥμαρτον γὰρ κύριε, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι εἰς τὸ ὕψος τῆς δόξης σου. παρώργισα γάρ σου τὴν ἀγαθότητα τὰς σὰς ἐντολὰς παραβὰς καὶ μὴ ὑπακούσας τοῖς σοῖς προστάγμασιν. ἀλλὰ σὺ κύριε ἀνεξίκακος ὤν, μακρόθυμός τε καὶ πολυέλεος, οὐ

παρέδωκας με συναπολέσθαι ταῖς ἀνομίαις μου, τὴν
ἐμὴν πάντως ἀναμένων ἐπιστροφήν. σὺ γὰρ εἶπας
φιλάνθρωπε διὰ τοῦ προφήτου σου, ὅτι οὐ θελήσεις
θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν.
οὐ γὰρ βούλει δέσποτα τὸ πλάσμα τῶν σῶν ἀπολέσθαι
χειρῶν, οὐδὲ εὐδοκεῖς ἐπ' ἀπωλείᾳ ἀνθρώπων, ἀλλὰ θέλεις
πάντας σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.
διὸ κἀγὼ εἰ καὶ ἀνάξιός εἰμι τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ αὐτοῦ τοῦ
προσκαίρου ζωῆς, ὅλον ἐμαυτὸν ὑποτάξας τῇ ἁμαρ-
τίᾳ, καὶ ταῖς ἡδοναῖς δουλώσας, καὶ τὴν σὴν ἀχρειώσας εἰ-
κόνα, ἀλλὰ ποίημα καὶ πλάσμα σὸν γενόμενος, οὐκ ἀπο-
γινώσκω τὴν ἐμαυτοῦ σωτηρίαν ὁ ἄθλιος. τῇ δὲ σῇ ἀμετρή-
τῳ εὐσπλαγχνίᾳ θαρρήσας, προσέρχομαι. δέξαι οὖν
κἀμὲ φιλάνθρωπε κύριε, ὡς τὴν πόρνην. ὡς τὸν λῃστήν. ὡς τὸν
τελώνην, καὶ ὡς τὸν ἄσωτον. καὶ ἆρόν μου τὸ βαρὺ φορτίον
τῶν ἁμαρτιῶν, ὁ τὴν ἁμαρτίαν αἴρων τοῦ κόσμου, καὶ τὰς
ἀσθενείας τῶν ἀνθρώπων ἰώμενος. ὁ τοὺς κοπιῶντας καὶ πεφορ-
τισμένους, πρὸς σεαυτὸν καλῶν καὶ ἀναπαύων. ὁ μὴ
ἐλθὼν καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετά-
νοιαν. καὶ καθάρισόν με ἀπὸ παντὸς μολυσμοῦ σαρ-
κὸς καὶ πνς. καὶ δίδαξόν με ἐπιτελεῖν ἁγιωσύνην ἐν φό-
βῳ σου. ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδή-
σεώς μου, τῶν ἁγιασμάτων σου τὴν μερίδα ὑποδεχόμε-
νος, ἑνωθῶ τῷ ἁγίῳ σώματί σου, καὶ αἵματι. καὶ ἕξω σε
ἐν ἐμοὶ κατοικοῦντα καὶ μένοντα, σὺν τῷ πατρὶ καὶ τῷ
ἁγίῳ σου πνεύματι. ναὶ κύριε Ἰησοῦ Χριστὲ ὁ θεός μου. καὶ μὴ εἰς κρίμα-
μοι γένοιτο ἡ μετάληψις τῶν ἀχράντων καὶ ζωοποιῶν
μυστηρίων σου. μηδὲ ἀσθενὴς γενοίμην, ψυχῇ τε καὶ

σώματι. ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν, ἀλλὰ δός μοι μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τὴν μερίδα τῶν ἁγιασμάτων σου, εἰς πνεύματος ἁγίου κοινωνίαν, εἰς ἐφόδιον ζωῆς αἰωνίου, καὶ εἰς τὴν εὐπρόσδεκτον ἀπολογίαν, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου. ὅπως ἂν κἀγὼ σὺν πᾶσι τοῖς ἐκλεκτοῖς σου, μέτοχος γένωμαι τῶν ἀκηράτων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε κύριε. ἐν οἷς δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας, ἀμήν:~

Εὐχὴ ἑτέρα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Κύριε ὁ θεός μου, οἶδα ὅτι οὐκ εἰμὶ ἄξιος, οὐδὲ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς τοῦ οἴκου τῆς ψυχῆς. διότι ὅλη ἔρημος καὶ καταπεσοῦσα ἐστὶ καὶ οὐκ ἔχεις παρ' ἐμοὶ τόπον ἄξιον τοῦ κλῖναι τὴν κεφαλήν. ἀλλ' ὡς ἐξ ὕψους δι' ἡμᾶς ἐταπείνωσας σεαυτόν, συμμετρίασον καὶ νῦν τῇ ταπεινώσει μου. καὶ ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, οὕτω κατάδεξαι καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν. καὶ ὡς οὐκ ἀπηξίωσας εἰσελθεῖν καὶ συνδειπνῆσαι ἁμαρτωλοῖς, ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, οὕτω κατάδεξαι εἰσελθεῖν καὶ εἰς τὸν οἶκον τῆς ταπεινῆς μου ψυχῆς τοῦ λεπροῦ καὶ ἁμαρτωλοῦ. καὶ ὡς οὐκ ἀπώσω τὴν ὁμοίαν μοι πόρνην καὶ ἁμαρτωλὸν προσερχομένην καὶ ἁπτομένην σου, οὕτω σπλαγχνίσθητι καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ προσερχομένῳ, καὶ ἁπτομένῳ σου. καὶ ὡς οὐκ ἐβδελύξω τὸ ῥυπαρὸν ἐκείνης στόμα καὶ ἐναγὲς καταφιλοῦν σε,

Digitized by Google

μὴ δὲ ἐμὲ βδελύξῃ τὸ ῥυπαρώτερον ἐκείνης στόμα καὶ ἐναγέστερον. μηδὲ τὰ ἐμμυσαρὰ καὶ ἀκάθαρτά μου χείλη καὶ βέβηλα, καὶ τὴν ἀκαθαρτοτέραν μου γλῶσσαν. ἀλλὰ γενέσθω μοι ὁ ἄνθραξ τοῦ παναγίου σου σώματος, καὶ τοῦ τιμίου σου αἵματος, εἰς ἁγιασμὸν, καὶ φωτισμὸν καὶ ῥῶσιν τῆς ταπεινῆς μου ψυχῆς καὶ τοῦ σώματος. εἰς κουφισμὸν τοῦ βάρους τῶν πολλῶν μου πλημμελημάτων. εἰς φυλακτήριον πάσης διαβολικῆς ἐνεργείας. εἰς ἀποτροπὴν καὶ ἐμπόδιον τῆς φαύλης μου καὶ πονηρᾶς συνηθείας. εἰς ἀπονέκρωσιν τῶν παθῶν. εἰς περιποίησιν τῶν ἐντολῶν σου. εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς βασιλείας οἰκείωσιν. οὐ γὰρ ὡς καταφρονῶν προσέρχομαί σοι Χριστὲ ὁ θεός. ἀλλ' ὡς θαρρῶν τῇ ἀφάτῳ σου ἀγαθότητι. καὶ ἵνα μὴ ἐπὶ πολὺ ἀφιστάμενος τῆς κοινωνίας σου, θηριάλωτος ὑπὸ τοῦ νοητοῦ λύκου γένωμαι. διὸ δέομαί σου ὡς μόνος ὢν ἅγιος δέσποτα, ἁγίασόν μου τὴν ψυχὴν καὶ τὸ σῶμα. τὸν νοῦν καὶ τὴν καρδίαν. τοὺς νεφροὺς καὶ τὰ σπλάγχνα. καὶ ὅλον με ἀνακαίνισον, καὶ ῥίζωσον τὸν φόβον σου ἐν τοῖς μέλεσί μου. καὶ τὸν ἁγιασμόν σου, ἀνεξάλειπτον ἀπ' ἐμοῦ ποίησον. καὶ γενοῦ μοι βοηθὸς καὶ ἀντιλήπτωρ, κυβερνῶν ἐν εἰρήνῃ τὴν ζωήν μου. καταξιῶν με καὶ τῆς ἐκ δεξιῶν σου παραστάσεως μετὰ τῶν ἁγίων σου. εὐχαῖς καὶ πρεσβείαις τῆς παναχράντου σου μητρός. τῶν ἀΰλων σου λειτουργῶν καὶ ἀχράντων δυνάμεων. καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ἀμήν :~



Digitized by Google

## Ἀκολουθία τῆς μεταλήψεως.

### Εὐχὴ ἑτέρα Συμεὼν τοῦ μεταφραστοῦ.

Ὁ μόνος καθαρὸς καὶ ἀκήρατος κύριε· ὁ διʼ οἶκτον φιλανθρωπίας ἀνεκδιήγητον, τὸ ἡμέτερον ὅλον προσλαβόμενος φύραμα, ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων τῆς ὑπερφυῶς κυησάσης σε. πνεύματος θείου ἐπελεύσει, καὶ εὐδοκίᾳ πατρὸς ἀϊδίου χριστὲ ἰησοῦ, σοφία θεοῦ, καὶ εἰρήνη καὶ δύναμις. ὁ τῷ προσλήμματί σου τὰ ζωοποιὰ καὶ σωτήρια πάθη καταδεξάμενος, τὸν σταυρὸν, τοὺς ἥλους. τὴν λόγχην, τὸν θάνατον, νέκρωσόν μου τὰ ψυχοφθόρα πάθη τοῦ σώματος. ὁ τῇ ταφῇ σου τὰ τοῦ ᾅδου σκυλεύσας βασίλεια. θάψον μου διὰ τῶν ἀγαθῶν λογισμῶν, τὰ πονηρὰ διαβούλια, καὶ τὰ τῆς πονηρίας πνεύματα διασκέδασον. ὁ τῇ τριημέρῳ σου καὶ ζωηφόρῳ ἀναστάσει τὸν πεπτωκότα προπάτορα ἀναστήσας. ἀνάστησόν με τῇ ἁμαρτίᾳ κατολισθήσαντα, τρόπους μοι μετανοίας ὑποτιθέμενος. ὁ τῇ ἐνδόξῳ σου ἀναλήψει, τῆς σαρκὸς θεώσας τὸ πρόσλημμα, καὶ τοῦτο τῇ δεξιᾷ καθέδρᾳ τιμήσας τοῦ πατρός. ἀξίωσόν με διὰ τῆς τῶν ἁγίων σου μυστηρίων μεταλήψεως, τῆς δεξιᾶς μερίδος τῶν σωζομένων τυχεῖν. ὁ τῇ ἐπιδημίᾳ τοῦ παρακλήτου σου πνεύματος, σκεύη τίμια τοὺς ἱερούς σου μαθητὰς ἐργασάμενος, δοχεῖον κἀμὲ τῆς αὐτοῦ ἀνάδειξον ἐπελεύσεως. ὁ μέλλων πάλιν ἔρχεσθαι κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, εὐδόκησον κἀμὲ προϋπαντῆσαί σοι ἐν νεφέλαις, τῷ κτίστῃ καὶ πλάστῃ μου, σὺν πᾶσι τοῖς ἁγίοις σου. ἵνα ἀτελευτήτως δοξολογῶ καὶ ἀνυμνῶ σε, σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν

Digitized by Google

καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ.

Ὡς ἐπὶ τοῦ φοβεροῦ σου, καὶ ἀπροσωπολήπτου παρεστηκὼς βήματος, Χριστὲ ὁ Θεός, καὶ δίκας ὑπέχων, καὶ λόγον ποιούμενος τῶν ἐμοὶ πεπραγμένων, κακῶν, οὕτω σήμερον, πρὸ τοῦ φθάσαι τὴν ἡμέραν τῆς κατακρίσεώς μου, ἐπὶ τῷ ἁγίῳ σου θυσιαστηρίῳ, παριστάμενος ἐνώπιόν σου, καὶ τῶν φοβερῶν καὶ ἁγίων ἀγγέλων σου, καταχαμπτόμενος ὑπὸ τοῦ ἰδίου συνειδότος, προσφέρω τὰς πονηράς μου καὶ ἀθέσμους πράξεις, θριαμβεύων αὐτὰς καὶ δημοσιεύων. Ἴδε, Κύριε, τὴν ταπείνωσίν μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἴδε ὅτι ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου αἱ ἀνομίαι μου. Τί γὰρ οὐκ ἔπραξα κακόν. ποῖον ἁμάρτημα οὐκ ἐποίησα· ποῖον κακὸν οὐ διετυπωσάμην ἐν τῇ ψυχῇ μου. ἤδη δὲ καὶ ἐν τοῖς ἔργοις διεπραξάμην, πορνείαν, μοιχείαν, ὑπερηφανίαν· ἀλαζονείαν. λοιδορίαν. βλασφημίαν. ἀργολογίαν. βεασμῶν γέλωτας. μέθην. γαστριμαργίαν. ἀδηφαγίαν. μῖσος. φθόνον· φιλαργυρίαν. φιλοχρηματίαν. πλεονεξίαν. φιλαυτίαν. φιλοδοξίαν· ἁρπαγήν, ἀδικίαν. αἰσχροκέρδειαν. ζηλοτυπίαν, καταλαλιάν. παρανομίαν· πᾶσάν μου αἴσθησιν, καὶ πᾶν μέλος ἐμίανα· ἔφθειρα, ἠχρείωσα, ἐργαστήριον γενόμενος καθόλου τοῦ διαβόλου· καὶ οἶδα, Κύριε, ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ἀλλ' ἀνείκαστον τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τὸ ἔλεος ἄφατον τῆς σῆς ἀνεξικάκου ἀγαθωσύνης. καὶ οὐκ ἔστιν ἁμαρτία ἡ νικῶσα τὴν φιλανθρωπίαν σου. διὸ παμθαύμαστε βασιλεῦ ἀνεξί-

Digitized by Google

κα(ὶ) κ(ύρι)ε κ(ύρι)ε, θαυμάστωσον καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ τὰ ἐλέη σου. δέξον τὴν τῆς χρηστότητός σου δύναμιν. καὶ ἐμφάνισον τὴν ἰσχὺν τῆς εὐσπλαγχνίας ῥοπῆς σου. καὶ ἐπιστρέφοντα δέξαι με τὸν ἁμαρτωλόν. δέξαι με, ὡς ἐδέξω τὸν ἄσωτον. τὸν λῃστήν. τὴν πόρνην. δέξαι με τὸν ὑπερβαλλόντως, καὶ λόγῳ, καὶ ἔργῳ, καὶ ἐπιθυμίᾳ ἀτόπῳ, καὶ ἐνθυμήσει ἀλόγῳ ἡμαρτηκότα σοι. καὶ ὡς τοὺς περὶ τὴν ἑνδεκάτην ὥραν ἐδέξω μηδὲν ἄξιον ἐργασαμένους, οὕτω δέξαι κἀμὲ τὸν ἁμαρτωλόν. πολλὰ ἐπλημμέλησα, καὶ ἐσέλγησα, καὶ ἐλύπησα τὸ πνεῦμά σου τὸ ἅγιον, καὶ παρεπίκρανα τὰ φιλάνθρωπα σπλάγχνα σου, καὶ ἔργῳ, καὶ λόγῳ καὶ διανοίᾳ. ἐν νυκτὶ καὶ ἡμέρᾳ. φανερῶς τε καὶ ἀφανῶς. ἑκουσίως τε καὶ ἀκουσίως. καὶ οἶδα ὅτι παραστήσεις τὰς ἁμαρτίας μου ἔμπροσθέν μου, τοιαύτας, οἵας καὶ παρ' ἐμοῦ γεγόνασι, καὶ συναρεῖς λόγον μετ' ἐμοῦ ὑπὲρ ὧν ἐν γνώσει, ἀσύγγνωστα ἔπραξα ἁμαρτήματα. ἀλλὰ κ(ύρι)ε κ(ύρι)ε, μὴ τῇ δικαίᾳ σου κρίσει μὴ τῷ θυμῷ σου ἐλέγξῃς. μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με ἐλέησόν με κ(ύρι)ε. ὅτι οὐ μόνον εἰμὶ ἀσθενής, ἀλλὰ καὶ σὸν εἰμὶ πλάσμα. σὺ μὲν κ(ύρι)ε ἐπεστήριξας ἐπ' ἐμὲ τὸν φόβον σου. ἐγὼ δὲ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. σοὶ δὲ μόνῳ ἥμαρτον, ἀλλὰ δέομαί σου μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς κύριε κύριε, τίς ὑποστήσεται. ἐγὼ γάρ εἰμι τὸ πέλαγος τῆς ἁμαρτίας, καὶ οὐκ εἰμὶ ἄξιος, οὐδὲ ἱκανὸς ἀτενίσαι καὶ ἰδεῖν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τοῦ πλήθους τῶν ἁμαρτιῶν μου, ὧν οὐκ ἔστιν ἀριθμός. πᾶσαι γὰρ κακοπραγίαι καὶ

Digitized by Google

ἐπίνοιαι, καὶ μεθοδεῖαι σατανικαί, διαφθοραί, ῥεύ-
σεις, μαλακίαι, παιδοφθορεῖαι, μνησικακίαι, συμβου-
λίαι πρὸς ἁμαρτίαν, γαργαλισμοί, ἄλλα τε μυρία πά-
θη, οὐκ ἐξέλιπον ἀπ' ἐμοῦ. ποίοις γὰρ οὐ διεφθά-
ρην ἁμαρτήμασι, ποίοις οὐ συνεσχέθην κακοῖς. πᾶ-
σαν ἁμαρτίαν διεπραξάμην. πᾶσαν ἀσωτίαν διεθέ-
μην ἐν τῇ ψυχῇ μου· ἠχρείωμαι ἀπὸ σοῦ τοῦ θεοῦ μου,
καὶ ἀνθρώπων. τίς ἀναστήσει με τὸν ἐν τοιούτοις κακοῖς, καὶ
τοσούτοις περιπεσόντα πλημμελήμασιν. ἐπὶ σοὶ κύ-
ριε ἤλπισα ὁ θεός μου, ἐπεὶ ἔστι μοι σωτηρίας ἐλπίς. ἐπεὶ
νικᾷ ἡ φιλανθρωπία σου, τὰ πλήθη τῶν ἀνομιῶν μου,
γενοῦ μοι σωτήρ, καὶ κατὰ τοὺς οἰκτιρμούς σου καὶ τὰ ἐλέη
σου, ἄνες ἄφες συγχώρησόν μοι πάντα ὅσα σοι ἥμαρ-
τον, ὅτι πολλῶν κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ οὐκ
ἔστιν ἐν ἐμοὶ σωτηρίας ἐλπίς. ἐλέησόν με ὁ θεὸς κατὰ τὸ
μέγα ἔλεός σου. καὶ μὴ ἀποδώσῃς μοι κατὰ τὰ ἔργα
μου· μηδὲ ὠθιώνῃς με κατὰ τὰς πράξεις μου, ἀλλ' ἐ-
πίστρεψον. ἀντιλαβοῦ, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ
τῶν συμφυέντων αὐτῇ κακῶν, καὶ δεινῶν προσλή-
ψεων, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου· ἵνα ὅπου ἡ ἁ-
μαρτία ἐπλεόνασεν, ὑπερπερισσεύσῃ ἡ χάρις σου· καὶ
αἰνέσω καὶ δοξάσω σε διὰ παντὸς πάσας τὰς ἡμέρας τῆς
ζωῆς μου· σὺ γὰρ εἶ θεὸς τῶν μετανοούντων, καὶ σωτὴρ τῶν ἁμαρ-
τανόντων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ
ἀνάρχῳ σου πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ
σου πνεύματι. νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων, ἀμήν :~

τοῦ δαμασκηνοῦ.

Δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἐξου-

Digitized by Google

σίαν αὐτοῖς ἀφιέναι ἁμαρτίας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος παρειδόμενος πάντα τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ πταίσματα. καὶ ἀξίωσόν με ἀκατακρείτως μεταλαβεῖν τῶν θείων καὶ ἐνδόξων καὶ ἀχράντων καὶ ζωοποιῶν σου μυστηρίων, μὴ εἰς βάρος. μὴ εἰς κόλασιν. μὴ εἰς προσθήκην ἁμαρτιῶν, ἀλλ' εἰς καθαρισμὸν καὶ ἁγιασμὸν καὶ ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. εἰς τεῖχος καὶ βοήθειαν καὶ ἀνατροπὴν τῶν ἐναντίων. εἰς ἐξάλειψιν τῶν πολλῶν μου πλημμελημάτων. σὺ γὰρ εἶ θεὸς ἐλέους καὶ οἰκτιρμῶν, καὶ φιλανθρωπίας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν:~

Τοῦ μεγάλου Βασιλείου.

Οἶδα κύριε ὅτι ἀναξίως μεταλαμβάνω τοῦ ἀχράντου σου σώματος, καὶ τοῦ τιμίου σου αἵματος, καὶ ἔνοχός εἰμι, καὶ κρίμα ἐμαυτῷ ἐσθίω, καὶ πίνω. μὴ διακρίνων τὸ σῶμα καὶ αἷμα σοῦ τοῦ Χριστοῦ καὶ θεοῦ μου. ἀλλὰ τοῖς οἰκτιρμοῖς σου θαρρῶν, προσέρχομαί σοι τῷ εἰπόντι, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. σπλαγχνίσθητι οὖν κύριε, καὶ μὴ παραδειγματίσῃς με τὸν ἁμαρτωλόν, ἀλλὰ ποίησον μετ' ἐμοῦ κατὰ τὸ ἔλεός σου. καὶ γενέσθω μοι τὰ ἅγια ταῦτα, εἰς ἴασιν καὶ κάθαρσιν, καὶ φωτισμόν, καὶ φυλακτήριον, καὶ σωτηρίαν, καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος. Εἰς ἀποτροπὴν πάσης φαντασίας, καὶ πονηρᾶς πράξεως, καὶ ἐνεργείας διαβολικῆς, κατὰ διάνοιαν τῆς ἐν τοῖς μέλεσί μου ἐνεργουμένης εἰς παρρησίαν καὶ ἀγάπην τὴν πρὸς σέ. Εἰς διόρθωσιν βίου, καὶ ἀσφάλειαν. Εἰς αὔξησιν ἀρετῆς καὶ

τελειότητος. εἰς πλήρωσιν ἐντολῶν. εἰς πνεύματος ἁγίου κοινωνίαν. εἰς ἐφόδιον ζωῆς αἰωνίου. εἰς ἀπολογίαν εὐπρόσδεκτον, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα:~

Εὐχὴ ἑτέρα, ἐκ τῶν θείων ἐρωτήσεων τῆς ἁγίας μεταλήψεως, συμεὼν τοῦ νέου θεολόγου.

Ἀπὸ ῥυπαρῶν χειλέων, ἀπὸ βδελυρᾶς καρδίας, ἀπὸ ἀκαθάρτου γλώττης, ἐκ ψυχῆς ἐρρυπωμένης, δέξαι δέησιν χριστέ μου, καὶ μὴ παρωσάμενός μου, μὴ τοὺς λόγους. μὴ τοὺς τρόπους, μηδὲ τὴν ἀναισχυντίαν, δός μοι παρρησίᾳ λέγειν, ἃ βεβούλημαι χριστέ μου. μᾶλλον δὲ καὶ δίδαξόν με, τί με δεῖ ποιεῖν καὶ λέγειν. ἥμαρτον ὑπὲρ τὴν πόρνην, ἣ μαθοῦσα ποῦ καταλύεις, μύρον ἐξωνησαμένη, ἦλθε τολμηρῶς ἀλεῖψαι, σοῦ τοὺς πόδας, τοῦ θεοῦ μου, τοῦ δεσπότου καὶ χριστοῦ μου. ὡς ἐκείνην οὐκ ἀπώσω προσελθοῦσαν ἐκ καρδίας, μὴ δὲ ἐμὲ βδελύξῃ λόγε. σοὺς δὲ παράσχε μοι πόδας, καὶ κρατῆσαι καὶ φιλῆσαι, καὶ τῷ ῥείθρῳ τῶν δακρύων, ὡς πολυτιμήτῳ μύρῳ, τούτους τολμηρῶς ἀλεῖψαι. πλῦνόν με τοῖς δάκρυσί μου, κάθαρόν με αὐτοῖς με λόγε. ἄφες καὶ τὰ πταίσματά μου, καὶ συγγνώμην παράσχε μοι. οἶδας τῶν κακῶν τὸ πλῆθος, οἶδας καὶ τὰ τραύματά μου. καὶ τοὺς μώλωπας ὁρᾷς μου, ἀλλὰ καὶ τὴν πίστιν οἶδας, καὶ τὴν προθυμίαν βλέπεις, καὶ τοὺς στεναγμοὺς ἀκούεις, οὐ λανθάνει σε θεέ μου, ποιητά μου λυτρωτά μου, οὐδὲ σταλαγμὸς δακρύων, οὐδὲ σταλαγμοῦ τι μέρος. τὸ μὴ ἀκατέργαστόν μου, ἔγνωσαν οἱ ὀφθαλμοί σου. ἐπὶ τὸ βιβλίον δέ σου καὶ τὰ μήπω πεπραγμένα, γεγραμμένα σοι τυγχάνει.

Digitized by Google

Ἴδε τὴν ταπείνωσίν μου, ἴδε μου τὸν κόπον, θεέ, καὶ τὰς ἁμαρτίας πάσας ἄφες μοι θεὲ τῶν ὅλων. ἵνα καθαρᾷ καρδίᾳ, φρίττοντί μου διανοίᾳ, καὶ ψυχῇ συντετριμμένῃ, τῶν ἀχράντων σου μετέχω καὶ παναγνῶν μυστηρίων, οἷς ζωοῦται καὶ θεοῦται πᾶς ὁ τρώγων καὶ πίνων ἐξ εἰλικρινοῦς καρδίας. σὺ γὰρ εἶπας δέσποτά μου, πᾶς ὁ τρώγων μου τὴν σάρκα, πίνων δέ μου καὶ τὸ αἷμα, ἐν ἐμοὶ μὲν οὗτος μένει, ἐν αὐτῷ δ' ἐγὼ τυγχάνω. ἀληθὴς ὁ λόγος πάντως, τοῦ δεσπότου καὶ θεοῦ μου. τῶν γὰρ θείων ὁ μετέχων, καὶ θεοποιῶν χαρίτων, οὐ μόνον οὐκ ἔστι μόνος, ἀλλὰ μετὰ σοῦ Χριστέ μου, τοῦ φωτὸς τοῦ τρισηλίου. ἵνα γοῦν μὴ μόνος μένω, δίχα σοῦ τοῦ ζωοδότου, τῆς πνοῆς μου, τῆς ζωῆς μου, τοῦ ἀγαλλιάματός μου, τοῦ κόσμου σωτηρίας, διὰ τοῦτό σοι προσῆλθον ὡς ὁρᾷς μετὰ δακρύων, καὶ ψυχῆς συντετριμμένης. λύτρον τῶν ἐμῶν πταισμάτων, ἱκετεύω τοῦ λαβεῖν με. καὶ τῶν σῶν ζωοπαρόχων, καὶ ἀμέμπτων μυστηρίων μετασχεῖν ἀκατακρίτως. ἵνα μένῃς καθὼς εἶπας, μετ' ἐμοῦ τοῦ τρισαθλίου. ἵνα μὴ χωρὶς εὑρών με τῆς σῆς χάριτος ὁ πλάνος, ἀφαρπάσῃ με δολίως, καὶ πλανήσας ἀπαγάγῃ, τῶν θεοποιῶν σου λόγων. διὰ τοῦτό σοι προσπίπτω, καὶ θερμῶς ἀναβοῶ σοι. ὡς τὸν ἄσωτον ἐδέξω, καὶ τὴν πόρνην προσελθοῦσαν, οὕτω δέξαι με τὸν πόρνον, καὶ τὸν ἄσωτον οἰκτίρμον, ἐν ψυχῇ συντετριμμένῃ. νῦν γὰρ προσερχόμενός σοι, οἶδα σῶτερ ὅτι ἄλλος, ὡς ἐγὼ οὐκ ἔπταισέ σοι. οὐδὲ ἔπραξε τὰς πράξεις, ἃς ἐγὼ κατειργασάμην. ἀλλὰ τοῦτο πάλιν οἶδα, ὡς οὐ μέγεθος πταισ-

σμάτων. οὐχ ἁμαρτημάτων πλῆθος, ὑπερβαίνει τοῦ θεοῦ μου, τὴν πολλὴν μακροθυμίαν. ἀλλ' ἐλαίῳ συμπαθείας, τοὺς θερμῶς μετανοοῦντας, καὶ καθαίρεις καὶ λαμπρύνεις, καὶ φωτὸς ποιεῖς μετόχους. κοινωνοὺς θεότητός σου, ἐργαζόμενος ἀφθόνως. καὶ τὸ ξένον καὶ ἀγγέλοις, καὶ ἀνθρώπων διανοίαις, ὁμιλεῖς αὐτοῖς πολλάκις, ὡς τοῖς φίλοις σου γνησίοις. ταῦτα τολμηρὸν ποιεῖ με, ταῦτά με πτεροῖ Χριστέ μου. καὶ θαρρῶν ταῖς σαῖς πλουσίαις, πρὸς ἡμᾶς εὐεργεσίαις, χαίροντα καὶ τρέμοντά με τοῦ πυρὸς μεταλαμβάνω. χόρτος ὢν καὶ ξένον θαῦμα, δροσιζόμενος ἀκαύστως. ὥσπερ οὖν ἡ βάτος πάλαι, ἡ ἀφλέκτως καιομένη. Τοίνυν εὐχαρίστῳ γνώμῃ, εὐχαρίστῳ δὲ καρδίᾳ, εὐχαρίστοις μέλεσί μου. τῆς ψυχῆς καὶ τῆς σαρκός μου, προσκυνῶ καὶ μεγαλύνω καὶ δοξάζω σε θεέ μου, ὡς εὐλογημένον ὄντα, νῦν τε καὶ εἰς τοὺς αἰῶνας:~

Εὐχὴ ἑτέρα, τοῦ χρυσοστόμου.

Ὁ θεὸς, ἄνες, ἄφες, συγχώρησόν μοι τὰ πλημμελήματά μου, ὅσα σοι ἥμαρτον, εἴτε ἐν λόγῳ εἴτε ἐν ἔργῳ, εἴτε κατὰ διάνοιαν. ἑκουσίως ἢ ἀκουσίως ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ, πάντα μοι συγχώρησον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. καὶ τῇ πρεσβείᾳ τῆς παναχράντου μητρός σου, τῶν νοερῶν σου λειτουργῶν καὶ ἁγίων δυνάμεων, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ἀκατακρίτως εὐδόκησον δέξασθαί με τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιον αἷμα, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἐξάλειψιν τῶν πονηρῶν μου λογισμῶν. ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

τοῦ αὐτοῦ.

Οὐκ εἰμὶ ἱκανὸς δέσποτα κύριε, ἵνα εἰσέλθῃς ὑπὸ τὴν στέγην τῆς ψυχῆς μου. ἀλλ' ἐπειδὴ βούλει σὺ ὡς φιλάνθρωπος οἰκεῖν ἐν ἐμοί, θαρρῶν προσέρχομαι κελεύεις, ἀναπετάσω τὰς πύλας ἃς σὺ μόνος ἐδημιούργησας, καὶ εἰσέρχῃ μετὰ φιλανθρωπίας ὡς πέφυκας. εἰσέρχῃ καὶ φωτίζεις τὸν ἐσκοτισμένον μου λογισμόν. πιστεύω ὡς τοῦτο ποιήσεις, οὐ γὰρ πόρνην προσελθοῦσάν σοι μετὰ δακρύων ἀπέφυγες, οὐδὲ τελώνην ἀπεβάλου μετανοήσαντα, οὐδὲ λῃστὴν ἐπιγνόντα τὴν βασιλείαν σου ἀπεδίωξας, οὐδὲ διώκτην μετανοήσαντα κατέλιπες ὃ ἦν, ἀλλὰ τοὺς ἀπὸ τῆς μετανοίας σοι προσαχθέντας ἅπαντας, ἐν τῷ χορῷ τῶν σῶν φίλων κατέταξας, ὁ μόνος ὑπάρχων εὐλογημένος πάντοτε. νῦν καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας, ἀμήν.

τοῦ αὐτοῦ.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ἄνες, ἄφες. ἱλάσθητι, καὶ συγχώρησόν μοι τῷ ἁμαρτωλῷ, καὶ ἀχρείῳ, καὶ ἀναξίῳ δούλῳ σου, τὰ πταίσματα, καὶ πλημμελήματα, καὶ παραπτώματά μου, ὅσα σοι ἐκ νεότητός μου, καὶ μέχρι τῆς παρούσης ἡμέρας καὶ ὥρας ἥμαρτον. εἴτε ἐν γνώσει καὶ ἀγνοίᾳ. εἴτε ἐν λόγοις. ἢ ἔργοις, ἢ ἐνθυμήμασιν, ἢ διανοήμασι, καὶ ἐπιτηδεύμασι, καὶ πάσαις μου ταῖς αἰσθήσεσι. καὶ τῇ πρεσβείᾳ τῆς ἀσπόρως κυησάσης σε παναχράντου, καὶ ἀειπαρθένου μαρίας τῆς μητρός σου, τῆς μόνης ἀκαταισχύντου ἐλπίδος, καὶ προστασίας καὶ σωτηρίας μου, καταξίωσόν με ἀκατακρίτως μεταλαβεῖν, τῶν ἀχράντων, καὶ ἀθανάτων, καὶ ζωοποιῶν, καὶ φρικτῶν μυστηρίων σου. εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. εἰς ἁγιασμὸν

καὶ

Digitized by Google

καὶ φωτισμὸν, καὶ ῥώμην, καὶ ἴασιν, καὶ ὑγείαν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἐξάλειψιν, καὶ παντελῆ ἀφανισμὸν, τῶν πονηρῶν μου λογισμῶν, καὶ ἐνθυμήσεων, καὶ προλήψεων, καὶ νυκτερινῶν φαντασιῶν, τῶν σκοτεινῶν καὶ πονηρῶν πνευμάτων. ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ σου πνεύματι. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν :~ εὐχὴ ἑτέρα ἰωάννου τοῦ δαμασκηνοῦ.

Πρὸ τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα, καὶ τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσταμαι. ἀλλὰ σὺ Χριστὲ ὁ θεὸς, ὁ τελώνην δικαιώσας, καὶ χαναναίαν ἐλεήσας, καὶ τῷ λῃστῇ παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μου τὰ σπλάγχνα τῆς φιλανθρωπίας σου. καὶ δέξαι με προσερχόμενον, καὶ ἁπτόμενόν σου, ὡς τὴν πόρνην καὶ τὴν αἱμόῤῥουν. ἡ μὲν γὰρ τοῦ κρασπέδου σου ἁψαμένη, εὐχερῶς τὴν ἴασιν ἔλαβεν. ἡ δὲ τοὺς σοὺς ἀχράντους πόδας κρατήσασα, τὴν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. ἐγὼ δὲ ὁ ἐλεεινὸς ὅλον σου τὸ σῶμα τολμῶν δέξασθαι, μὴ καταφλεχθείην, ἀλλὰ δέξαι με ὡς ἐκείνας, καὶ φώτισόν μου τὰ τῆς ψυχῆς αἰσθητήρια, καταφλέγων μου τὰ τῆς ἁμαρτίας ἐγκλήματα. πρεσβείαις τῆς ἀσπόρως τεκούσης σε, καὶ τῶν ἐπουρανίων δυνάμεων. ὅτι εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν :~ εὐχὴ ἑτέρα, τοῦ χρυσοστόμου.

Πιστεύω κύριε καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς, ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον, ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος εἰμὶ ἐγώ. ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι, τὸ ἄχραντον σῶμά σου, καὶ τοῦτο

καὶ ω

Digitized by Google

αὐτό ἐστι, τὸ τίμιον αἷμά σου. δέομαι οὖν σου ἐλέησόν με, καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου. τὰ ἑκούσια. τὰ ἀκούσια. τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ. τὰ ἐν γνώσει, καὶ ἀγνοίᾳ, καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ ζωὴν αἰώνιον:~

Ἀρχόμενος δὲ μεταλαβεῖν, λέγε καθ' ἑαυτὸν, τοὺς παρόντας στίχους, τοῦ μεταφράστου.

Ἰδοὺ βαδίζω πρὸς θείαν κοινωνίαν.
Πλαστουργὲ μὴ φλέξῃς με τῇ μετουσίᾳ.
Πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγων,
Ἀλλ' οὖν κάθαρον, ἐκ πάσης με κηλίδος.

εἶτα πάλιν λέγε.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον υἱὲ θεοῦ, κοινωνόν με παράλαβε. οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω. οὐ φίλημά σοι δώσω, καθάπερ ὁ ἰούδας. ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι, μνήσθητί μου κύριε, ἐν τῇ βασιλείᾳ σου:~

καὶ πάλιν τοὺς στίχους τούτους.

Θεουργὸν αἷμα, φρῖξον ἄνθρωπε βλέπων.
Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων.
Θεοῦ τὸ σῶμα, καὶ θεοῖ με καὶ τρέφει.
Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως. εἶτα, τὰ τροπάρια.

Ἔθελξας πόθῳ με χριστὲ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι. ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον. ἵνα τὰς δύο σκιρτῶν, μεγαλύνω ἀγαθὲ παρουσίας σου:~

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος. ἐὰν γὰρ τολμήσω συνελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων. καθάρισον κύριε τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος :~ εἶτα τὴν εὐχήν.

Δέσποτα φιλάνθρωπε κύριε Ἰησοῦ Χριστὲ ὁ θεός μου. μὴ εἰς κρίμα μοι γένοιτο τὰ ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμόν, ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας :~

Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ θεῷ ἀγαθόν ἐστι. τίθεσθαι ἐν τῷ κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου :~ καὶ πάλιν. τοῦ δείπνου σου τοῦ.

Ἐπὰν δὲ τύχης τῆς καλῆς μετουσίας.
Τῶν ζωοποιῶν μυστικῶν δωρημάτων.
Ὕμνησον εὐθύς, εὐχαρίστησον μέγα.
Καὶ τάδε θερμῶς, ἐκ ψυχῆς θεῷ λέγε.
Δόξα σοι ὁ θεός. Δόξα σοι ὁ θεός. Δόξα σοι ὁ θεός :~
εἶτα τὴν εὐχαριστήριον ταύτην εὐχήν.

Εὐχαριστῶ σοι κύριε ὁ θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλόν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου, καὶ ἐπουρανίων δωρεῶν κατηξίωσας. ἀλλὰ δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστάς, καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα, καὶ ζωοποιά σου μυστήρια, ἐπ' εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Digitized by Google

σιαν αὐτοῖς ἀφιέναι ἁμαρτίας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος παρείδε μου πάντα τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ πταίσματα. καὶ ἀξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν θείων καὶ ἐνδόξων καὶ ἀχράντων καὶ ζωοποιῶν σου μυστηρίων, μὴ εἰς βάρος. μὴ εἰς κόλασιν. μὴ εἰς προσθήκην ἁμαρτιῶν, ἀλλ' εἰς καθαρισμὸν καὶ ἁγιασμὸν καὶ ἀῤῥαβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. εἰς τεῖχος καὶ βοήθειαν καὶ ἀνατροπὴν τῶν ἐναντίων. εἰς ἐξάλειψιν τῶν πολλῶν μου πλημμελημάτων. σὺ γὰρ εἶ θεὸς ἐλέους καὶ οἰκτιρμῶν, καὶ φιλανθρωπίας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

## τοῦ μεγάλου Βασιλείου.

Οἶδα κύριε ὅτι ἀναξίως μεταλαμβάνω τοῦ ἀχράντου σου σώματος, καὶ τοῦ τιμίου σου αἵματος, καὶ ἔνοχός εἰμι, καὶ κρίμα ἐμαυτῷ ἐσθίω, καὶ πίνω. μὴ διακρίνων τὸ σῶμα καὶ αἷμα σου τοῦ Χριστοῦ καὶ θεοῦ μου. ἀλλὰ τοῖς οἰκτιρμοῖς σου θαῤῥῶν, προσέρχομαί σοι τῷ εἰπόντι, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. σπλαγχνίσθητι οὖν κύριε, καὶ μὴ παραδειγματίσῃς με τὸν ἁμαρτωλόν, ἀλλὰ ποίησόν μετ' ἐμοῦ κατὰ τὸ ἔλεός σου. καὶ γενέσθω μοι τὰ ἅγια ταῦτα, εἰς ἴασιν καὶ κάθαρσιν, καὶ φωτισμόν, καὶ φυλακτήριον, καὶ σωτηρίαν, καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος. εἰς ἀποτροπὴν πάσης φαντασίας, καὶ πονηρᾶς πράξεως, καὶ ἐνεργείας διαβολικῆς, κατὰ διάνοιαν τῆς ἐν τοῖς μέλεσί μου ἐνεργουμένης εἰς παῤῥησίαν καὶ ἀγάπην τὴν πρὸς σέ. εἰς διόρθωσιν βίου, καὶ ἀσφάλειαν. εἰς αὔξησιν ἀρετῆς καὶ

τελειότητος· εἰς πλήρωσιν ἐντολῶν· εἰς πνεύματος ἁγίου κοινωνίαν· εἰς ἐφόδιον ζωῆς αἰωνίου· εἰς ἀπολογίαν εὐπρόσδεκτον, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου· μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα:~

Εὐχὴ ἑτέρα, ἐκ τῶν θείων ἐρωτήσεων τῆς ἁγίας μεταλήψεως, συμεὼν τοῦ νέου θεολόγου.

Ἀπὸ ῥυπαρῶν χειλέων, ἀπὸ βδελυρᾶς καρδίας, ἀπὸ ἀκαθάρτου γλώττης, ἐκ ψυχῆς ῥερυπωμένης, δέξαι δέησιν, χριστέ μου, καὶ μὴ παρωσάμενός μου, μὴ τοὺς λόγους, μὴ τοὺς τρόπους, μηδὲ τὴν ἀναισχυντίαν, δός μοι παῤῥησίᾳ λέγειν, ἃ βεβούλευμαι χριστέ μου. μᾶλλον δὲ καὶ δίδαξόν με, τί με δεῖ ποιεῖν καὶ λέγειν. ἥμαρτον ὑπὲρ τὴν πόρνην, ἣ μαθοῦσα ποῦ καταλύεις, μύρον ἐξωνησαμένη, ἦλθε τολμηρῶς ἀλεῖψαι σοῦ τοὺς πόδας τοῦ θεοῦ μου, τοῦ δεσπότου καὶ χριστοῦ μου. ὡς ἐκείνην οὐκ ἀπώσω προσελθοῦσαν ἐκ καρδίας, μηδ᾽ ἐμὲ βδελύξῃ λόγε· σοὺς δὲ παράσχε μοι πόδας, καὶ κρατῆσαι καὶ φιλῆσαι, καὶ τῷ ῥείθρῳ τῶν δακρύων, ὡς πολυτιμήτῳ μύρῳ, τούτους τολμηρῶς ἀλεῖψαι. πλῦνόν με τοῖς δακρυσίμου, κάθαρον αὐτοῖς με λόγε. ἄφες καὶ τὰ πταίσματά μου, καὶ συγγνώμην πάρεχέ μοι. οἶδας τῶν κακῶν τὸ πλῆθος, οἶδας καὶ τὰ τραύματά μου. καὶ τοὺς μώλωπας ὁρᾷς μου, ἀλλὰ καὶ τὴν πίστιν οἶδας, καὶ τὴν προθυμίαν βλέπεις, καὶ τοὺς στεναγμοὺς ἀκούεις, οὐ λανθάνει σε θεέ μου, ποιητά μου λυτρωτά μου, οὐδὲ σταλαγμὸς δακρύων, οὐδὲ σταλαγμοῦ τι μέρος. τὸ μὴ ἀκατέργαστόν μου, ἔγνωσαν οἱ ὀφθαλμοί σου. ἐπὶ τὸ βιβλίον δέ σου καὶ τὰ μήπω πεπραγμένα, γεγραμμένα σοι τυγχάνει.

ἴδε τὴν ταπείνωσίν μου, ἴδε μου τὸν κόπον ὅσος, καὶ τὰς ἁμαρτίας πάσας ἄφες μοι θεὲ τῶν ὅλων. ἵνα καθαρᾷ καρδίᾳ, περιτρόμῳ διανοίᾳ, καὶ ψυχῇ συντετριμμένῃ, τῶν ἀχράντων σου μεταλάβω καὶ παναγνῶν μυστηρίων, οἷς ζωοῦται καὶ θεοῦται, πᾶς ὁ πίνων τε καὶ τρώγων, ἐξ εἰλικρινοῦς καρδίας. σὺ γὰρ εἶπας δέσποτά μου, πᾶς ὁ τρώγων μου τὴν σάρκα, πίνων δέ μου καὶ τὸ αἷμα, ἐν ἐμοὶ μὲν οὗτος μένει, ἐν αὐτῷ δ' ἐγὼ τυγχάνω. ἀληθὴς ὁ λόγος πάντως, τοῦ δεσπότου καὶ θεοῦ μου. τῶν γὰρ θείων ὁ μετέχων, καὶ θεοποιῶν χαρίτων, οὐ μένουσιν οὐκ ἔστι μόνος, ἀλλὰ μετὰ σοῦ Χριστέ μου, τοῦ φωτὸς τοῦ τρισηλίου. ἵνα γοῦν μὴ μόνος μένω, δίχα σοῦ τοῦ ζωοδότου, τῆς πνοῆς μου τῆς ζωῆς μου τοῦ ἀγαλλιάματός μου, τῆς τοῦ κόσμου σωτηρίας, διὰ τοῦτό σοι προσῆλθον ὡς ὁρᾷς μετὰ δακρύων, καὶ ψυχῆς συντετριμμένης. λύτρον τῶν ἐμῶν πταισμάτων, ἱκετεύω τοῦ λαβεῖν με. καὶ τῶν σῶν ζωοπαρόχων, καὶ ἀμέμπτων μυστηρίων. μεταχεῖν ἀκατακρίτως. ἵνα μένῃς καθὼς εἶπας. μετ' ἐμοῦ τοῦ τρισαθλίου. ἵνα μὴ χωρὶς εὑρών με τῆς σῆς χάριτος ὁ πλάνος, ἀφαρπάσῃ με δολίως, καὶ πλανήσας ἀπαγάγῃ, τῶν θεοποιῶν σου λόγων. διὰ τοῦτό σοι προσπίπτω, καὶ θερμῶς ἀναβοῶ σοι. ὡς τὸν ἄσωτον ἐδέξω, καὶ τὴν πόρνην προσελθοῦσαν, οὕτω δέξαι με τὸν πόρνον, καὶ τὸν ἄσωτον οἰκτίρμον, ἐν ψυχῇ συντετριμμένῃ. νῦν γὰρ προσερχόμενός σοι, οἶδα σῶτερ ὅτι ἄλλος, ὡς ἐγὼ οὐκ ἐπταισέ σοι. οὐδὲ ἔπραξε τὰς πράξεις, ἃς ἐγὼ κατειργασάμην. ἀλλὰ τοῦτο πάλιν οἶδα, ὡς οὐ μέγεθος πται-

σμάτων. οὐχ ἁμαρτημάτων πλῆθος, ὑπερβαίνει τοῦ Θεοῦ μου, τὴν πολλὴν μακροθυμίαν. ἀλλ' ἐλαίῳ συμπαθείας, τοὺς θερμῶς μετανοοῦντας, καὶ καθαίρεις καὶ λαμπρύνεις, καὶ φωτὸς ποιεῖς μετόχους. κοινωνοὺς θεότητος σου, ἐργαζόμενος ἀφθόνως. ὦ τὸ ξένον καὶ ἀγγέλοις καὶ ἀνθρώπων διανοίαις, ὁμιλεῖς αὐτοῖς πολλάκις, ὡς πρὸς φίλοις σου γνησίοις. ταῦτα τολμηρόν ποιεῖ με, ταῦτά με πτεροῖ Χριστέ μου. καὶ θαῤῥῶν ταῖς σαῖς πλουσίαις, πρὸς ἡμᾶς εὐεργεσίαις, χαίροντα καὶ τρέμοντα με τοῦ πυρὸς μεταλαμβάνω. χόρτος ὢν καὶ ξένον θαῦμα, δροσιζόμενος ἀκαύστως. ὥσπερ ἦν ἡ βάτος πάλαι, ἡ ἀφλέκτως καιομένη. τοίνυν εὐχαρίστῳ γνώμῃ, εὐχαρίστῳ δὲ καρδίᾳ, εὐχαρίστοις μέλεσί μου. τῆς ψυχῆς καὶ τῆς σαρκός μου, σε προσκυνῶ καὶ μεγαλύνω καὶ δοξάζω σε θεέ μου. ὡς εὐλογημένον ὄντα, νῦν τε καὶ εἰς τοὺς αἰῶνας.~

εὐχὴ ἑτέρα, τοῦ χρυσοστόμου.

Ο θεός, ἄνες, ἄφες, συγχώρησόν μοι τὰ πλημμελήματά μου, ὅσα σοι ἥμαρτον, εἴτε ἐν λόγῳ εἴτε ἐν ἔργῳ, εἴτε κατὰ διάνοιαν. ἑκουσίως ἢ ἀκουσίως ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ, πάντα μοι συγχώρησον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. καὶ τῇ πρεσβείᾳ τῆς παναχράντου σου μητρός, τῶν νοερῶν σου λειτουργῶν καὶ ἁγίων δυνάμεων, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ἀκατακρίτως εὐδόκησον δέξασθαί με τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιον αἷμα, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἐξάλειψιν τῶν πονηρῶν μου λογισμῶν. ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.~

τοῦ αὐτοῦ.

Digitized by Google

Οὐκ εἰμὶ ἱκανὸς δέσποτα κύριε, ἵνα εἰσέλθῃς ὑπὸ τὴν στέγην τῆς ψυχῆς μου. ἀλλ' ἐπειδὴ βούλει σὺ ὡς φιλάνθρωπος οἰκεῖν ἐν ἐμοί, θαῤῥῶν προσέρχομαι. κελεύεις, ἀναπετάσω τὰς πύλας ἃς σὺ μόνος ἐδημιούργησας, καὶ εἰσέρχῃ μετὰ φιλανθρωπίας ὡς πέφυκας. εἰσέρχῃ καὶ φωτίζεις τὸν ἐσκοτισμένον μου λογισμόν. πιστεύω ὡς τοῦτο ποιήσεις, οὐ γὰρ πόρνην προσελθοῦσάν σοι μετὰ δακρύων ἀπέφυγες, οὐδὲ τελώνην ἀπεβάλου μετανοήσαντα, οὐδὲ λῃστὴν ἐπιγνόντα τὴν βασιλείαν σου ἀπεδίωξας, οὐδὲ διώκτην μετανοήσαντα κατέλιπες ὃ ἦν, ἀλλὰ τοὺς ἀπὸ τῆς μετανοίας σοι προσαχθέντας ἅπαντας, ἐν τῷ χορῷ τῶν σῶν φίλων κατέταξας, ὁ μόνος ὑπάρχων εὐλογημένος πάντοτε. νῦν καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας, ἀμήν.

τοῦ αὐτοῦ.

Κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, ἄνες, ἄφες, ἱλάσθητι, καὶ συγχώρησον ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀχρείοις, καὶ ἀναξίοις δούλοις σου, τὰ πταίσματα, καὶ πλημμελήματα, καὶ παραπτώματά μου, ὅσα σοι ἐκ νεότητός μου, καὶ μέχρι τῆς παρούσης ἡμέρας καὶ ὥρας ἥμαρτον. εἴτε ἐν γνώσει καὶ ἀγνοίᾳ. εἴτε ἐν λόγοις ἢ ἔργοις, ἢ ἐνθυμήμασιν, ἢ διανοήμασι, καὶ ἐπιτηδεύμασι, καὶ πάσαις μου ταῖς αἰσθήσεσι. καὶ τῇ πρεσβείᾳ τῆς ἀσπόρως κυησάσης σε παναχράντου, καὶ ἀειπαρθένου μαρίας τῆς μητρός σου, τῆς μόνης ἀκαταισχύντου ἐλπίδος, καὶ προστασίας καὶ σωτηρίας ἡμῶν, καταξίωσόν με ἀκατακρίτως μεταλαβεῖν, τῶν ἀχράντων, καὶ ἀθανάτων, καὶ ζωοποιῶν, καὶ φρικτῶν μυστηρίων σου. εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. εἰς ἁγιασμὸν

καὶ

Digitized by Google

καὶ φωτισμὸν, καὶ ῥώμην, καὶ ἴασιν, καὶ ὑγείαν ψυχῆς τε
καὶ σώματος, καὶ εἰς ἐξάλειψιν, καὶ παντελῆ ἀφανι-
σμὸν, τῶν πονηρῶν μου λογισμῶν, καὶ ἐνθυμήσεων, καὶ
προλήψεων, καὶ νυκτερινῶν φαντασιῶν, τῶν σκοτει-
νῶν καὶ πονηρῶν πνευμάτων. ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ
δύναμις, καὶ ἡ δόξα, καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, σὺν τῷ
πατρὶ καὶ τῷ ἁγίῳ σου πνεύματι. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. ἀμήν :~ εὐχὴ ἑτέρα ἰωάννου τοῦ δαμασκηνοῦ.

Πρὸ τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα, καὶ τῶν δει-
νῶν λογισμῶν οὐκ ἀφίσταμαι. ἀλλὰ σὺ Χριστὲ ὁ
θεὸς, ὁ τελώνην δικαιώσας, καὶ χαναναίαν ἐ-
λεήσας, καὶ τῷ λῃστῇ παραδείσου πύλας ἀνοίξας, ἄνοι-
ξόν μοι τὰ σπλάγχνα τῆς φιλανθρωπίας σου. καὶ δέξαι με
προσερχόμενον, καὶ ἁπτόμενόν σου, ὡς τὴν πόρνην
καὶ τὴν αἱμόρρουν. ἡ μὲν γὰρ τοῦ κρασπέδου σου ἁψαμέ-
νη, εὐχερῶς τὴν ἴασιν ἔλαβεν. ἡ δὲ τοὺς σοὺς ἀχράν-
τους πόδας κρατήσασα, τὴν λύσιν τῶν ἁμαρτημάτων
ἐκομίσατο. ἐγὼ δὲ ὁ ἐλεεινὸς ὅλον σου τὸ σῶμα τολ-
μῶν δέξασθαι, μὴ καταφλεχθείην, ἀλλὰ δέξαι με ὡς ἐ-
κείνας, καὶ φώτισόν μου τὰ τῆς ψυχῆς αἰσθητήρια,
καταφλέγων μου τὰ τῆς ἁμαρτίας ἐγκλήματα. πρε-
σβείαις τῆς ἀσπόρως τεκούσης σε, καὶ τῶν ἐπουρανίων δυ-
νάμεων. ὅτι εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων, ἀμήν :~ εὐχὴ ἑτέρα, τοῦ χρυσοστόμου.

Πιστεύω κύριε καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς, ὁ Χριστὸς
ὁ υἱὸς τοῦ θεοῦ, τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον, ἁ-
μαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. ἔτι πι-
στεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον σῶμά σου, καὶ τοῦτο

καὶ ω

Digitized by Google

αὐτὸ ἐστι, τὸ τίμιον αἷμά σου. δέομαι οὖν σου ἐλέησόν με, καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου. τὰ ἑκούσια. τὰ ἀκούσια. τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ. τὰ ἐν γνώσει, καὶ ἀγνοίᾳ, καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ ζωὴν αἰώνιον:~

Ἀρχόμενος δὲ μεταλαβεῖν, λέγε καθ᾽ ἑαυτὸν, τοὺς παρόντας στίχους, τοῦ μεταφραστοῦ.

Ἰδοὺ βαδίζω πρὸς θείαν κοινωνίαν.
Πλαστουργὲ μὴ φλέξῃς με τῇ μετουσίᾳ.
Πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγων,
Ἀλλ᾽ οὖν κάθαρον, ἐκ πάσης με κηλῖδος.

εἶτα πάλιν λέγε.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον υἱὲ θεοῦ, κοινωνόν με παράλαβε. οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω. οὐ φίλημά σοι δώσω. καθάπερ ὁ ἰούδας. ἀλλ᾽ ὡς ὁ λῃστὴς ὁμολογῶ σοι, μνήσθητί μου κύριε, ἐν τῇ βασιλείᾳ σου:~

καὶ πάλιν τοὺς στίχους τούτους.

Θεουργὸν αἷμα, φρίξον ἄνθρωπε βλέπων.
Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων.
Θεοῦ τὸ σῶμα, καὶ θεοῖ με καὶ τρέφει.
Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως. εἶτα, τὰ τροπάρια.

Ἔθελξας πόθῳ με χριστὲ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι. ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον. ἵνα τὰς δύο σκιρτῶν, μεγαλύνω ἀγαθὲ παρουσίας σου:~

Digitized by Google

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων. καθάρισον κύριε τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος :~

εἶτα τὴν εὐχήν.

Δέσποτα φιλάνθρωπε κύριε Ἰησοῦ Χριστὲ ὁ θεός μου. μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν, ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας :~

Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ θεῷ ἀγαθόν ἐστι. τίθεσθαι ἐν τῷ κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου :~

καὶ πάλιν. τοῦ δείπνου σου τοῦ.

Ἐπὰν δὲ τύχῃς τῆς καλῆς μετουσίας.
Τῶν ζωοποιῶν μυστικῶν δωρημάτων.
Ὕμνησον εὐθύς, εὐχαρίστησον μέγα.
Καὶ τάδε θερμῶς, ἐκ ψυχῆς θεῷ λέγε.
Δόξα σοι ὁ θεός. Δόξα σοι ὁ θεός. Δόξα σοι ὁ θεός :~

εἶτα τὴν εὐχαριστήριον ταύτην εὐχήν.

Εὐχαριστῶ σοι κύριε ὁ θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλὸν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου, καὶ ἐπουρανίων δωρεῶν κατηξίωσας. ἀλλὰ δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστὰς, καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα, καὶ ζωοποιά σου μυστήρια, ἐπ' εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.



Digitized by Google

δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος. εἰς ἀποτροπὴν παντὸς ἐναντίου. εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου. εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων. εἰς πίστιν ἀκαταίσχυντον. εἰς ἀγάπην ἀνυπόκριτον. εἰς πλησμονὴν σοφίας. εἰς περιποίησιν τῶν ἐντολῶν σου. εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς βασιλείας οἰκείωσιν. ἵνα ἐν τῷ ἁγιασμῷ σου δι' αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διαπαντός. καὶ μηκέτι ἐμαυτῷ ζῶ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ δεσπότῃ, καὶ εὐεργέτῃ. καὶ οὕτω τοῦ τῇδε βίου ἀπάρας ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων, τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄρρητον. σὺ γὰρ εἶ τὸ ὄντως ἐφετόν, καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε Χριστὲ ὁ θεὸς ἡμῶν. καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας:~

τοῦ μεγάλου Βασιλείου.

Δέσποτα Χριστὲ ὁ θεός, βασιλεῦ τῶν αἰώνων, καὶ δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν, οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων, καὶ ζωοποιῶν σου μυστηρίων. δέομαι οὖν σου ἀγαθὲ καὶ φιλάνθρωπε, φύλαξόν με ὑπὸ τὴν σκέπην σου, καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ. καὶ δώρησαί μοι, ἐν καθαρῷ συνειδότι μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν

Digitized by Google

δόξαν ἀναπέμπομεν, σὺν πρὶ καὶ τῷ ἁγίῳ πνί, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

τοῦ μεταφραστοῦ, διὰ στίχων.

Ο δοὺς τροφὴν ἑκοῦσαν, σάρκα σὴν ἑκουσίως.
Ο πῦρ ὑπάρχων, καὶ φλέγων ἀναξίους.
Μὴ δὴ καταφλέξῃς με, μὴ πλαστουργέ μου.
Μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις.
Εἰς πάντας ἁρμοὺς εἰς νεφροὺς εἰς καρδίαν.
Φλέξον δ' ἀκάνθας τῶν ὅλων μου πταισμάτων.
Ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας.
Τὰς ἰγνύας στήριξον, ὀστέοις ἅμα.
Αἰσθήσεων φῶτισον, ἁπλῆν πεντάδα.
Ολον με τῷ σῷ, συγκαθήλωσον φόβῳ.
Αεὶ σκέπε φρούρει τε, καὶ φύλαττέ με.
Εκ παντὸς ἔργου καὶ λόγου ψυχοφθόρου.
Αγνιζε καὶ κάθαιρε, καὶ ῥύθμιζέ με.
Κάλλυνε συνέτιζε, καὶ φώτιζέ με.
Δεῖξον με σὸν σκήνωμα πνεύματος μόνου.
Καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας.
Ιν' ὡς σὸν οἶκον εἰσόδῳ κοινωνίας.
Ως πῦρ με φεύγῃ πᾶς κακοῦργος. πᾶν πάθος.
Πρέσβεις φέρω σοι, πάντας ἡγιασμένους.
Τὰς ταξιαρχίας τε τῶν ἀσωμάτων.
Τὸν πρόδρομόν σου, τοὺς σοφοὺς ἀποστόλους.
Προς τοῖσδε σὴν ἄχραντον ἁγνὴν μητέρα.
Ων ταῖς λιταῖς εὔσπλαγχνε δέξαι Χε μου.
Καὶ φωτὸς παῖδα, τὸν σὸν ἐργάσαι λάτριν.
Σὺ γὰρ ὑπάρχεις, ἁγιασμὸς καὶ μόνος.



Digitized by Google

Ἡμῶν ἀγαθὲ, τῶν ψυχῶν καὶ λαμπρότης.
Καὶ σοὶ πρεπόντως ὡς θεῷ καὶ δεσπότῃ.
Δόξαν ἅπαντες πέμπομεν καθ' ἡμέραν :~

εὐχὴ ἑτέρα.

Τὸ σῶμά σου τὸ ἅγιον κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον· καὶ τὸ αἷμά σου τὸ τίμιον, εἰς ἄφεσιν ἁμαρτιῶν. γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη, εἰς χαρὰν, ὑγείαν, καὶ εὐφροσύνην, καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου, ἀξίωσόν με τὸν ἁμαρτωλὸν, στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης. πρεσβείαις τῆς παναχράντου σου μητρὸς, καὶ πάντων τῶν ἁγίων :~

εὐχὴ ἑτέρα, εἰς τὴν ὑπεραγίαν θεοτόκον.

Παναγία δέσποινα θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπὶς, ἡ σκέπη, ἡ καταφυγὴ, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι ὅτι ἠξίωσάς με τὸν ἀνάξιον, κοινωνὸν γενέσθαι τοῦ ἀχράντου σώματος, καὶ τοῦ τιμίου αἵματος τοῦ υἱοῦ σου. ἀλλ' ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισόν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας. ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ. ἡ τοῦ ἐλεήμονος θεοῦ φιλεύσπλαγχνος μήτηρ, ἐλέησόν με. καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου, καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου. καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. καὶ ἀξίωσόν με, μέχρι τελευταίας ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων μυστηρίων τὸν ἁγιασμὸν, εἰς ἴασιν ψυχῆς τε, καὶ σώματος. καὶ παράσχου μοι δάκρυα

Digitized by Google

μετανοίας, καὶ ἐξομολογήσεως. εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. ὅτι εὐλογημένη, καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας, ἀμήν.

τέλος τῆς ἁγίας μεταλήψεως.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείας, λόγος περὶ ἐξόδου ψυχῆς, καὶ περὶ τῆς δευτέρας παρουσίας.

Φοβοῦμαι τὸν θάνατον, ὅτι πικρός μοι ἐστί. φοβοῦμαι τὴν γέενναν, ὅτι ἀτελεύτητός ἐστι. φοβοῦμαι τὸν τάρταρον, ὅτι οὐ μετέχει θέρμης. φοβοῦμαι τὸ σκότος, ὅτι οὐ μετέχει φωτός. φοβοῦμαι τὸν σκώληκα τὸν ἰοβόλον, ὅτι ἀτελεύτητός ἐστι. φοβοῦμαι τοὺς ἀγγέλους τοὺς ἐπὶ τῆς κρίσεως, ὅτι ἀνελεήμονές εἰσι. φοβοῦμαι ἐννοῶν τῆς ἡμέρας ἐκείνης τὸ φοβερὸν καὶ ἀδέκαστον δικαστήριον. τὸ βῆμα τὸ φρικῶδες. τὸν δικαστὴν τὸν ἀδέκαστον. φοβοῦμαι τὸν ποταμὸν τοῦ πυρὸς τὸν πρὸ τοῦ βήματος ἐκείνου συρόμενον καὶ σφοδροτάτῃ καχλάζοντα τῇ φλογί. τὰς ἠκονημένας ῥομφαίας. φοβοῦμαι τὰς ἀποτόμους τιμωρίας. φοβοῦμαι τὴν κόλασιν τὴν οὐκ ἔχουσαν τέλος. φοβοῦμαι τὸν ζόφον τὸν ἀφεγγῆ. φοβοῦμαι τὸ σκότος τὸ ἐξώτερον. φοβοῦμαι τὰ δεσμὰ τὰ ἄλυτα. τὸν βρυγμὸν τῶν ὀδόντων τὸν κλαυθμὸν τὸν ἀπαραμύθητον. φοβοῦμαι τοὺς ἀφύκτους ἐλέγχους. οὐδὲν γὰρ κατηγόρων δεῖται ὁ δικαστὴς ἐκεῖνος. οὔτε μαρτύρων οὔτε



Digitized by Google

ἀποδείξεων οὔτε ἐλέγχων. ἀλλ' ὅσα ἐπράξαμεν καὶ
ἐλαλήσαμεν καὶ ἐβουλευσάμεθα, φέρει εἰς μέσον πρὸ
τῶν ὀφθαλμῶν τῶν πεπλημμεληκότων. τότε οὐδεὶς ὁ
παριστάμενος, καὶ ἐξαρπάζων τῆς τιμωρίας. οὐ πατήρ. οὐ
μήτηρ. οὐχ υἱός. οὐχὶ θυγάτηρ. οὐκ ἄλλος τις τῶν συγγενῶν.
οὐ γείτων, οὐ φίλος, οὐ συνήγορος. οὐ χρημάτων δόσις,
οὐ πλούτου περιουσία, οὐ δυναστείας ὄγκος. ἀλλὰ ταῦτα
πάντα ὥσπερ κόνις εἰς ἀποσδὸν ὀμήλαται, καὶ μόνος κεί
μενος ἀπὸ τῶν αὐτῶ πεπραγμένων, τὴν ἐλευθεροῦ
σαν ἢ τὴν καταδικάζουσαν ἀπομένει ψῆφον. οἴμοι τῆς
συνειδήσεως ἐλεγχούσης με, καὶ τῆς γραφῆς βοώσης καὶ
διδασκούσης με ὦ ψυχὴ τῶν μιασμάτων. καὶ παρὰ σοὶ
ἐβδελυγμένων ἔργων. οἴμοι ὅτι τὸν ναὸν τοῦ σώματος
ἔφθειρα. καὶ τὸ ἅγιόν σου πνεῦμα ἐλύπησα. ὦ θεὲ ἀληθι
νά σου τὰ ἔργα, καὶ δικαία ἡ κρίσις σου, καὶ εὐθεῖαι αἱ
ὁδοί σου καὶ ἀνεξιχνίαστα τὰ κρίματά σου. διὰ πρόσκαι
ρον ἁμαρτίας ἀπόλαυσιν, ἀθάνατα βασανίζομαι. διὰ
ἡδονὴν σαρκός, τῷ πυρὶ παραδίδομαι. δικαία ἡ κρίσις
τοῦ θεοῦ. ἐκαλούμην καὶ οὐχ ὑπήκουον. ἐδιδασκόμην καὶ οὐ
προσεῖχον. διεμαρτύραντό μοι, ἐγὼ δὲ κατεγέλων.
ἀναγινώσκων καὶ ἐπιγινώσκων, οὐκ ἐπίστευον. ἀλλ' ἐν
ἀμελείᾳ καὶ ῥαθυμίᾳ καὶ ἀκηδίᾳ, καὶ ἐν περισπασμοῖς
καὶ ταραχαῖς καὶ ζάλαις τρυφῶν καὶ σπαταλῶν καὶ
σκιρτῶν ἀγαλλόμενος καὶ εὐφραινόμενος. ἐδαπάνη
σά μου τὰ ἔτη καὶ τοὺς μῆνας καὶ τὰς ἡμέρας, εἰς τὰ πρόσ
καιρα καὶ φθαρτὰ καὶ γήϊνα κοπιῶν καὶ μοχθῶν καὶ
ἀγωνιζόμενος. μὴ εἰς νοῦν λαμβάνων ἢ λογιζόμενος
οἷον φόβον καὶ τρόμον καὶ ἀγῶνα καὶ ἀνάγκην ἔχει

Digitized by Google

ἰδεῖν ἡ ψυχὴ, ὅτε τοῦ σώματος χωρίζεται. παραγίνον-
ται γὰρ ἐφ' ἡμᾶς στρατιαὶ καὶ δυνάμεις οὐράνιοι. καὶ τῶν
ἐναντίων δυνάμεων, οἱ τοῦ σκότους ἄρχοντες. οἱ κοσμο-
κράτορες τῆς πονηρίας. οἱ τελωνάρχαι δὲ λογοθέ-
ται καὶ πρακτοψηφισταὶ τοῦ ἀέρος. δὲ σὺν αὐτοῖς ὁ
ἀνθρωποκτόνος διάβολος. ὁ ἐν κακίᾳ δυνάστης, οὗ ἡ γλῶσ-
σα ὡσεὶ ξυρὸν ἠκονημένον. περὶ οὗ φησὶν ὁ προφήτης.
τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς
ἐρημικοῖς. καὶ ἐνεδρεύει ὡς λέων ἐν τῇ μάνδρα αὐτοῦ ὁ
δράκων ὁ μέγας ὁ ἀποστάτης, ὁ ᾅδης ὁ πλατύνων στό-
μα αὐτοῦ. ὁ ἄρχων τῆς ἐξουσίας τοῦ σκότους. ὁ ἔχων τοῦ θανά-
του τὸ κράτος, καὶ τρόπῳ τινὶ δίκην κατέχων τὴν ψυ-
χήν. ἀποφέρων καὶ ψηφίζων πάντα τὰ ἐν ἐμοὶ πεπρα-
γμένα, ἐν ἔργῳ καὶ λόγῳ. τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ
ἀνομήματα δὲ ἁμαρτήματα, ἀπὸ τῆς νεότητος ἕως τῆς
ἡμέρας τοῦ τέλους ἧς κατελήφθην. ἐξερευνῶν λοιπὸν
ὁποῖον φόβον καὶ τρόμον δοκεῖς τὴν ψυχὴν ἔχειν ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ, θεωροῦσαν τοὺς φοβεροὺς καὶ ἀγρίους
καὶ ἀπηνεῖς δὲ ἀνηλεεῖς καὶ ἀπειθάστους δαίμονας, ὡς
αἰθίοπας ζοφώδεις παρισταμένους, ὡς δὲ αὕτη ἡ ἰδέα
μόνη, χαλεπωτέρα ὑπάρχει πάσης κολάσεως. οὕστι-
νας ὁρῶσα ἡ ψυχὴ, θορυβεῖται θροεῖται ὀδυνᾶται
ταράττεται καὶ συστέλλεται πρὸς τοὺς τοῦ θεοῦ ἀγγέλους
προσφεύγουσα. κατέχεται οὖν ἡ ψυχὴ ὑπὸ τῶν ἁγίων
ἀγγέλων διὰ τοῦ ἀέρος παρερχομένη καὶ ὑψουμένη. εὑ-
ρίσκει τὰ τελώνια φυλάττοντα τὴν ἄνοδον, δὲ κρατοῦν-
τα καὶ διακωλύοντα τὰς ἀναβαινούσας ψυχάς. ἕκα-
στον γὰρ τελώνιον, τὰς οἰκείας ἁμαρτίας προσφέρει

Digitized by Google

αὐτῶν. ὃ μὲν τῆς καταλαλιᾶς, ὅσα διὰ στόματος καὶ γλώττης ἀπὸ ψεύδους, καὶ ὅρκου καὶ ἐπιορκίας. ἀργολογίας τε καὶ φλυαρείας καὶ ματαιολογίας καὶ γαστριμαργίας παρεχρήσεις. ἀσωτοποσίας τε οἴνου καὶ ἀμέτρους γέλωτας καὶ ἀπρεπεῖς. καὶ φιλημάτων ἀσέμνων καὶ ἀπρεπῶν, καὶ ἀσμάτων πορνικῶν. οἱ δὲ ἅγιοι ἄγγελοι, οἱ τὴν ψυχὴν ὁδηγοῦντες, προσφέρουσι καὶ αὐτοὶ, ὅσα διὰ στόματος καὶ γλώσσης ἐλαλήσαμεν ἀγαθά. προσευχὰς εὐχαριστίας ψαλμοὺς ᾠδὰς ὕμνους καὶ ἄσματα πνευματικά. ἀναγνώσεις τῶν γραφῶν. καὶ ὅσα διὰ στόματος καὶ γλώσσης ἀγαθὰ τῷ θεῷ προσεπέμψαμεν. δεύτερον τελώνιον, ὅρασις ὀμμάτων. καὶ ὅσα ἀπὸ ἀπρεποῦς θέας καὶ περιέργου καὶ ἰταλιμώτου ὁράσεως. καὶ πραγμάτων δολίων. τρίτον τελώνιον, τῆς ἀκοῆς, καὶ ὅσα διὰ τῆς τοιαύτης αἰσθήσεως, τὰ ἀκάθαρτα πράγματα δέχονται. τέταρτον τελώνιον, ἡ ὄσφρησις. ὀσμῆς τε ὠδῶδους ἀλειμμάτων, καὶ ἡδονικῆς ὀσφρήσεως, ἅπερ γυναιξὶ θυμελικαῖς καὶ ἑταιρίσι πρέπουσι. πέμπτον τελώνιον, ὅσα δι' ἁφῆς χειρῶν πονηρὰ καὶ χαλεπὰ ἐπράχθησαν. καὶ τὰ λοιπὰ τῶν κακίας τελώνια, φθόνου τε καὶ ζήλου, κενοδοξίας τε καὶ ὑπερηφανίας. πικρίας καὶ ὀργῆς. ὀξυχολίας τε καὶ θυμοῦ. πορνείας καὶ μοιχείας καὶ μαλακίας. φόνου τε καὶ φαρμακείας, καὶ τῶν λοιπῶν δεισιγνῶν καὶ μιαρῶν πράξεων, ὧν ἐν τῇ παρούσῃ ὥρᾳ οὐκ ἐμὶ λεπτομερῶς διηγήσασθαι, ἀλλ' ἐν ἑτέρῳ καιρῷ ταμιεύεσθαι. καὶ ἁπλῶς οὕτω καθεξῆς ἕκαστον πάθος ψυχῆς καὶ πᾶν ἁμάρτημα, ἰδίους τελώνας ἔχει καὶ φο-

Digitized by Google

-ρολόγους. ψυχὴ οὖν ἡ ταῦτα καὶ μείζονα καὶ πλείονα τούτων θεωροῦσα, ὁποῖον φόβον καὶ τρόμον καὶ κλόνον δοκεῖ ἔχειν, ἕως ὅτου ἡ ἀπόφασις ἔλθῃ καὶ ἡ ἐλευθερία αὐτῆς γένηται. ἐκείνη ἐστὶν ἡ ὥρα ἀπώδυνος καὶ ἐπικίνδυνος καὶ πολυστένακτος, καὶ ἀπαραμύθητος, ἕως ἂν ἴδῃ τί τὸ ἀποβησόμενον. αἱ γὰρ θεῖαι δυνάμεις, ἵστανται κατὰ πρόσωπον τῶν ἀκαθάρτων πνευμάτων. καὶ αὗται καλὰς εἰσφέρουσι πράξεις διά τε λόγων καὶ ἔργων καὶ λογισμῶν καὶ ἐννοιῶν, κατανοεῖ ἡ ψυχὴ μέσον ἱσταμένη ἐν φόβῳ καὶ τρόμῳ ἕως οὗ ἐκ τῶν πράξεων καὶ τῶν ἔργων καὶ λόγων αὐτῆς ἢ κατακριθεῖσα δεσμευθῇ, ἢ δικαιωθεῖσα ἐλευθερωθῇ. τῶν ἰδίων γὰρ ἁμαρτημάτων ἕκαστος ταῖς σειραῖς σφίγγεται. καὶ ἐὰν ἡ ἀξία εὐσεβῶς ζήσασα, καὶ θεαρέστως βιώσασα, παραλαμβάνουσιν αὐτὴν ἄγγελοι, καὶ λοιπὸν ἀμέριμνος οὖσα, πορεύεται ἔχουσα συνοδοιπόρους τὰς ἁγίας δυνάμεις. κατὰ τὸ γεγραμμένον, ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί. τότε πληροῦται τὸ εἰρημένον, ἀπέδρα ὀδύνη λύπη καὶ στεναγμός. τότε ἀπαλλαγεῖσα τῶν πονηρῶν καὶ σαπρῶν καὶ φοβερῶν πνευμάτων ἐκείνων, πορεύεται εἰς ἐκείνην τὴν ἀνεκλάλητον χαράν. ἐὰν δὲ εὑρεθῇ ἐν ἀμελείᾳ καὶ ἀσωτίᾳ ζήσασα, ἀκούει τὴν δεινοτάτην ἐκείνην φωνήν. ἀρθήτω ὁ ἀσεβὴς ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου. τότε αὐτὴν καταλαμβάνουσιν ἡμέραι ὀργῆς καὶ θλίψεως καὶ ἀνάγκης καὶ στενοχωρίας, ἡμέρα σκότους καὶ γνόφου.

Digitized by Google

τότε ἀφάψαντες αὐτὴν οἱ ἅγιοι τοῦ θεοῦ ἄγγελοι, παραλαμβάνουσιν αὐτὴν οἱ αἰθίοπες ἐκεῖνοι δαίμονες. καὶ τύπτοντες αὐτὴν ἀφηλεῶς, κατάγουσιν εἰς τὴν γῆν. καὶ διχάσαντες αὐτὴν, ῥίπτουσιν αὐτὴν δεδεμένην δεσμοῖς ἀλύτοις, εἰς γῆν σκοτεινὴν καὶ ζοφεράν. εἰς τὰ κατώτερα μέρη ἐν τοῖς καταχθονίοις καὶ δεσμωτηρίοις καὶ φυλακαῖς τοῦ ᾅδου. ἔνθα τυγχάνουσιν ἀποκεκλεισμέναι αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν, τῶν ἀπ᾽ αἰῶνος κεκοιμημένων. καθὼς φησὶν ὁ ἰὼβ εἰς γῆν σκοτεινὴν καὶ ζοφεράν. εἰς γῆν σκότους αἰωνίου οὐκ ἔστι φέγγος, οὐδὲ ζωὴ βροτῶν. ἀλλ᾽ ὀδύνη αἰώνιος καὶ λύπη ἀτελεύτητος. καὶ κλαυθμὸς ἄπαυστος, καὶ βρυγμὸς ὀδόντων ἀσίγητος καὶ στεναγμοὶ ἀκοίμητοι. ἐκεῖ οὐαὶ οὐαὶ διαπαντός. ἐκεῖ οἴμοι οἴμοι. ἐκεῖ κράζουσι, καὶ οὐκ ἔστιν ὁ βοηθῶν. βοῶσι, καὶ οὐδεὶς ὁ ῥυόμενος. οὐκ ἔστι διηγήσασθαι τὴν ἀνάγκην ἐκείνην. οὐκ ἔστιν εἰπεῖν διὰ γλώττης τὰς ὀδύνας τῶν ἐκεῖσε κατακειμένων καὶ ἀποκεκλεισμένων ψυχῶν. ἀδυνατεῖ πᾶν στόμα ἀνθρώπου φανερῶσαι τὸν φόβον καὶ τὸν τρόπον ἐκεῖνον. οὐκ εἰμὶ χείλη ἀνθρώπου ἰσχύοντα εἰπεῖν τὴν περίστασιν καὶ τὸν κλαυθμὸν αὐτῶν. στενάζουσι διηνεκῶς καὶ ἀπαύστως, ἀλλ᾽ οὐδεὶς ὁ ἐλεῶν. κράζουσιν ἐκ βάθους, ἀλλ᾽ οὐδεὶς ὁ εἰσακούων. ἀποδύρονται, ἀλλ᾽ οὐδεὶς ὁ ῥυόμενος. ἀνακαλοῦνται καὶ κόπτονται, ἀλλ᾽ οὐδεὶς ὁ σπλαγχνιζόμενος. τότε ποῦ ἡ καύχησις τοῦ κόσμου τούτου. ποῦ ἡ κενοδοξία. ποῦ ἡ τρυφή. ποῦ ἡ ἀπόλαυσις. ποῦ ἡ σπατάλη. ποῦ ἡ φαντασία, ποῦ ἡ ἀνάπαυσις. ποῦ ὁ κόσμος. ποῦ τὰ χρήματα. ποῦ ἡ εὐγένεια. ποῦ τότε ἡ στερρότης. ποῦ ἡ ἀνδρία

Digitized by Google

τῆς σαρκός. ποῦ δὲ κάλλος τῶν γυναικῶν τὸ ψευδές.
καὶ ἀνωφελές. ποῦ τότε ἡ παῤῥησία ἡ ἀναιδὴς καὶ ἀ-
ναίσχυντος. ποῦ τότε ὁ καλλωπισμὸς τῶν ἱματίων. ποῦ
ἡ ἡδονὴ τῆς ἁμαρτίας ἡ ἀκάθαρτος καὶ συγχαντή. ποῦ
ἡ τὴν βδελυρὰν τῶν ἀῤῥένων κοίτην ἡδονὴν ἡγούμε-
νοι. ποῦ οἱ τὰ μύρα καὶ τὰ ἀλείμματα ἀλειφόμενοι καὶ
καταπιζόμενοι. ποῦ ἡ μετὰ τυμπάνων καὶ κιθάρας τὸν
οἶνον πίνοντες. ποῦ τότε ἡ καταφρόνησις τῶν ἐν ἀφο-
βίᾳ ζώντων. ποῦ ἡ φιλαργυρία καὶ ἡ φιλοχρηματία
καὶ ἡ ἐξ αὐτῶν ἀσπλαγχνία. ποῦ ἡ τότε ἡ ἀπάνθρω-
πος ὑπερηφανία ἡ πάντα βδελυσσομένη. καὶ ἑαυτὴν
λογιζομένη εἶναί τι. ποῦ τότε ἡ κενὴ καὶ ματαία τῶν ἀνθρώπων
δόξα. ποῦ ἡ λαγνεία καὶ ἡ ἀκολασία. ποῦ ἡ δυναστεία
καὶ ἡ τυραννίς. ποῦ τότε βασιλεύς. ποῦ ἄρχων. ποῦ
ἡγούμενος. ποῦ οἱ ἐπ᾽ ἐξουσιῶν. ποῦ οἱ γαυριῶντες
ἐπὶ πλήθει πλούτου, καὶ πτωχοὺς μὴ ἐλεοῦντες, καὶ
τοῦ θεοῦ καταφρονοῦντες. ποῦ τὰ θέατρα καὶ τὰ κυνήγια.
ποῦ τότε οἱ μετεωριζόμενοι καὶ μετριάζοντες καὶ ἀνε-
ιμένως βιοῦντες. ποῦ τὰ μαλακὰ ἐνδύματα. καὶ αἱ
στρωμναὶ αἱ μαλακαί, καὶ ἁπαλαί. ποῦ αἱ ὑψηλαὶ
οἰκοδομαί. καὶ τὸ ὦρος τῶν στοῶν. ποῦ οἱ ἐν ἀφοβίᾳ ζή-
σαντες. τότε ἰδόντες, θαυμάσουσι καὶ φρίξουσι. καὶ κα-
τὰ πλαγέντες, ὀλολύξουσι ταραχθέντες σαλευθῶσι.
τρόμος αὐτοὺς ἐπιλάβοι καὶ ὠδῖνες ὡσεὶ τικτούσης
ἐν τῷ βιαίῳ συντριβήσονται ἀφανιζόμενοι. ποῦ τότε
ἡ σοφία τῶν σοφῶν. ποῦ τῶν ῥητόρων ἡ εὐγλωττία. καὶ τὰ μά-
ταια αὐτῶν πανουργεύματα. οὐαὶ ἐταράχθησαν. ἐσα-
λεύθησαν ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατε-

Digitized by Google

πόθη· ποῦ σοφός. ποῦ γραμματεύς· ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου. ὦ ἀδελφοί. ἀναλογίσασθε ποταποὺς δεῖ ὑπάρχειν ἡμᾶς διδόντας λόγον καθ᾽ ἓν ὧν ἐπράξαμεν, εἴτε μεγάλων εἴτε μικρῶν. μέχρι γὰρ τοῦ ἀργοῦ λόγου, ἀπολογίαν δώσομεν τῷ δικαίῳ κριτῇ. ποταποὺς δεῖ ἡμᾶς εἶναι ἐν τῇ ὥρᾳ ἐκείνῃ. ἐὰν δὲ εὕρωμεν χάριν ἐνώπιον τοῦ θεοῦ, ἵνα παραδέχηται ἡμᾶς ἀφοριζομένους ἐκ δεξιῶν τοῦ βασιλέως· ποταποὺς δεῖ εἶναι ἡμᾶς εἰς τὴν χαρὰν ἐκείνην τὴν ἀνεκλάλητον. ὅταν εἴπῃ ὁ βασιλεὺς τῶν βασιλευόντων, τοῖς ἐκ δεξιῶν αὐτοῦ μετὰ ἱλαρότητος, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· τότε καὶ κληρονομήσομεν ἐκεῖνα τὰ ἀγαθά. ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. τότε λοιπὸν ἀμέριμνοι ἐσόμεν μηκέτι προσδοκούμενοι μηδεμίαν προσδόκησιν. ἀναλογισώμεθα δὲ ταῦτα. καὶ τὴν τῶν ἁμαρτωλῶν ἀτελεύτητον κόλασιν, ὅταν εἰσάγονται εἰς τὸ βῆμα τὸ φοβερόν, οἵα αἰσχύνη αὐτοὺς λήψεται ἐνώπιον τοῦ δικαίου κριτοῦ μὴ ἔχοντας λόγον ἀπολογίας. οἵα ἐντροπὴ λήψεται αὐτοὺς ἀφοριζομένους ἐξ εὐωνύμων τοῦ βασιλέως. οἷον σκότος ἐπιπέσῃ ἐπ᾽ αὐτοὺς ὅταν λαλήσῃ πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ. καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξῃ αὐτούς, ὅταν εἴπῃ πρὸς αὐτοὺς πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. οἴμοι οἴμοι, οἵαν θλῖψιν. καὶ ὀδύνην καὶ στενοχωρίαν καὶ φόβον καὶ τρόμον δέξεται τὸ πνεῦμα αὐτῶν.

Digitized by Google

ὅταν γένηται κραυγὴ πασῶν τῶν ἐπουρανίων δυνά-
μεων. λεγόντων ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς
τὸν ᾅδην. οὐαὶ οὐαὶ οἷον μέλος ἀλαλάξουσι θρηνοῦν-
τες, καὶ πενθοῦντες καὶ ὀλολύζοντες κοπτόμενοι. ἀ-
παγόμενοι κολασθῆναι πικρῶς εἰς ἀτελευτήτους
αἰῶνας. οἴμοι οἴμοι, οἷος ἐστὶν ὁ τόπος ὅπου ἐστὶν ὁ
κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ὁ καλούμενος
τάρταρος, ὃν καὶ αὐτὸς ὁ διάβολος φρίττει. οὐαὶ οὐαί.
οἵα ἐστὶν ἡ γέεννα τοῦ πυρὸς τοῦ ἀσβέστου, καίοντος καὶ μὴ
φωτίζοντος. οἴμοι οἴμοι. οἷος ἐστὶν ὁ ἀκοίμητος καὶ ἰο-
βόλος σκώληξ. οὐαὶ οὐαὶ, οἷον δεινόν ἐστι τὸ σκότος ἐκεῖ-
νο τὸ ἐξώτερον καὶ ἀεὶ μένον. οἴμοι οἴμοι. οἷοι εἰσὶν οἱ ἄγγε-
λοι ἐκεῖνοι οἱ ἐπὶ τῶν κολάσεων ἄσπλαγχνοι, καὶ ἀνε-
λεήμονες. ὀνειδίζουσι γὰρ καὶ ἐπιπλήττουσι δεινῶς. τότε
οἱ κολαζόμενοι κράζουσιν ἐκτενῶς καὶ ὁ σώζων οὐκ ἔστιν.
κεκράξονται γὰρ πρὸς κύριον καὶ οὐκ εἰσακούσεται αὐτούς.
τότε γνώσονται ὅτι μάταια αὐτοῖς ἀπήει πάντα τὰ τοῦ
βίου, καὶ ἃ ἐδόκουν ἐνταῦθα χρηστὰ εἶναι, καὶ χαρμονῆς
πλήρη. χολῆς καὶ ἰοῦ πικροῦ, πικρότερα εὑρεθήσονται.
οὐαὶ τοῖς ἁμαρτωλοῖς ὅταν οἱ δίκαιοι ἐκ δεξιῶν ἵσταν-
ται, κἀκεῖνοι θλίβονται. ὅταν οἱ ἁμαρτωλοὶ πενθῶσι
καὶ οἱ δίκαιοι χαίρουσιν. ὅταν οἱ δίκαιοι ἑορτάζωσι καὶ οἱ
ἁμαρτωλοὶ ὀδύρονται. ὅταν οἱ δίκαιοι ἐν γαλήνῃ, καὶ
οἱ ἁμαρτωλοὶ ἐν χειμῶνι καὶ συμφορᾷ. οὐαὶ τοῖς ἁ-
μαρτωλοῖς ὅταν οἱ δίκαιοι δοξάζονται. κἀκεῖνοι κα-
ταδικάζονται. οὐαὶ τοῖς ἁμαρτωλοῖς, ὅταν οἱ δί-
καιοι κορέννυνται παντὸς ἀγαθοῦ, καὶ οἱ ἁμαρτω-
λοὶ ὑστερούμενοι στενάζουσιν. οὐαὶ τοῖς ἁμαρτω-

Digitized by Google

λοῖς ὅταν οἱ δίκαιοι δοξάζωνται κἀκεῖνοι ὀνειδίζων-
ται. οἱ δίκαιοι ἐν ἁγιασμῷ, οἱ δὲ ἁμαρτωλοὶ ἐν ἐμπρη-
σμῷ. οἱ δίκαιοι ἐγκωμιάζωνται, οἱ δὲ ἁμαρτωλοὶ ταλα-
νίζονται. οἱ δίκαιοι ἐν μοναῖς ἁγίων, οἱ δὲ ἁμαρτω-
λοὶ ἐν ἐξορείᾳ αἰωνίᾳ. οἱ δίκαιοι ἀκούονται τό, δεῦτε οἱ
εὐλογημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἑτοιμασμέ-
νην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, οἱ δὲ
ἁμαρτωλοὶ ἀκούσωσι τό, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατη-
ραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἑτοιμασμένον τῷ δια-
βόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. οἱ δίκαιοι εἰς παράδεισον,
οἱ ἁμαρτωλοὶ εἰς τὸ πῦρ τὸ ἄσβεστον. οἱ δίκαιοι τρυφῶ-
σιν, οἱ ἁμαρτωλοὶ τρύχονται. οἱ δίκαιοι χορεύουσιν, οἱ
δὲ ἁμαρτωλοὶ δεσμοῦνται. οἱ δίκαιοι ᾄδουσιν. οἱ ἁμαρ-
τωλοὶ θρηνοῦσιν. οἱ δίκαιοι τὸ τρισάγιον, οἱ ἁμαρτω-
λοὶ τὸ τρισάθλιον. οἱ δίκαιοι τὸ ᾆσμα, οἱ ἁμαρτωλοὶ τὸ
χάσμα. οἱ δίκαιοι εἰς κόλπους Ἀβραάμ, οἱ ἁμαρτω-
λοὶ εἰς βεράσματα Βελίαρ. οἱ δίκαιοι εἰς ἀνάπαυσιν,
οἱ ἁμαρτωλοὶ εἰς κατάκαυσιν. οἱ δίκαιοι δροσίζονται,
οἱ ἁμαρτωλοὶ φλογίζονται, οἱ δίκαιοι εὐφραίνονται.
οἱ ἁμαρτωλοὶ τῇ λύπῃ ξηραίνονται. οἱ δίκαιοι μεγα-
λύνονται, οἱ δὲ ἁμαρτωλοὶ τήκονται. οἱ δίκαιοι ὑψοῦν-
ται, οἱ δὲ ἁμαρτωλοὶ ταπεινοῦνται. οἱ δίκαιοι θάλ-
πονται, οἱ δὲ ἁμαρτωλοὶ μελαίνονται. οἱ δίκαιοι τῶν
ἀγαθῶν κορέννυνται, οἱ δὲ ἁμαρτωλοὶ κλωνίζονται.
τοὺς δικαίους θρέψει θέα θεοῦ. τοὺς ἁμαρτωλοὺς λυπή-
σει θέα πυρός. οἱ δίκαιοι σκεῦος εὐλογίας, οἱ ἁμαρ-
τωλοὶ σκεῦος γεέννης. οἱ δίκαιοι χρυσὸς πεπυρωμέ-
νος καὶ ἄργυρος δόκιμος, καὶ λίθοι τίμιοι. οἱ ἁμαρτωλοὶ
ξύλα

Digitized by Google

ύλα καλάμη χόρτος πυρὸς ὑπέκκαυμα. οἱ δίκαιοι
σῖτος βασιλείας· οἱ ἁμαρτωλοὶ ἄχυρα ἀπωλείας. οἱ
δίκαιοι σπόρος ἐκλεκτός. οἱ ἁμαρτωλοὶ ζιζάνια πυ-
ρός. οἱ δίκαιοι ἅλας θεῖον. οἱ ἁμαρτωλοὶ βρῶμος καὶ δυ-
σωδία. οἱ δίκαιοι ναοὶ θεοῦ ἀμίαντοι. οἱ ἁμαρτωλοὶ ναοὶ
δαιμόνων μεμιασμένοι. οἱ δίκαιοι ἐν τῷ νυμφῶνι. οἱ
ἁμαρτωλοὶ εἰς χάος ἀπέραντον. οἱ δίκαιοι ἐν φωτο-
φανείαις. οἱ ἁμαρτωλοὶ ἐν ζόφῳ θυέλλης. οἱ δίκαιοι
μετὰ ἀγγέλων. οἱ ἁμαρτωλοὶ μετὰ δαιμόνων. οἱ δί-
καιοι σὺν ἀγγέλοις χορεύουσιν. οἱ ἁμαρτωλοὶ μετὰ δαι-
μόνων θρηνοῦσιν. οἱ δίκαιοι μέσον τοῦ φωτός. οἱ ἁμαρτω-
λοὶ μέσον τοῦ σκότους. οἱ δίκαιοι ὑπὸ τοῦ παρακλήτου πα-
ρακαλοῦνται. οἱ ἁμαρτωλοὶ σὺν τοῖς δαίμοσι τιμωροῦν-
ται. οἱ δίκαιοι παρίστανται τῷ θρόνῳ τῷ δεσποτικῷ.
οἱ ἁμαρτωλοὶ παρίστανται τῷ ζόφῳ τῷ τιμωρητικῷ.
οἱ δίκαιοι διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Χριστοῦ.
οἱ ἁμαρτωλοὶ διαπαντὸς ἵστανται κατὰ πρόσωπον
τοῦ διαβόλου. οἱ δίκαιοι μυοῦνται ἀγγέλοις. οἱ ἁμαρτωλοὶ
μυοῦνται δαιμονίοις. οἱ δίκαιοι ἱκεσίαν προσφέρουσιν.
οἱ ἁμαρτωλοὶ θρῆνον ἄπαυστον. οἱ δίκαιοι ἄνω, οἱ δὲ
ἁμαρτωλοὶ κάτω. οἱ δίκαιοι ἐν ὕψει, οἱ δὲ ἁμαρτωλοὶ
ἐν τῇ ἀβύσσῳ. οἱ δίκαιοι εἰς ζωὴν αἰώνιον, οἱ ἁμαρτω-
λοὶ εἰς θάνατον ἀπωλείας. οἱ δίκαιοι ἐν χειρὶ θεοῦ.
οἱ ἁμαρτωλοὶ ἐν τόπῳ διαβόλου. οἱ δίκαιοι μετὰ τοῦ
θεοῦ. οἱ ἁμαρτωλοὶ μετὰ τοῦ σατανᾶ. οὐαὶ τοῖς ἁμαρτω-
λοῖς ὅτε ἀφορίζονται ἀπὸ τῶν δικαίων, οὐαὶ τοῖς ἁμαρ-
τωλοῖς ὅτε γυμνοῦνται αἱ πράξεις αὐτῶν, καὶ αἱ βουλαὶ τῶν
καρδιῶν φανεροῦνται. οὐαὶ τοῖς ἁμαρτωλοῖς, ὅτε


Digitized by Google

οἱ συνδυασμοὶ τοῦ νοὸς ἐλέγχονται, καὶ αἱ συγκαταθέσεις τῶν πονηρῶν λογισμῶν ζυγοστατοῦνται, καὶ παλαμπεύεται ἡ διάνοια. οὐαὶ τοῖς ἁμαρτωλοῖς ὅτι μισοῦνται ἀπὸ τῶν ἁγίων ἀγγέλων, καὶ βδελύσσονται ὑπὸ τῶν ἁγίων μαρτύρων. οὐαὶ τοῖς ἁμαρτωλοῖς, ὅτι ἐκβάλλονται ἐκ τοῦ νυμφῶνος. οὐαὶ τὴν τότε μεταμέλειαν. οὐαὶ τὴν τότε θλίψιν. οὐαὶ τὴν τότε ἀνάγκην. οὐαὶ τὴν τότε καταιγίδα, δεινὸν τὸ χωρισθῆναι ἀπὸ τῶν ἁγίων. ἀργαλεώτερον τὸ χωρισθῆναι ἀπὸ τοῦ θεοῦ. ἄτιμον τὸ δεθῆναι χεῖρας καὶ πόδας καὶ εἰς τὸ πῦρ βληθῆναι, θλιβερὸν τὸ ἐκπεμφθῆναι εἰς τὸ σκότος τὸ ἐξώτερον. φοβερὸν τὸ τρύζειν τοὺς ὀδόντας καὶ τήκεσθαι. βαρὺ τὸ ἀπαύστως κολάζεσθαι. πονηρὸν τὸ φλογίζεσθαι τὴν γλῶσσαν. ἀσυμπαθὲς τὸ αἰτεῖν ῥανίδα ὕδατος καὶ μὴ λαμβάνειν. πικρὸν τὸ ἐν πυρὶ εἶναι καὶ βοᾶν καὶ μὴ βοηθεῖσθαι. ἀπαράβατος ὁ φάραγξ καὶ ἀμέτρητον τὸ χάος. ἄφυκτος ὁ ἀποκλεισθείς. ἀναπόδραστος ὁ κατεχόμενος. ἀνυπέρβατον τὸ τεῖχος τῆς φυλακῆς. ἄσπλαγχνοι οἱ τηρηταί. σκοτεινὸν τὸ δεσμωτήριον. ἄλυτα τὰ δεσμά. ἀνάσπαστοι αἱ ἀλύσεις. ἄγριοι καὶ ἀπήθασοι οἱ ὑπηρέται τῆς φλογὸς ἐκείνης. βαρεῖαι αἱ κασίδες αἱ τιμωρητικαὶ ἐκεῖναι. στερροὶ οἱ ὄνυχες καὶ ἄθραυστοι. σκληρὰ τὰ βύμωρα. θολώδεις καὶ καχλάζουσαι αἱ πίσσαι. δυσῶδες τὸ θέατρον. ἀνθρακώδεις αἱ κλίναι ἐκεῖναι. ἄσβεστος ἡ πυρά. κνισώδης καὶ βρωμώδης ὁ σκώληξ. ἀσυγχώρητον τὸ κειτήριον. ἀπροσωπόληπτος ὁ δικαστής. ἀπροφάσιστος ἡ ἀπολογία. κατεστιγμένα τὰ πρόσωπα τῶν δυναστῶν. περίχαροι οἱ δυνάσται. πτωχοὶ οἱ ἁπλεῖς. ἰδιῶται οἱ σοφοί. μωροὶ καὶ ἄδεκτοι οἱ ῥήτο-

Digitized by Google

=.ἄφρονες οἱ πλούσιοι ἀψήκοα τὰ κολακεύματα τ̃
ἀστρολόγων. φανεραὶ αἱ καμπύλαι τ̃ ῥαδιούργων.
λαυγεῖς αἱ τροχίαι τ̃ πλεονέκτων· βρωμώδης φυ
χρυσῶν ἡ ὀσμή. φανερὰ τ̃ ὑποκειτ̃ ἡ ὑπουλότης.
μόπληγοι οἱ ἐπιθέται· πάντα γυμνὰ καὶ τετραχη-
ισμένα ἐνώπιον αὐτ̃. οὐαὶ τοῖς ἁμαρτωλοῖς βέβη
οι καὶ ἐναγεῖς καὶ ἀκάθαρτοί εἰσιν ἐνώπιον τ̃ θεοῦ.
ῶς μεμίανται αὐτῶν αἱ ψυχαί. πῶς βρωμοῦσιν αὐ
ῶν τὰ σώματα ἐν τῆς λαγνείας καὶ ἀκολασίας. πῶς
ιόλυναν τὰ σώματα καὶ ἐμίαναν τὴν ψυχὴν μὴ φυ
άξαντες τὴν στολὴν τ̃ ἁγίου βαπτίσματος. πῶς
ραυχιώτως. καὶ ἀνερυθριάστως. τῇ κραιπάλῃ τὴν τῇ
έθη τῆς ἀσωτίας τὴν ὁλοθήκην τ̃ κοιλίας. τ̃ ἀσκὸν
ῆς γαστρός. τῇ αὐταρκείᾳ καὶ ἐγκρατείᾳ μὴ στοιχήσαν-
ες. ἀλλὰ τὸν πλοῦτον αὐτῶν, αὐτὴν ἐμπιστεύσαντες.
ρυφηλῶς εἰς τὰς ἡδονὰς ὡς χοῖροι τῷ βορβόρῳ ἐγ
υλινδούμενοι τὰς ἡμέρας καὶ τὰ ἔτη αὐτῶν ἐδαπά-
ησαν, μετεωριζόμενοι ἐν λογισμοῖς ῥυπαροῖς καὶ φαύ
οις ἐννοίαις καὶ ἀργολογίαις, καὶ θυμελικοῖς ἄσμα
ι. πῶς ἠλλοιώθησαν τὴν καρδίαν αὐτῶν τῇ πωρώ-
ει. εἰς νοῦν μὴ λαβόντες τὴν σύνταξιν τ̃ Χ̃υ, καὶ
ὴν ἀπόταξιν τοῦ διαβόλου. πῶς ἐξετράπησαν τῆς
ὐθείας ὁδοῦ. ἐν τῷ σκότει τῆς ἀγνοίας βαδίσαν-
ες, καὶ τῷ ὕπνῳ τῆς ῥαθυμίας ἐνδόντες. εἰς πέ-
ωρον τῆς γεέννης ἑαυτοὺς ποντίσαντες. πῶς ἀ=
ηλλοτριώθησαν τοῦ φωτὸς τῶν ἀρετῶν, ἀγαπή-
αντες τὸ σκότος τῆς ἁμαρτίας, διὰ τὸ βαδίσαι αὐ-
οὺς τῇ πλατείᾳ καὶ εὐρυχώρῳ ὁδῷ τῆς τεθλιβ-

a a aa

Digitized by Google

κῆς κακίας. πῶς ἐπελάθοντο τῆς τοῦ κυρίου καὶ θεοῦ καὶ σω-
τῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιδημίας καὶ τῶν πολλῶν καὶ ἀνεξιχνιά-
στων αὐτοῦ εὐεργεσιῶν. καθαρισθέντες μὲν δι' ὕδατος
θείου βαπτίσματος, καὶ πνεύματος ἁγίου, καὶ στολισθέντες τῷ
ρω τῆς ἀγαλλιάσεως. διὰ δὲ μικρὰν ἡδονήν, μισητὴν
συγχαρτήν, ἀθετήσαντες τὰς τοιαύτας καὶ τηλικαύτας
δωρεάς, ἐδουλώθησαν τῇ τῆς πορνείας καὶ μοιχείας. οὐαὶ
τοῖς καταλείψασι τὴν υἱοθεσίαν καὶ ἀκολουθήσα-
σι ταῖς τοῦ κόσμου ἡδοναῖς. οὐαὶ τοῖς ἐπηρμένοις ταῖς τοῦ κόσμου
συντυχίαις. οὐαὶ τοῖς ἀγαπῶσι τὸ σκότος τῆς ἁμαρ-
τίας. οὐαὶ τοῖς καταλείπουσι τὸ φῶς τῆς ἀληθείας.
οὐαὶ τοῖς περιπατοῦσιν ἐν νυκτὶ τῆς ἁμαρτίας. οὐαὶ
τοῖς καταλιμπάνουσι τὴν ἡμέραν τῆς θεογνωσίας. οὐαὶ
τοῖς ἐμπεπλησμένοις τῇ κακῇ συνηθείᾳ τοῦ γέλωτος.
οὐαὶ τοῖς καλλωπιζομένοις πρὸς τὸ τρῶσαι ψυχὰς
εἰς συνουσίαν καὶ λαγνείαν ἀκολασίας ἀκαθάρτου.
ἀληθῶς ἄγκιστρον ἐστὶ τοῦ διαβόλου ὁ καλλωπισμός.
τοῖς οὖν ποθοῦσι καὶ ζητοῦσι καὶ θέλουσι σωθῆναι, μισητός
τός ἐστιν. οὐαὶ τοῖς διαβάλλουσιν εἰς τῶ ἐμί. οὐαὶ τοῖς
παρακροαταῖς καὶ συμβαλλομάχοις καὶ ταραχο-
ποιοῖς. οὐαὶ τοῖς ὀμνύουσι διὰ φιληδονίαν. οὐαὶ τοῖς
ἐπιόρκοις. οὐαὶ τοῖς γαστριμάργοις, ὧν θεὸς ἡ κοιλία. οὐαὶ
τοῖς μεθύουσι. μακάριος δὲ ὁ ἐνταῦθα ἑαυτὸν ὠπελ-
ζων καὶ ταπεινὸν διὰ τὸν θεὸν καὶ ἐξουθενῶν καὶ καταχείμων
ὁ τοιοῦτος ὑπὸ θεοῦ ὑψίστου ὑψοῦται. καὶ ὑπὸ ἀγγέλων
ἐπαινεῖται. καὶ ἐν τῇ κρίσει ἐξ εὐωνύμων οὐχ ἵσταται. μα-
κάριος ἅγιος ὁ καρτερῶν ἐν προσευχαῖς. καὶ ὑπομέ-
νων ἐν νηστείαις. καὶ χαίρων ἐν ἀγρυπνίαις. καὶ ἀπ-
λαίων καὶ ἀποτρίβων τὸν ὕπνον, καμμύοντε τὰ ὄμματα

Digitized by Google

…δοξολογίαν θεοῦ· κρούων δὲ στῆθος. τύπτων δὲ πρόσ-
ωπον. ὑψῶν τὰς χεῖρας εἰς τὸν ἀέρα, αἴρων δὲ ὄμματα
…ς ὀπτὸν πρὸς κύριον ἐμμορῶν τὸν τοῦ θρόνου δόξης καθή-
μενον, καὶ καρδίας ἐτάζοντα καὶ νεφροὺς ἐμβατεύοντ-
α· ὁ γὰρ τοιοῦτος ἀπολαύει τῶν αἰωνίων ἀγαθῶν υἱὸς
… ἀδελφὸς καὶ φίλος καὶ κληρονόμος θεοῦ γίνεται. τούτου
…λάμψει δὲ πρόσωπον ὡς ὁ ἥλιος ἐν ἡμέρᾳ κρίσεως,
…ς ἡ ἐκ τῶν οὐρανῶν βασιλεία. ὁ δὲ ἀγαπῶν τὴν ἀλήθειαν,
…ίλος θεοῦ εὑρίσκετε. ὁ δὲ ψώδη ἐνδελεχίζων, φίλος
…ιμόνων γίνεται, ὁ μισῶν τὸν δόλον, λυτροῦται τῆς ἀρᾶς.
…ὑπομένων τοὺς πειρασμοὺς ὡς ὁμολογητὴς στεφα-
…ται ἐνώπιον τοῦ βήματος τοῦ χριστοῦ. ὁ γογγύζων καὶ δυσπετῶν
…ς ταῖς συμπιπτούσαις συμφοραῖς, καὶ ταῖς συμβαι-
…ούσαις θλίψεσιν ἀκηδιῶν τε καὶ βλασφημῶν, οὗτος
…ἐπλανήθη, καὶ φρένας κούφας ἔχει. ὁ πρᾶος καὶ ἐπιει-
…ὴς καὶ ταπεινόφρων, ὑπὸ θεοῦ ἐπαινεῖται, μακαρίζε-
…ται ὑπὸ τῶν ἀγγέλων, καὶ ἐγκωμιάζεται ὑπὸ τῶν ἁγίων. ὁ
…ε πικρὸς καὶ ὀξύθυμος καὶ ὀξύχολος· κεκατήραται ἀπὸ
…ῦ. τούτου ἡ βρῶσις, βότρυς πικρίας δαιμόνων. ὁ δὲ
…μος, θυμὸς δρακόντων καὶ ἡ πόσις ἰὸς ἀσπίδος ἀνία-
…ς. οἱ καθαροὶ τῇ καρδίᾳ, ὁρῶσι τὴν τοῦ θεοῦ δόξαν. οἱ
…ε ῥερυπωμένοι τὸν νοῦν, ἐνοπτρίζονται τὸν διάβολον.
… τὰ φαῦλα πράξαντες καὶ τὰ ἄτοπα ἐννοοῦντες,
… τὰ κακὰ λογιζόμενοι εἰς τὸν πλησίον κωλύουσιν αὐ-
…ὺς τῆς θείας κοινωνίας. οἱ δὲ πρόσωπον φυκείοις ὑ-
…αίνοντες καὶ ψιμμυθίῳ τὰς παρειάς, τρίβοντες καὶ
…ύκαίνοντες, καὶ διεσόπτρων καὶ κατόπτρων στολιζό-
…μενοι πρὸς τὸ ζωγρῆσαι καὶ ἀγκιστρῶσαι ψυχὰς ἑτέ-



Digitized by Google

ἀκολασίαν καὶ ἐπιθυμίας ἀτόποις καὶ ἔρωτας σατανι-
κοὺς, ἐν ἡμέρᾳ κρίσεως θεοσεβεῖς οὐχ εὑρίσκονται
ἀλλ' ὡς καταφρονηταὶ τῶν ἐντολῶν τοῦ θεοῦ κολάζονται.
οἱ περιεργαζόμενοι κάλλος ἀλλότριον, τῆς καλλονῆς τοῦ
παραδείσου στερίσκονται. οἱ ἐπιχαίροντες ἐπὶ πτώσει
ἑτέρων, ἑαυτοῖς πτωματίζουσιν, οἱ ἐπιθυμοῦντες τὰ
ἀλλότρια, τὰ ἴδια προδιδοῦσι καὶ ἀπόλονται. οἱ κενο-
δοξοι καὶ ὑπερήφανοι καὶ ἀνθρωπάρεσκοι, μετὰ τοῦ δια-
βόλου καταδικάζονται. οἱ ὑποκριταὶ μετὰ τοῦ σατανᾶ
τιμωροῦνται, οἱ τὸ σῶμα παρὰ τὸ δέον τρέφοντες, λι-
μοκτονοῦσι τὴν ψυχήν. οἱ ἐν γνώσει καὶ αὐτῶν ἀμελ-
ῶς ἁμαρτάνοντες, καὶ μὴ μετανοοῦντες, μετὰ ἀπίστων
κολάζονται, οἱ λέγοντες ἐν νεότητι ἁμαρτήσωμεν καὶ
ἐν γήρᾳ μετανοήσωμεν, ὑπὸ δαιμόνων ἐμπαίζονται
καὶ χλευάζονται. καὶ ὡς ἑκουσίως ἁμαρτάνοντες, τῆς
μετανοίας οὐκ ἀξιοῦνται. ἀλλ' ἐν νεότητι ὑπὸ τῆς τοῦ
θανάτου δρεπάνης θερίζονται ὡς ἀμνὼν ὁ τοῦ ἰσραὴλ
βασιλεύς. ὁ καὶ τὸν θεὸν παροργίσας διὰ τοὺς πονηροὺς
αὐτοῦ λογισμούς. καὶ τὰς βεβήλους αὐτοῦ ἐννοίας. οἱ γὰρ
λέγοντες σήμερον ἁμαρτήσωμεν, καὶ αὔριον μετανοήσω-
μεν. οἱ τοιοῦτοι ἐματαιώθησαν ἐν τοῖς λογισμοῖς αὐ-
τῶν. καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, καὶ τὴν σήμε-
ρον ἀπώλεσαν τὸ σῶμα φθείραντες καὶ μιάναντες, καὶ
τὴν ψυχὴν μολύναντες, καὶ τὸν νοῦν ζοφώσαντες, καὶ τὴν
διάνοιαν θολώσαντες, καὶ τὴν συνείδησιν βορβορώσαν-
τες, τὴν δὲ αὔριον ἐκλάπησαν. οἱ γὰρ μὴ κλαίοντες
διὰ τὸ πτῶμα τῆς πορνείας, καὶ πενθοῦντες διὰ τὸν βόρβο-
ρον τῆς μοιχείας, καὶ μὴ θρηνοῦντες διὰ τὸ πέταυρον τῆς ἀρ-
σενοκοιτίας, καὶ ὀλολύζοντες διὰ τὴν μαλακίαν. οὐ

Digitized by Google

δυνάμεται ὁλοψύχως μετανοῆσαι περὶ τὰ ἀπελθόντα ἁμαρτήματα. οὔτε διορθώσασθαι τὰ μέλλοντα. οἱ γὰρ μὴ ζητοῦντες τὴν ἀπώλεσαν, καὶ τὰ σωζόμενα οὐκ ἐκτήσαντο. οἱ μὴ ψηφίζοντες τὴν φυγὴν [?] τῆς ἐνθήκης, καὶ τὰ κεφάλαια ζημιοῦνται. οἱ μὴ κοπιῶντες μνημεχῶς καὶ νήφοντες ἐν ὠχαῖς, αἰχμαλωτίζονται ὑπὸ αἰσχρῶν λογισμῶν. οἱ δὲ αἰχμαλωτισθέντες, δουλεύουσι τῇ κακῇ συνηθείᾳ ἄκοντες καὶ μὴ βουλόμενοι. οἱ μὴ ἀγρυπνοῦντες νηφόντως ἐν τῇ ψαλμωδίᾳ κλέπτονται. οἱ μὴ γρηγοροῦντες ἐν τῇ ἀκροάσει τῶν θείων γραφῶν, ἀλλ᾽ ὕπνω τῆς ῥαθυμίας ἑαυτοὺς ἐκδόντες, μετὰ τῶν πέντε μωρῶν παρθένων ἀποκλεισθήσονται. οἱ τὰ ὅπλα τῆς νηστείας ῥίπτοντες, ὑπὸ τῆς γαστριμαργίας σκελίζονται, καὶ ὑπὸ τῆς πορνομοιχοις ἀμαυροῦνται ἁμαρτίας. οἱ τὰς τοῦ θεοῦ ἐντολὰς μὴ φυλάξαντες, ὑπὸ δαιμόνων τιτρώσκονται, καὶ ἐν γεέννῃ πυρὸς καταδικάζονται. οἱ τῆς ἐκκλησίας καὶ τῆς κοινωνίας ἑαυτοὺς μακρύνοντες, ἐχθροὶ τοῦ θεοῦ γίνονται καὶ δαιμόνων φίλοι. αἰσχυνέσθω πᾶσα αἵρεσις τῶν ἀθέων αἱρετικῶν. καλυπτέσθω τὸ γένος τῶν ἀπίστων. ἀπολέσθω ἡ συναγωγὴ τῶν ἰουδαίων. ἐμφραττέσθω τὰ ἀκάθαρτα στόματα τῶν ἀρνησιθέων ἑβραίων, ὅταν ὁ δοκιμάζων τὰς καρδίας καὶ τοὺς νεφροὺς ἐτάζων καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, διϊκνούμενος μέχρι μερισμοῦ σαρκὸς καὶ ψυχῆς ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν κάθηται δικάζων. τότε δὴ τότε οὐκ ὀλίγους τινὰς ἐκ πολλῶν ἀλλὰ πάντας ἐκκαλυπτομένους ὄψει. καὶ οὔτε δορὰ τοῦ προβάτου τὸν λύκον δύναται καλύψαι, οὔτε κονίασις τῶν



Digitized by Google

ἔργων τὸν ἐμὸν ἀποκρύψαι λογισμόν. οὐκ ἔστι γὰρ κτί
σις ἀφανὴς τῷ κρίνοντι. ἀλλὰ πάντα γυμνὰ καὶ τετρα
χηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. οὐκοῦν πρὸς τὰς
τοῦ θεοῦ ἐντολὰς, ἀνδρικοῖς ἀντιταξόμεθα πάθεσι. τα
πεινώσωμεν λογισμοὺς κενοδόξους. ἐπαναστῶμεν τῷ
διαβόλῳ πρὸς μάχην. ὀμματώσωμεν εἰς μνήμην τὴν
διάνοιαν. κοιμίσωμεν λογισμοὺς ἁμαρτίας. κτησώ
μεθα προσευχὴν ἀρρέμβαστον. νοῦν νηφάλιον, διάνοιαν
διεγηγερμένην, συνείδησιν ἀθόλωτον. ἐγκράτειαν ἀπε
λώτιστον. νηστείαν ἀνυπόκριτον. ἀγάπην ἀπροσωπό
ληπτον. ἁγνείαν ἀνόθευτον. σωφροσύνην ἀμίαντον.
ταπείνωσιν ἀνύπουλον. ψαλμῳδίαν ἄπαυστον. ἀνά
γνωσιν ἀκενόδοξον, γονυκλισίαν ἀνυπερήφανον. δέη
σιν διηνεκῆ, βίον καθαρὸν, λόγον ἀληθῆ. ξενοδοχείαν
ἀγόγγυστον. ὑπομονὴν εὐχάριστον. ἐλεημοσύνην ἀνεξέ
ταστον. τὴν ὀξυχολίαν ἐξοστρακίσωμεν. τὴν ὀργὴν διώ
ξομεν, τὴν ἀκηδίαν ἐξετάσωμεν. τὸν θυμὸν ἀποκτείνω
μεν. τὴν λύπην μαραίνομεν. τὴν φιλαργυρίαν ξηράνω
μεν. μὴ φοβηθῶμεν τὸν κοινὸν θάνατον, τὸν τοῦ γένους τῶν ἀνθρώπων
διαιρετήν. ἀλλὰ τὸν ὀλοθρευτὴν τὸν ἡμῶν. θάνατος γὰρ
κυρίως, οὐχ ὁ χωρίζων τὴν ψυχὴν ἀπὸ τοῦ σώματος.
ἀλλ' ὁ χωρίζων ψυχὴν ἀπὸ τοῦ θεοῦ. ὁ θεὸς ζωή ἐστιν. ὁ δὲ τῆς
ζωῆς χωριζόμενος, τέθνηκε τὴν πρόσθεν παρρησίαν.
ὡς τὴν ζωὴν ἀποβαλών, καὶ ἐπειδὴ θάνατος ὁ διάβο
λος, ὁ τοῦ θανάτου πατὴρ, ἵσταται ὡς ἀντίπαλος ἰσχυρὸς κα
θοπλιζόμενος ἵνα ἡμᾶς ἐν ταῖς ἁγίαις ἡμέραις πα
λαίσῃ καὶ ῥίξῃ καὶ εἴπῃ. ἐνίκησα τοὺς Χριστοῦ στρατιώτας καὶ ἄλλος
δείξας ψυχικῶν. δ' ἀπὸ τῆς ἀκοῆς ἐκρέμασα αὐτοῖς.
κενοδοξία καὶ γαστριμαργία βοηθείας ἐδραξάμην αὐτῶν τοῦ

Digitized by Google

κόμης τ' ἀρετῆ καὶ σκελίσας τοῖς ἐπιθυμίαις, καὶ γαργαλί-
σας τῇ οἰνοποσίᾳ. ὠθίσας ἔρριψα εἰς βόθρον πορνεί-
ας. μὴ οὖν χαροποιήσωμεν τοὺς ἀκαθάρτους δαίμονας.
διότι ὁ ἡμέτερος θεὸς, πάντων σωτὴρ καὶ δαιμόνων ὀλετὴρ,
ἐπεὶ τοίνυν καὶ ἡμεῖς σώματι συμπεπλέγμεθα, καὶ θανά-
τῳ ὑπεύθυνοι ἐσμὲν, ἀγωνισώμεθα γενναίως ἵνα
τοὺς ἀκαθάρτους νικήσωμεν δαίμονας. ἐὰν γὰρ τὸν φό-
βον ἔχωμεν ἐν τῇ καρδίᾳ, καὶ τὴν μνήμην τοῦ θανάτου
ἐν τῇ ψυχῇ περιφέρωμεν, πάντες οἱ δαίμονες καθ'
ἡμῶν ὁπλίζονται. ἀλλ' ὡς τὸν κεροκρούοντες, ὡς τεῖ-
χος ἡμᾶς εὑρήσουσι, διὰ τὸ εἶναι τὸν κύριον ἡμῶν μεθ'
ἡμῶν. ὅτι αὐτῷ πρέπει δόξα. τιμὴ καὶ κράτος εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. ἀμήν. Πεισομ... κατ' ἐπιτομὴν
περιέχοντα ὅλου τοῦ μηνολογίου. ποίημα χριστοφό-
ρου πατρικίου καὶ ἀνθυπάτου τοῦ μιτυληναίου.

## Μὴν σεπτέμβριος.

στιχηρά, ἦχος δ'. ὡς γενναῖον ἐν μάρ.

α' Συμεὼν ἀνυμνείσθω μοι. ὁ στύλος τὸ γνώρισμα.
β καὶ σὺν τούτῳ μάμας ὁ περιβόητος. γ καὶ ὁ θαυ-
μάσιος ἄνθιμος. δ βαβύλας ὁ ἔνδοξος. ε ζαχα-
ρίας ὁ κλεινός, ς μιχαὴλ ὁ ἀρχάγγελος, ζ σώζων
ἔνδοξος, η τοῦ θεοῦ μου ἡ μήτηρ, θ σὺν τοκεῦσι, ι μηνοδώ-
ρα νυμφοδώρα. καὶ μητροδώρα αἱ μάρτυρες: ιά
θ θεοδώρας ἡ ἄσκησις. ιβ αὐτονόμου ἡ ἄθλησις, ιγ
καὶ τῆς ἀναστάσεως τὰ ἐγκαίνια; ιδ καὶ τοῦ σταυροῦ ἡ
ἀνύψωσις. ἀξίως τιμάσθωσαν, ιε σὺν νικήτᾳ τῷ
στερρῷ, ις εὐφημία ἡ ἔνδοξος. ιζ ἐλπὶς πίστις τε,
καὶ ἀγάπη σὺν θείᾳ, ιη εὐμενίῳ, ιθ δορυμέδοντι
τροφίμῳ, κ καὶ παγγενὴς ὁ εὐστάθιος:

κγ

Digitized by Google

Ἰωνᾶ συνδοξάζεται, κβ ὁ φωκᾶς ὁ ἀοίδιμος. κγ τε προδρόμου θείου τιμία σύλληψις, κδ τε ἡ καλλίνικος πρωτάθλος, κε μεθ' ὧν εὐφροσύνη τε, τε ὁ εὐαγγελιστὴς, κς ἰωάννης ἀπόστολος, κζ τε ἐπίχαρις, κη τε καλλίστρατος ἅμα, κθ τε χαρίτων, λ σὺν αὐτοῖς κυριακός τε, λα τε ἀρμενίας γρηγόριος.

## Μὴν ὀκτώβριος.

Στιχηρὰ προσόμοια. ἦχος πλ. δ'. τί ὑμᾶς καλέσομεν.

α Ὕμνοις ἀνανίαν τιμήσωμεν. β ἰουστίναν τὴν παρθένον, τε σεπτὸν κυπριανόν. γ διονύσιον τὸν μέγαν, δ ἱερόθεον ὁμοῦ. ε μαμέλχθαν, ς τε θωμᾶν τὸν χρυσαπόστολον. ζ τὸν βάκχον σὺν αὐτῷ δὲ καὶ τὸν σέργιον. η τὴν πελαγίαν τὴν ἔνδοξον. θ τὸν τοῦ ἀλφαίου ἰάκωβον. ι εὐλάμπιον, εὐλαμπίαν τε τὴν πάνσεπτον:~ ια

Θείαν ζηναΐδα δοξάσωμεν, φιλονίλαν τὴν ὁσίαν. ιβ πρόβον τάραχον σεπτόν. ἀνδρόνικον τὸν γενναῖον, ιγ κάρπον πάπυλον ὁμοῦ, σὺν τούτοις, ιδ τε τοῖς περὶ τὸν ναζάριον. αἰνείσθω σὺν αὐτοῖς, ιε τε ὁ θεόπνευστος λουκιανός. ις ὁ λογγῖνός τε. ιζ σὺν ὠσηὲ, ιη λουκᾶς ἔνδοξος, ὁ βέλτιστος. ιθ ἰωὴλ, κ καὶ ὁ ἀρτέμιος:~ κα

Ἄιμει τε σεπτὸν ἱλαρίωνα. κβ τε ἀβέρκιον. κγ τε μέγαν ἀδελφόθεον ὁμοῦ. κδ τε ἀρέθαν συνάθλους. κε νοταρίους τε σοφοὺς, σὺν τούτοις, κς καὶ δημήτριον, κζ τε νέστορα. κυρίαν τε δουλίδα τὰς συμμάρτυρας. κη τρέντιον τε τὴν πάνσεπτον. κθ ἀναστασίαν τὴν μάρτυρα. λ ζηνόβιον ζηνοβίαν. λα καὶ ἐπίμαχον:~

Digitized by Google

στιχηρὰ προσόμοια. ἦχος πλ. β΄. ὅλην ἀποθέμενοι.

α΄ Δεῦτε ὑμνήσωμεν, σὺν ἀμαργύρων δυάδι,
τοὺς περὶ ἀκίνδυνον. γ΄ καὶ τοὺς σὺν ἀκεψιμᾶ
γενναιόφρονας. τὰς σεπτὰς πράξεις τε. δ΄ ἰωαν-
νικίου. ε΄ τὸν ἐπίσημον γαλακτίωνα. καὶ τὸν τῆς πί-
στεως, ς΄ ὁμολογητὴν παῦλον ἔνδοξον. ζ΄ τὸν
κράτιστον ἱέρωνα. η΄ τὸν μιχαὴλ τὸν ἀρχάγ-
γελον. θ΄ μεθ' ὧν τὴν ὁσίαν ματρώναν, ι΄ καὶ
ὀρέστην ἀθλητὴν, ια΄ μηνᾶν τὸν μέγαν καὶ βίκ-
τωρα. καὶ στερρὸν βικέντιον :~ ιβ΄
Θεῖον ἐλεήμονα. ιγ΄ καὶ ἰωάννην σὺν τούτῳ τὸν
ὄντως χρυσόστομον. κοινῶς πάντες στόματι ἀνυμνή-
σωμεν. ιδ΄ μαθητὴν ἄριστον τοῦ Χριστοῦ φίλιππον.
ιε΄ σαμωνᾶν γουρίαν ἄβιβον μεθ' ὧν τὸν ἔνδοξον.
ις΄ εὐαγγελιστὴν καὶ ἀπόστολον. ματθαῖον τὸν θεόφρο-
να. ιζ΄ τὸν θαυματουργόν τε γρηγόριον. ιη΄ πλάτωνα
γενναῖον. ιθ΄ καὶ θεῖον ῥωμανὸν, καὶ αὐδίου, κ΄ δεκα-
πολίτην γρηγόριον τὸν παγγρηγορώτατον:~ κα΄
Παρθένον εἰσελθοῦσαν, τὴν εἰς ναὸν τοῦ κυρίου. κβ΄ κικι-
λίαν μάρτυρα. κγ΄ τὸν ἀμφιλόχιον ὕμνοις στέ-
ψωμεν. ὀφθαλμὸν γρηγόριον, τὸν τῶν ἀκραγάντων.
κδ΄ τὴν σοφὴν αἰκατερίναν τε, κε΄ τὸν γενναιότα-
τον, ἐν τοῖς ἀθλοφόροις μερκούριον, κς΄ ἀλύπιον
τὸν ἔνδοξον, κζ΄ τὸν ἐκ περσίδος ἰάκωβον, κη΄
στέφανον τὸν νέον. κθ΄ εἰρηνάρχον παρ' ἡμῖν ὁμοῦ.
λ΄ καὶ τὸν ἀνδρέαν τὸν κάλλιστον, τοῦ Χριστοῦ ἀπόστολον:~

## Μὴν δεκέμβριος.

στιχηρὰ προσόμοια. ἦχος πλ. β΄. αἱ ἀγγελικαί

α' Ἄσμασι ναούμ, β ἀββακούμ, γ τὸν σοφονίαν, δ
ἰουλιανὴν, καὶ βαρβάραν δεξιοῦμαι, ε τὸν σάβ-
βαν τε τὸν μέγαν, ς καὶ τὸν θεῖον νικόλαον. ζ
ἅμα ἀμβροσίῳ, η παταπίῳ, θ καὶ τὴν σεπτὴν
σύλληψιν ἄννης, ι μηνᾶν ἔνδοξον. καλλικέ-
λαδον φημὶ, τὴν συνῳδίαν αὐτοῦ:~ ια
Στύλου δανιὴλ, ιβ γεραιρέσθω ὁ σπυρίδων, ιγ
συνάθλος τε τρεῖς, ἡ μετὰ τοῦ εὐστρατίου, ιδ σὺν
τούτοις δὲ ὁ θύρσος, ιε ὁ στερρὸς ἐλευθέριος,
ις ἅγιοι προπάτορες τρεῖς, ιζ ὁ δανιὴλ τριάς
τε παίδων, ιη ζωὴ πάνσεμνος, ιθ ὁ βονιφάτιος
ὁμοῦ, κ καὶ θεῖος ἰγνάτιος:~ κα
Ἰουλιανῆς, κβ μνήμην καὶ ἀναστασίας, κγ κρή-
της ἀθλητῶν, κδ δέκα καὶ τῆς εὐγενείας, κε
τῆς ἐκ παρθένου κόρης, τοῦ θεοῦ γεννήσεως. κς ὁμο-
λογητοῦ εὐθυμίου, κζ τοῦ ἀθλητοῦ πρώτου στεφάνου, κη τῶν
δισμυρίων τῶν μαρτύρων, κθ πλῆθος νηπίων τε, λ
τὴν ἀνυσίας τῆς σεπτῆς, λα τὴν μελάνης σέβομεν:~

## Μὴν ἰανουάριος.

στιχηρὰ προσόμοια. ἦχος β'. ὅτε ἐκ τοῦ ξύλου.

α' θέλων περιτέμνεται Χριστός. ἦλθε γὰρ πληρῶσαι τὸν
νόμον, οὐ καταλῦσαι αὐτὸν, τούτῳ συντιμάσθω-
μεν. μέγας βασίλειος, β ῥώμης πάπας τε σίλ-
βεστρος, γ καὶ ὁ μαλαχίας, δ γόρδιος ὁ ἔνδο-
ξος, ε παῦλος θηβῶν ὁ βλαστὸς, ς θεῖος βα-
πτισμὸς τοῦ σωτῆρος, ζ πρόδρομος, η ὁσία δομνίκα,
θ πολύευκτος, ι νύσσης τε γρηγόριος:~ ια
Ὕμνοις θεοδόσιον ὑμνῶ, τὸν κοινοβιάρχην αἰνέσω.
ιβ τατιανὴν τὴν σεμνὴν, ιγ μάρτυρα στρατό-

Digitized by Google

νικον, ἕρμυλον σὺν ἄθλον, ιδ ῥαΐθου τοὺς ἀβ
βάδας τε, καὶ ὄρεις σιναίου, ιε θεῖον καλυβί-
την τε, ις καὶ πέτρου ἅλυσιν, ιζ ἅμα ἀντω-
νίῳ ὅσιῳ, ιη καὶ ἀθανασίῳ κυρίλλῳ, ιθ καὶ
σὺν μακαρίῳ, κ τὸν εὐθύμιον :~ κα'

Μνήμη ἡ μαξίμου τοῦ σεπτοῦ, κβ μάρτυς ἀναστά-
σιος τοῦ πέρσης, καὶ ὁ τιμόθεος, κγ κλήμης ἀγαθάγ
γελος, κδ ὁσία ξένη τε, κε θεολόγος γρηγό-
ριος. κς σὺν τῷ ξενοφῶντι. κζ ὄλβιος χρυ-
σόστομος. κη ἐφραὶμ ὁ ὅσιος. κθ ἔτι, καὶ ἰγνά-
τιος μέγας. λ πάπας ὁ ἱππόλυτος ῥώμης, λα
κύρος ἰωάννης τε αἰνείσθωσαν :~

## Μηνὶ φευρουαρίῳ.

στιχηρὰ προσόμοια. ἦχος ά. τῶν οὐρανίων.

ά Ὑμνείσθω τρύφων ὁ μέγας. β ὑπαπαντὴ τοῦ χριστοῦ.
γ καὶ συμεὼν ὁ πρέσβυς. δ καὶ ἰσίδωρος ἅμα. ε
ἀγάθη. ς καὶ βουκόλος σμύρνης ποιμήν. ζ καὶ παρ
θένιος ἔνδοξος. η ὁ στρατηλάτης θεόδωρος σὺν
αὐτοῖς. θ νικηφόρος, χαραλάμπης τε:~ ιά

Βλάσιον πάντες συμφώνως, ἀνευφημήσωμεν. ιβ
καὶ μελετίου χαίρειν. ιγ τοῦ μαρτινιανοῦ τε. ιδ αὐ
ξέντιος σὺν τούτοις. τὸν εὐκλεῆ, ιε καὶ τὸν θεῖον
ὀνήσιμον. ις πάμφυλον μέγαν πάντες, ιζ καὶ τήρω
να τὸν σεπτόν. ιη ῥώμης πάπαν τε τὸν λέοντα:~ ιθ'

Σὺν τῷ ἀρχίππῳ γεραίρω. κ κατάνης λέοντα.
κα τιμόθεον τὸν μέγαν. κβ καὶ προτέριον θεῖον.
κγ πολύκαρπον τὸν σμύρνης. κδ καὶ κεφαλῆς τοῦ
προδρόμου τὴν εὕρεσιν. κε σὺν ταρασίῳ, κς πορ
φύριον καὶ σὺν οἷ. κζ ὦ γελάσιε πρεσβῦτα τε:~

Digitized by Google

## Μὴν μάρτιος.

στιχηρὰ προσόμοια. ἦχος δ'. ἠθελον.

ά Ὕμνοις τιμάσθω καὶ εὐδοκία. β ὁ γενναῖος νέστωρ
ἅμα τε θεόδοτος. γ σὺν εὐτροπίῳ, δ καὶ
γερασίμῳ. ε κόνων, ς δύο ἄνδρες, καὶ τεσσα
ράκοντα. ζ ἐφραὶμ ποιμὴν τῆς χερσῶνος.
η σὺν θείῳ θεοφυλάκτῳ. θ μαρτύρων, ὧν
πᾶσα πληθὺς τεσσαράκοντα:~ ι
Πρέπει κοδράτῳ, ια τε σωφρονίῳ, ιβ καὶ τῷ
θεοφάνει, ιγ ἄσματα νικηφόρῳ τε. ιδ ὕμ-
νοις ἀλέξανδρος εὐφημείσθω. ιε ὀλυμπᾶς, ις
ῥωδίων πάπας, ιζ ἀλέξιος. ιη κύριλλος
φίλος κυ̃· ιθ χρύσανθός τε καὶ δαρεία, κ κόραι
ἑπτὰ παρθένοι, κα ἰάκωβος ὅσιος:~ κβ
Τέρπου βασίλειε, κγ κρότει νίκων. κδ σκίρ
τα ζαχαρία χαῖρε θεοχαρίτωτε, κε εὐαγγελί-
ζου χαρὰν μεγάλην. κς γαβριὴλ ἀνυμνῶ σε.
κζ τιμῶ ματρώναν δέ. κη σὲ ἱλαρίωνα σέ-
βω. κθ τὸν βαραχήσιον μέλπω. λ κλίμα-
κος ἰωάννην, σεπτόν τε ἰάκωβον:~

## Μὴν ἀπρίλλιος.

στιχηρὰ προσόμοια. ἦχος πλ. δ'. ὢ τοῦ παραδόξου θαῦ.

ά Ὁσιωτάτην ἀνυμνήσωμεν μαρίαν, β τίτον σε-
πτόν. γ καὶ νικήταν τὸν ἔνδοξον, δ τε καὶ ἀγα
θόποδα, ε τε θεόδουλον συνάθλον ς κλαύ-
διόν τε, ζ καὶ τὸν εὐτύχιον, η σὺν γεωργίῳ,
θ τὸν ἠρωδίωνα, ι καὶ τὸν εὐψύχιον, ια τε
στερρὸν τερέντιον, καὶ σὺν αὐτοῖς. ιβ πιστεῖ εὐφη
μήσωμεν ἀντίπαν μάρτυρα:~ ιγ

Digitized by Google

Ψ τὸν τοῦ Παρίου Βασίλειον. ιδ καὶ τὸν Μαρτῖνον τιμῶ, ιε σὺν Ἀρίσταρχον ἔνδοξον, ις ἔτι τὸν θεῖον Κρίσκεντα, Χιονίαν Ἀγάπην τε, ιζ τὸν σὺν ποιμένα τὸν θαυμαστὸν Συμεών, ιη τὸν Γότθον Σάββαν, ιθ τὸν Πέργης Θεόδωρον, κ ἄλλον Θεόδωρον, Τριχινᾶν αἰνέσωμεν σὺν σὺν αὐτοῖς. κα τὸν ἱερομάρτυρα Ἰανουάριον:~ κβ

Μεγαλυνέσθω Θεόδωρος, ὁ Συκεώτης ὁμοῦ. κγ ἔτι ὁ μάρτυς Γεώργιος, κδ στρατηλάτης Σάββας τε, κε Μάρκος μέγας ἀπόστολος, κς ὁ Βασιλεύς τε ὁ Ἀμασείας φωστήρ, κζ σὺν τοῦ Κυρίου ὁ ἀδελφὸς Συμεών, κη ἔτι Ἰάσων τε, ὁ κλεινὸς ἀπόστολος σὺν σὺν αὐτοῖς, κθ Μέμνων. λ ἔτι Ἰάκωβος, ὁ Ζεβεδαίου υἱός:~

## Μὴν Μάϊος.

Στιχηρὰ προσόμοια. ἦχος α΄. Πανεύφημοι.

α΄ Σὺν Ἱερεμίᾳ σε ὑμνῶ, β θεῖε Ἀθανάσιε, γ σὺν τῷ στερρόν τε Τιμόθεον. ἔτι Μαύραν μάρτυρα. δ τὸν Ὀλβιανόν τε, ε Εἰρήνην τὴν πάνσεμνον, ς Ἰὼβ καρτερικόν, ζ σὺν Ἀκάκιον, η ἔτι τὸν ἀπόστολον Ἰωάννην θ Χριστοφόρον τε, ι Ἡσαΐαν Ζηλωτήν τε Σίμωνα:~

ια΄ Μώκιον τὸν ἔνδοξον τιμῶ, ιβ Κύπρου Ἐπιφάνιον, ιγ ἔτι Γλυκερίαν τὴν μάρτυρα. ιδ ἔτι τὸν Ἰσίδωρον, ιε σὺν τῷ Παχωμίῳ, ις Ἀλέξανδρον πάνσεπτον ιζ Ἀνδρόνικον Χριστοῦ τὸν ἀπόστολον. ιη τὴν Εὐφρασίαν τε, ιθ καὶ Πατρίκιον τὸν ἔνδοξον, κ ἔτι τὸν θεῖον ἰατρὸν Θαλέλαιον:~ κα

Ἅμα Κωνσταντίνῳ σε ᾠδαῖς, καὶ Ἑλένην στέφομεν, κβ σὺν Βασιλίσκῳ συνᾴδων τε. κγ Μιχαὴλ πρόεδρον θαυμαστοῦ τε ὄρους, κδ Συμεὼν σὺν εὕρεσιν, κε προδρόμου θείου κάραν, κς καὶ

Google

κάρπουντε. κζ τὸν ἐλλάδιον. κη τὴν σεπτὴν θεο-
δοσίαντε, κθ ἰωαννίκιον, λ ἑρμείαντε μάρτυρα:~

Μὴν ἰούνιος.

στιχηρὰ προσόμοια. ἦχος δ΄. ὡς γενναῖον.

α Ἰουστῖνον ὑμνήσωμεν, β ἱερὸν νικηφόροντε. γ τὸν λουκιανόντε μεγαλομάρτυρα, δ σὺν μητροφάνει, ε ὡσαύθιον, ς ποιμένα παμμάκαριστον, ζ τὸν δωρόθεον σεπτόν· τὸν θεόδοτον ἔνδοξον. η τὸν θεόδωρον, τὸν σεπτὸν στρατηλάτην. θ σὺν κυρίλλω. ι ἀντωνίνω ἀθλοφόρω, ια βαρθολομαῖον βαρνάβαντε:~ ιβ

Ὁ παμμειάθω ὀνούφριος. ιγ ἡ σεμνὴ ἀκυλίνατε. ιδ μεθ' ὧν ἐλισσαῖος προφητικώτατος. ιε ἀμώς, ις τὸν τύχων ἐπίσκοπος. ιζ σαβελ καρτερόψυχος. μανουὴλ σὺν ἰσμαήλ. ιη σὺν λεόντιος ἔνδοξος. ιθ σὺν ὁ ζώσιμος. κ σὺν ἰούδας ὁ μύστης τοῦ κυρίου. κα μάρτυς ἰουλιανόςτε. κβ σὺν αὐτοῖς ὁ εὐσέβιος:~ κγ

Ἀγριππίνα πολύαθλος. κδ καὶ προδρόμου ἡ γέννησις. κε καὶ ἡ φεβρωνία ἀνευφημείσθω σὺν. κς τῆς θεσσαλῶν δαβὶδ καύχημα. κζ σαμψὼν ἱερώτατος. κη ἰωάννου τῶν ὁσίων. καὶ τοῦ κύρου ἡ εὕρεσις. κθ πέτρος παῦλοςτε· οἱ φωτίσαντες πᾶσαν· οἰκουμένην. λ καὶ τῶν δώδεκα προκρίτων. μύστων κυρίου ἡ σύναξις:~

Μὴν ἰούλιος.

στιχηρὰ προσόμοια. ἦχος πλ. δ΄. ὢ τοῦ παραδόξου θαύ.

α Θείους ἀναργύρους ᾄσμασι. τοὺς ἀπὸ ῥώμης ὑμνῶ. β τὴν ἐσθῆτος κατάθεσιν· ἁγνῆς θεομήτορος. γ τὸν τὸ θεῖον ἰάκινθον. δ ἀνδρέαν κρήτης, ε τὸν ἀθα-

μάσιον τὸν ἐν τῷ ἄθλῳ. ϛ καὶ τὸν σισώην τε. ζ κυ-
ριακὴν ὑμνῶ. η καὶ στεῤῥὸν προκόπιον. μεθ' ὧν
αἰνῶ. θ κόπειν πὲρ μύθιον. ι νικοπολίτας τε.
ια Δεῦτε εὐφημίαν ἅπαντες, ἀνευφημήσωμεν νῦν.
τὴν τῶν ὅρων δικάστριαν. ιβ πρόκλον καὶ ἱλάριον.
ιγ σαββαΐτην τε στέφανον. ιδ σοφὸν ἰοῦστον. ιε καὶ
ἰουλίτταν σεμνὴν· μετὰ κηρύκου, ις ἀθηνογένην τε.
σὺν μαθηταῖς αὐτοῦ. ιζ σὺν μαρίναν μάρτυρα. καὶ σὺν
αὐτοῖς. ιη αἰμιλιανὸν αἰνῶ. ιθ δῖον, κ ἠλίαν τε.
κα Ὕμνοις τιμῶ καὶ τὸν φρόνιμον. διὰ Χριστὸν δὲ σαλὸν, συ-
μεὼν τὸν ἔνδοξον. κβ καὶ Χριστοῦ μαθήτριαν. τὴν
μαρίαν τὴν πάνσεμνον. κγ φωκᾶ λειψάνων
τὴν ἀνακόμισιν. κδ χριστίναν, κε ἄνναν, κϛ σὺν
τὸν ἑρμόλαον. κζ παντελεήμονα. κη καλλί-
νικον, κθ μάρτυρα σιλουανόν. λ σίλαν. λα
καὶ εὐδόκιμον τὸν ὄντως δόκιμον :~

## Μὴν αὔγουστος.

στιχηρὰ προσόμοια. ἦχος δ. ὁ ἐξ ὑψίστου κληθείς.
α Ἐν ᾧ σολομώνη ὑμνείσθω ἐλεάζαρ. ἑπτὰ μακκα-
βαῖοί τε, β καὶ πρωτομάρτυρος ἡ ἐκ σιῶν ἀνακό-
μισις. γ δαλμάτος φαῦστος καὶ ἰσαάκιος. δ καὶ ὁ
πολύαθλος ἀνακομιζόμενος τῆς εὐδοκίας νεκρός.
ε σὺν ὁ γενναῖος εὐσίγνιος. ϛ καὶ τοῦ Χριστοῦ μου τοῦ
θεανοῦ ἡ μεταμόρφωσις. ζ εἰς ᾧ ὑμνείσθω σὺν
δομέτιος. σὺν τοῖς κλεινοῖς μαθηταῖς αὐτοῦ, η σὺν ὁ
αἰμιλιανὸς, θ σὺν ματθίας, ι καὶ λαυρέντιος :~
ια Ἐ ὕπλους ὁ μάρτυς ἀξίως ἐπαινείσθω, ιβ ἀνίκη-
τος φώτιος σὺν ἡ μετάθεσις. ιγ ἡ τοῦ μαξίμου τῶν



Digitized by Google

λάμψαντος, ἐν τῇ γενναίᾳ ὁμολογίᾳ τοῦ ποιητοῦ καὶ θεοῦ. ιδ τούτοις συναριθμείσθωσαν μιχαίας ἔνδοξος. ιε καὶ ἡ σεβάσμιος κοίμησις. τῆς θεοτόκου, ις καὶ διομήδης ὁ περίβλεπτος. ιζ μύρων ὁ θεῖος. ιη φλῶρος λαῦρός τε. ιθ καὶ στρατηλάτης ἀνδρέας ὁ ἔνδοξος. κ τῆς ψυχῆς τε τὸ τέκνον, σαμουὴλ ὁ ἱερώτατος:~

κα

Βάσσα σὺν τέκνοις τιμάσθω ἡ θεόφρων. κβ στερρὸς ἀγαθόνικος, κγ λοῦπος ὁ ἔνδοξος, κδ τίτος ὁ θεῖος ἀπόστολος. κε βαρθολομαίου, τοῦ σεμνοτάτου ἡ ἀνακόμισις. ὅς τε καρτερόψυχος. κς ἀδριανὸς σὺν αὐτοῖς. καὶ ναταλία ἡ πάνσεμνος. κζ ποιμὴν ὁ θεῖος. κη καὶ ὁ αἰθίοψ μωσῆς. κθ ἀποτομή τε ἡ αἰδέσιμος. τοῦ προδρόμου, λ φαντῖνος ὁ ἔνδοξος. λα πανεντίμου τε ζώνης, θεοτόκου ἡ κατάθεσις:~

Κανὼν ἱκετήριος ψαλλόμενος εἰς τὰς ἐπουρανίους δυνάμεις, καὶ εἰς πάντας τοὺς ἁγίους. κατὰ ἀλφάβητον. ποίημα ἰωσὴφ τοῦ ὑμνογράφου. ᾠδὴ α΄. ἦχος πλαγίου δ΄. ἁρματηλάτην φαραώ.

Ἄναρχε λόγε ἱεραῖς δεήσεσι. τῶν χερουβὶμ σεραφίμ. ἐξουσιῶν θρόνων, θείων τε δυνάμεων ἀγγέλων ἀρχαγγέλων. θρόνων κυριοτήτων, τὰ σὰ ἐλέη τὰ πλούσια. δώρησαι ἡμῖν ὡς φιλάνθρωπος.

Βοήθησόν με τοῦ κυρίου πρόδρομε. Χριστὸν δεόμενος. τῶν προφητῶν δῆμος, ἀποστόλων σύλλογος. μαρτύρων τὰ

Digitized by Google

γραπτώματα, τὸν τῶν ὅλων δεσπότην. ἐκδυσωπεῖτε σωθῆναι με, πταίσμασι πολλοῖς συνεχόμενον:~

Γυναῖκες θεῖαι αἳ καλῶς ἀθλήσασαι. καὶ ἐξασκήσασαι. ἱεραρχῶν δῆμος, ὅσιοι καὶ δίκαιοι, σεπτοὶ ἱερομάρτυρες. ἀγαθῶν αἰωνίων, ἐπιτυχεῖν ἱκετεύσατε. πίστει τοὺς ἡμᾶς μακαρίζοντας:~ Θεοτοκίον.

Δεδουλωμένον ἡδοναῖς τοῦ σώματος. τὸν μόνον μου δέσποινα. καὶ ἀγαθὴ μόνη, ὅλον ἐλευθέρωσον, καὶ δοῦλον γνησιώτατον. ἀγαθῶν ἐργασίαις, τοῦ υἱοῦ σου με ἀναδειξον. ὅπως κατὰ χρέος δοξάζω σε:~

ᾠδὴ ε. ὁ στερεώσας κατ' ἀρχάς.

Ἐκ τῶν σκανδάλων τοῦ ἐχθροῦ. ὦ σεραφὶμ ῥύσασθαί με. ἐξουσίαι χερουβὶμ ἱκετεύω, κυριότητες ἀρχαί, καὶ θρόνοι καὶ ἀρχάγγελοι, σὺν τοῖς ἀγγέλοις πᾶσι, τὸν λυτρωτὴν ἱκετεύσατε:~

Ζωὴν ἐμφανῶς με ἀεί, πρόδρομε χριστοῦ δυσώπει. προφητῶν καὶ μαρτύρων χορείαις, ἀποστόλων ἱερῶν, ἱεραρχῶν ὁσίων τε, καὶ ἱερομαρτύρων, τελειωθέντων δι' αἵματος:~

Ἧς ἠξιώθητε τρυφῆς, καὶ δόξης ἀδιαδόχου, αἱ ἀθλήσασαι γυναῖκες ἀνδρείως, καὶ ἀσκήσασαι φαιδρῶς, καὶ τὸν ἐχθρὸν νικήσασαι. ταύτης ἡμᾶς γενέσθαι, ἐν μετοχῇ ἱκετεύσατε:~ Θεοτοκίον.

Θεοχαρίτωτε ἁγνή. μετὰ τῶν ἄνω ταγμάτων, μετὰ πάντων τῶν σοφῶν ἀποστόλων, καὶ μαρτύρων ἱερῶν, καὶ προφητῶν ἱκέτευε, ὅπως τελείαν λύσιν, ἁμαρτημάτων ληψώμεθα:~ ᾠδὴ ϛ. σύ μου Χριστέ.

Ἴδε Χριστέ, καὶ μὴ παρίδῃς με δέομαι, ἁμαρτίαις πάσαις

σαις συνεχόμενον, ἀλλ' ἱκεσίαις τῶν ἱερῶν, πάντων
σου ἀγγέλων, μετὰ μαρτύρων καὶ ἀποστόλων σου, οἰκ-
τειρήσομεν σῶσον. καὶ τῆς σῆς βασιλείας κληρονό-
μους με δεῖξον ὡς εὔσπλαγχνος:~

Κ ήρυξ Χριστοῦ, πρόδρομε τὸν ἐσβεσμένον μου, τῆς καρ-
δίας, λύχνον νῦν ἐπάναψον, λύχνος ἡλίου τοῦ
νοητοῦ, ἤδη χρηματίσας. καὶ σὺν προφήταις ἱκέ-
τευε, καὶ πᾶσι ταῖς ἁγίαις, ἐν θερμῇ μετανοίᾳ, τὴν
ζωὴν μετελθεῖν με τὴν προσήκουσαν:~

Λ άμψον μοι φῶς, τῆς μετανοίας φιλάνθρωπε, με-
σιτείαις τῶν ἐν ὁσιότητι θεραπευσάντων σε Ἰησοῦ, ἱερῶν
γυναίων, ἱεραρχῶν καὶ μαρτύρων σου, κηρύκων ἀποστό-
λων, καὶ ἱερομαρτύρων, καὶ τυχεῖν σωτηρίας ἀξίωσον. Θε

Μ όνη θεὸν, σωματωθέντα κυήσασα, παναγία, τοῦ-
τον καθικέτευε, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ πάντας
ἡμᾶς σῶσαι, καὶ τῆς κολάσεως ῥύσασθαι, ζωῆς
αἰωνιζούσης, καὶ φωτὸς ἀξιῶσαι, καὶ σὺν τούτοις
καλῶς θεραπεύσασιν:~ ᾠδὴ ε'. εἱρμὸς. τί με.

Ι εραί σε δυνάμεις, νῦν καθικετεύουσιν εὔσπλαγ-
χνε κύριε, ἐξουσίαι, θρόνοι, σεραφὶμ κυριότητες, ἄγγε-
λοι, σὺν τοῖς ἀρχαγγέλοις, καὶ ταῖς ἀρχαῖς ἵλεως
γενοῦ, τῷ λαῷ σου καὶ σῶσον ὡς εὔσπλαγχνος:~

Ξ ενοτρόπως βιώσας, πρόδρομε μακάριε, ξένον με
ποίησον, πάσης τιμωρίας, Ἰησοῦν δυσωπῶν τὸν φιλάν-
θρωπον, σὺν προφήταις θείοις, καὶ ἀποστόλοις
ἱεράρχαις, καὶ μαρτύρων ἁγίοις στρατεύμασι:~

Ο σίους σὺν ἱεράρχαις, καὶ ἱερομάρτυρας λαμπρύ-
νας κύριε, καὶ σεπτῶν γυναίων, ἀθλησάντων τὸν
θεῖον κατάλογον, μεγαλύνας τούτων ταῖς πρεσ-

Digitized by Google

σευχαῖς οἰκτείρησόν με, ὁ εἰδώς μου τὰ ἄμετρα πταίσματα:~ Δξ

Παναγία παρθένε, λόγον τὸν παγάγιον ἀποκυήσασα, τῆς ψυχῆς μου πᾶσαν, ἀθυμίαν καὶ λύπην ἀπέλασον, καὶ ὁδώσωσόν μου τὸν λογισμὸν τὰ θεῖα πράττειν, ἵνα πίστει καὶ πόθω δοξάζω σε:~

ᾠδὴ ς'. ἱλάσθητί μοι.

Ρυσθῆναί με τῆς ἐκεῖ, ἀποκειμένης κολάσεως, δεήθητε χερουβὶμ, θρόνοι κυριότητες, ἄγγελοι ἀρχάγγελοι, ἀρχαὶ καὶ δυνάμεις, τὸν δεσπότην πάσης κτίσεως:~

Σὺν ἀποστόλων χοροῖς, καὶ τῶν μαρτύρων στρατεύμασι. πρόδρομε κῆρυξ χριστοῦ, εὑρεῖν ἡμᾶς ἔλεος. ἐν ὥρα τῆς κρίσεως. ἣν δυσώπει τὸν φιλάνθρωπον θεὸν ἡμῶν:~

Τῶν ἀθλησάντων στερρῶς. γυναίων θέκλα ἐξάρχουσα. ἱκέτευε σὺν αὐταῖς. παθῶν ἀμαυρώσεως. καὶ πειρατηρίων, πολυτρόπων λυτρωθῆναι ἡμᾶς:~ θεοτοκίον.

Ὑμνοῦμέν σε οἱ πιστοὶ, θεοχαρίτωτε δέσποινα, τὸν ὑπέρυμνητον γὰρ, θεὸν ἀπεκύησας. ὃν δυσώπει ἄχραντε. πόλιν καὶ λαόν σου, ἐν εἰρήνῃ διασώζεσθαι:~ ᾠδὴ ζ'. θεοῦ συγκατάβασιν.

Φωτὸς φῶτα δεύτερα, ἐκ πρώτου ὄντες ἅγιοι ἄγγελοι, ἐν μεθέξει ἀΰλω καὶ παμολβίω καταφαιδρύνεσθαι. ὅθεν κραυγάζω, τὸν νοῦν μου φωτίσατε. ἐσκοτισμένον ἀεὶ βίου τοῖς πάθεσιν:~

Χορὸς ὁ μακάριος, τῶν ἀποστόλων καθικετεύει σε. σὺν τῷ θείῳ προδρόμῳ, τῶν ἀθλοφόρων τε

ρῶν προφητῶν, ἱεραρχῶν τε ὁσίων φιλάνθρωπε. παῖδε πάντων ἡμῶν τὰ πλημμελήματα, εὐλογητὸς ὁ θεὸς ὁ τῶν πατρῶν ἡμῶν:~

Ψυχῆς μου μετάβαλε, χε τὸν πόνον καὶ ζώτην οἰκτείρον. τῶν ἱερομαρτύρων, ἱεραρχῶν τε καὶ τῶν ὁσίων θυ. ταῖς μεσιτείαις μὴ καταισχύνῃς με. ἡνίκα μέλλω τῷ σῷ θρόνῳ παρίστασθαι. εὐλογητὸς ὁ θς τῶν πατρῶν ἡμῶν:~

Ὡς θρόνος πυρίμορφος, τὸν βασιλέα φέρεις τῆς κτίσεως. ὃν ἐνδυσώπει παρθένε, σὺν μακαρίαις, καὶ ἱεραῖς γυναιξὶ, τῆς βασιλείας αὐτοῦ ἀξιώσει με, ὑμνολογοῦντα πιστῶς τὴν προστασίαν θυ:~

ᾠδὴ η'. ἐπτὰ καμίνου πλασίως κάμινον.

Ὦ χερουβὶμ πυρίμορφα, σεραφὶμ πολυόμματα, θρόνοι ἐξουσίαι, καὶ ἀρχαὶ καὶ ἄγγελοι. οἱ πάντες ἀρχάγγελοι, καὶ κυριότητες ἱεραί. σὺν τῷ μακαρίῳ, δυσωπεῖτε προδρόμῳ. προφήταις ἀποστόλοις ἱεράρχαις ὁσίοις. καὶ πᾶσι τοῖς δικαίοις, ἡμᾶς ἐλεηθῆναι.

Δότε ἡμῖν βοήθειαν, πέτρε παῦλε ἰάκωβε. καὶ βαρθολομαῖε, καὶ θωμᾶ καὶ φίλιππε. ἀνδρέα μάρκε σὺν τῷ λουκᾶ. καὶ ἰωάννη φίλε χυ. σίμων οἱ ἰούδα παμμάκαρ. καὶ μέγιστε ματθία, ἐκ πηρείαις τοῦ πλάνου. καταπεπονημένοις, καὶ ἐξηπορημένοις:~

Ἡλιακῶν λαμπρότερος, χρηματίσας ἐλλάμψεων. στέφανε ὁ πρῶτος, ἀθλητῶν γενόμενος. σὺν τούτοις ἱκέτευε. κατοικτειρηθῆναι πάντας ἡμᾶς, καὶ τῆς ἁμαρτίας ἐκφυγεῖν πάντα ζόφον, βοῶντας τῷ δεσπότῃ, ἱερεῖς εὐλογεῖτε λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας:~

Ἰχνηλατεῖν με πάναγνε, τοὺς ὁσίως βιώσαντας.
διὰ πολιτείας ἐναρέτου ποίησον, ἐχθροὺς καταράσ-
σουσα. τοὺς ἀφειδῶς με θλίβοντας. καὶ πρὸς τῆς σαρ-
κός, καταλιθαίνοντα πάθει. ἀπαύστως ἐνοχλοῦν-
τας, ἵνα χαίρων κραυγάζω. λαὸς ὑπερυψοῦτε εἰς
πάντας τοὺς αἰῶνας:~ ᾨδὴ θ'. ἐξέστη ἐπὶ τούτῳ.

Ὦ θεῖαι ἐξουσίαι καὶ χερουβίμ. σεραφὶμ κυριότη-
τες ἄγγελοι, θρόνοι ἀρχαί. πᾶσαι αἱ δυνάμεις
πανευκλεεῖς. καὶ ἱεροὶ ἀρχάγγελοι. δέησιν ποιεῖτε
πρὸς τὸν θεόν, καλῶς ἡμᾶς βιῶσαι, τυχεῖν τε σω-
τηρίας, καὶ τῶν δεινῶν ἀπολυτρώσασθαι:~

Σὺ πᾶσι τοῖς προφήταις ὡς προφητῶν. χρηματί-
σας ὑπέρτερος πρόδρομε, τῶν ἀγαθῶν. πάντων κα-
ταξίωσον καὶ ἡμᾶς. τοὺς κακωθέντας πάθεσι. καὶ
ταῖς ἐπηρείαις τοῦ πονηροῦ. ἀεὶ συνεχομένους. καὶ βίου
ταῖς ἀπάταις. ὅπως ὑμᾶς πίστει γεραίρομεν:~

Ἡ θεία ἀποστόλων πανευκλεής. δωδεκὰς σὺν τοῖς
μάρτυσιν ἅπασιν, ἱερουργοῖς, καὶ ἱερομάρτυσιν ἱε-
ροῖς. προφήταις μακαρίοις. ὁσίοις καὶ δικαίοις καὶ
αἱ στερρῶς ἀθλήσασαι γυναῖκες. ὑπὲρ ἡμῶν πρεσβεί-
αν, πρὸς τὸν φιλάνθρωπον ποιήσασθε:~ Θεοτ.

Φιλάγαθε παρθένε τὸν ἀγαθόν. ἐνδυσωπεῖ υἱόν
σου καὶ κύριον, διὰ παντός. τὴν κεκακωμένην ταῖς
προσβολαῖς. τοῦ ψυχοφθόρου δράκοντος, καὶ ἐξα-
θενήσασάν μου ψυχήν. ἰάσασθαι καὶ σῶσαι. καὶ πάσαις
ἀγαθῦναι, ταῖς φωτοφόροις ἀναβάσεσι:~

ΤΕΛΟΣ.


Digitized by Google

# ΚΑΝΩΝ

## ΚΑΤΑΝΥΚΤΙΚΟΣ

Καὶ παρακλητικός, ποίημα τοῦ ἁγιωτάτου μητροπολίτου
φιλαδελφίας κυρίου θεολήπτου. κατὰ ἀλφάβη-
τον. ἦχος πλ. β΄. ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ἀπωσαμένη φροντίδας βιωτικάς. καὶ παθῶν τὴν ἔννοιαν, καὶ σαρκὸς τὰς ἡδονάς. τῶν μελλόντων λάβε κατὰ νοῦν. πανάθλια τὴν φρικτὴν ψυχὴ κατάστασιν.

Βία μεγάλη καὶ φόβος σφόδρα πολύς. ψυχὴν πᾶσαν λήψεται, ὁπηνίκα τῆς βροτῆς. περιτρέχει πάντα τὰ ὀστᾶ. καὶ ζητεῖ μετὰ σπουδῆς, τὴν ἁρμονίαν αὐτῶν.

Γυνὴ ἐγκύμων καθάπερ πᾶσα ἡ γῆ. ἀναδώσει ἅπαντας, μετὰ τρόμου τοὺς νεκρούς. φοβερὸν ἡ σάλπιγξ γὰρ ἠχεῖ. καὶ ἀνίσταται εὐθύς, πᾶς ἐκ τοῦ τόπου αὐτοῦ.

θ΄. Ὡς οὖσα πέτραν καὶ ἄγκυραν ἀσφαλῆ. καταφεύγω ἄχραντε, πρὸς ἀντίληψιν τὴν σήν. πεπτωκότα ἔγειρον πολλοῖς, ἁμαρτήμασιν ἁγνὴ καὶ μὴ ἀπώσῃ με.

ᾠδὴ γ΄. οὐκ ἔστιν ἅγιος.

Δακρύσεις πάμπολλα ψυχή. καὶ στενάξεις μεγάλως, ὅταν ἴδῃς τὴν πᾶσαν, ἡλικίαν τῆς βροτῆς. ἀνισταμένην γυμνήν. παραστῆναι, πρὸς κρίσιν τὴν ἀδέκαστον.

Ἐν τῇ ἐσχάτῃ καὶ φρικτῇ. ἀδελφοί μου ἡμέρᾳ. παραστήσονται πάντες, ἐν ῥιπῇ τῇ τοῦ ὀφθαλμοῦ. θῆρες γὰρ καὶ πτηνὸν καὶ ἰχθύς, τὰ βρωθέντα, μέλη ἀποδώσουσι.

Ζέων πυρὸς ὁ ποταμός. ἐν θυμῷ κατεσθίει. τοὺς βουνοὺς καὶ τὰ ὄρη. καὶ τὰ ἔργα τὰ ἐν γῇ, τὴν ἀπειλὴν τῆς φλογὸς τῆς παμφάγου, τίς οὐ φοβηθήσεται.

θ΄. Οὐκ ἔστιν ὅρμος τοῖς πιστοῖς. πανάγια παρθένε. εἰ μὴ σὺ ἡ τεκοῦσα, τὴν γαλήνην τὸν Χριστόν. τοὺς χειμαζομένους

Digitized by Google

ἐχθρῶν, ἐπηρείας, πάντας ἀνασώζουσα· κάθισμα, ἦχος β'. τὰ ἄνω ζητῶν.

Τὰ τρία ψυχὴ φοβοῦμαι ταῦτα πράγματα. ὁπόταν συμβῇ τοῦ σώματος ἐξέρχεσθαι. καὶ ὅταν μέλλωμεν ἀπαντῆσαι τῷ πάντα κρίνοντι. καὶ ὁπηνίκα ὁ κριτὴς, λαλήσει τὴν κρίσιν τὴν ἀδέκαστον· ᾠδὴ δ'. Χριστός μου δύναμις.

Ἡ γῆ φλογίζεται, ἐκλείπει θάλασσα. ὁ ἀὴρ συγκλονεῖται καὶ οὐρανὸς, ὅλος ἐνειλίσσεται. φῶτα καὶ ἄστρα δὲ αὐτοῦ, πίπτει ταῦτα πῶς ἐνέγκῃς ψυχή.

Θρηνήσεις πάμπολλα, ψυχή μου βλέπουσα. στελλομένους ἀγγέλους μετὰ σπουδῆς. καὶ περισυνάγοντας, ἀπὸ περάτων πάσης γῆς, τοὺς θεῷ εὐαρεστήσαντας.

Ἰδοὺ οἱ ἅπαντες, βροτοὶ ἐκστήσονται. τὸν φοβερὸν ὁρῶντες τότε κριτήν. τούτους ἀφορίζοντα, ἐξ ἀμφοτέρων καὶ ζυγῷ, ἀπονέμοντα τῶν πράξεων.

θ'. Ἡμέρα ἔρχεται, αὕτη ἀποδόσεως. ἐν νυκτὶ ὥσπερ κλέπτης ἁμαρτωλοὺς, πάντας ἐκταράττουσα. φεῖσαί μου τότε ἡ ἁγνὴ, καὶ κολάσεως ἐκλύτρωσαι.

ᾠδὴ ε'. τῷ θείῳ φέγγει σου ἀγαθέ.

Καλύψει πρόσωπα ἐν ἐντροπῇ. τῶν συνειδότων ἑαυτοῖς, ἔργῳ καὶ λόγῳ τὰ πταίσματα. περὶ προσώπου ἕκαστος γὰρ ταῖς πράξεις αὐτοῦ. βαστάζων ἀχωρίστως πάσας αὐτάς.

Λελυτρωμένοι τοῦ συνειδότος. καὶ ἐν παρρησίᾳ καὶ φαιδροὶ, φαίνονται πάντες οἱ δίκαιοι. τοὺς μισθοὺς ἐκδέχονται γὰρ τῶν πόνων αὐτῶν. καὶ τῶν πολλῶν ἀγώνων ὧν καθυπέμειναν.

Μεγάλη τότε λέγει κραυγή. ὁ κριτὴς ἰδοὺ ἐπιδημεῖ. κρῖναι βροτῶν πλήθη ἅπαντα. ὅπως κατ' ἀξίαν ἕκαστος λήψεται. μετὰ δικαιοσύνης, γέρα τῶν πόνων αὐτοῦ.

θ'. Τῷ θείῳ φέγγει σου ἀγαθή. τὴν ἐσκοτισμένην μου ψυχὴν, παθῶν ἀμαυρότησι φώτισον. ὅπως ὡς ἡμέρας υἱὸς τὰ ἔργα φωτός. ποιῶν τοῦ ἐξωτέρου σκότους ῥυ-

ἀφήρημαι. ᾠδὴ ς'. τοῦ βίου τὴν θάλασσαν.

Π εφρεὶ καὶ διάνοια, συντρημάξουσι βροτῶν. τὸν φοβερὸν ἀκούοντα, ἦχον ἐκεῖνον τῆς σάλπιγγος καὶ κραυγῆς, στενάξουσιν ἄβυσσοι. οὐρανῶν αἱ δυνάμεις σαλευθήσονται.

Ξ ενίαν εὑρίσκουσιν, οἱ πενθοῦντες καὶ πτωχοί. κατὰ θεὸν καὶ σώφρονες, καὶ οἱ τρίβον βαδίζοντες τὴν στενήν. ἐδὲμ κλῆρον ἔχοντες, ἐν μοναῖς ἀκηράτοις αὐλιζόμενοι.

Ο ἱ πλούσιοι φλέγονται, ἀσπλαγχνίας τῷ πυρί. ἐν ταῖς σκηναῖς τῶν πενήτων, καὶ ἐν κόλποις ὁρῶντες τοῦ Ἀβραάμ, ῥανίδος προσδέονται. καὶ οὐδεὶς αὐτοῖς νέμει πρὸ τοῦ φλεγομένου.

Τ οῦ βίου τὰ θήρατρα, τοῦ ματαίου καὶ φθαρτοῦ. διαφυγεῖν ἀξίωσον. καὶ δραμεῖν με ἐνίσχυσον πρὸς ζωήν. παρθένε τὴν μέλλουσαν. καὶ βρυγμοῦ τῶν ὀδόντων ῥυομένη με.

κοντάκιον, ἦχος γ'. ἡ παρθένος σήμερον.

Κ ριτὴς ἀδέκαστος, φοβερωτάτη ἡ κρίσις. ἡ ὀργὴ ἀνύποιστος, καὶ ἀπαρέγγευτον βῆμα. ἄγγελοι φόβῳ καὶ τρόμῳ, διακονοῦσι. βίβλοι δὲ βροτῶν, τὰ κρύφια φανεροῦσι. λοιπὸν ἀπόθου τὴν κακίαν ψυχὴ καὶ κλαῦσον θερμῶς. ὅμοιον.

Ε ν καιρῷ ἐξόδου μου, μὴ ἀποστῇς μου παρθένε. τὴν ψυχήν μου τότε γάρ, οἱ πονηροὶ ἐκζητοῦσιν. οἴμοι πῶς ἐκφύγω τούτους, καὶ τί ποιήσω. οἴμοι πῶς φρικώδεις τόπους, διαπεράσω. σὺ ἡ ἐλπίς μου, σὺ λιμήν μου, καὶ σοὶ προσαπτῶ ὁ σὸς οἰκέτης ἁγνή. ᾠδὴ ζ'. δροσοβόλον.

Π οταπὴ ψυχὴ εὑρίσκεται, ὁπόταν τεθῶσι θρόνοι. καὶ καθίσει κριτὴς ὁ ἀδέκαστος. καὶ αἱ βίβλοι φέρονται βροτῶν, ἐνθύμια πράξεις καὶ βουλάς. οὐαί σοι τότε ταπεινὴ καὶ παναθλία ψυχή.

Ρ ητόρων πιθανότητος, κομψεύματα. μέθοδοι καὶ τῶν λόγων στροφαί, καταστρέφονται καὶ σιγῶσι πρὸ τοῦ οἱ βο-

Digitized by Google

φοὶ. αἱ βίβλοι λαλοῦσιν ἔργων δὲ, ἐν ἐπηκόῳ τοῦ θεοῦ καὶ τῶν ἀγγέλων ὁμοῦ.

Σ τρατιαὶ μὲν ἀναρίθμητοι παρίστανται. θρόνον κυκλοῦσι τὸν φοβερόν. τῶν αἰώνων δὲ, πᾶσα φύσις ἵσταται συγνή. ἀνάγκην ὁρῶντος τὴν φρικτήν. καὶ δεδιότος τοῦ κριτοῦ δικαιοπρεπῆ ψῆφον.

Τ. ερισμῷ τῆς βοηθείας σου, τὸν καύσωνα. σβέσον τῶν ἡδονῶν μου ἁγνή. κατεβέβηκεν ἐπὶ σὲ γὰρ, ὥσπερ ὑετός. ἐν πόκῳ ὁ λόγος τοῦ θεοῦ. καταμαραίνων τοῖς πιστοῖς, τὴν τῆς γεέννης πυράν. ᾠδὴ η΄. ἐκ φλογὸς τοῖς.

Τ ῶν πιστῶν ἐρευνᾶται τότε τὰ τάγματα. ἱεράρχαι λευῖται θύται μονάζοντες. τάγματι καὶ γὰρ, ἐν ἰδίῳ ἐγείρεται. ἕκαστος τοῦ δοῦναι τῶν πράξεων τὰς δίκας.

Υ ποτρέμουσι πάντες ἄρχοντες πλούσιοι. βασιλεῖς καὶ δυνάσται ὕπατοι κρίνοντες. πᾶς χριστιανὸς τὰς συνθήκας βαπτίσματος. πάσας ἀπαιτεῖται καθάπερ ὑπεσχέθη.

Φ ανερῶν γενομένων ὅλων τῶν πράξεων. φοβερὰν ὁ κριτὴς ποιεῖται ἀπόφασιν. καὶ ἐκ δεξιῶν τοὺς δικαίους καθίστησι. τοὺς ἁμαρτωλοὺς δὲ, εἰς κόλασιν ἐκπέμπει.

Ε. κ φλογὸς τῆς γεέννης, σκότους καὶ σκώληκος. τοῦ βρυγμοῦ τῶν ὀδόντων, καὶ τοῦ ταρτάρου τε. λύμνης τοῦ πυρὸς καὶ παντοίας κολάσεως. ῥῦσαι πανάγια τοὺς πίστει σὲ ὑμνοῦντας. ᾠδὴ θ΄. θεὸν ἀνθρώποις ἰδεῖν.

Α λεβάζων ἅπας βροτὸς φιλόϋλος. τὰς ἡδονὰς πικρῶς καταδυόμενος φθέγγεται. ποῦ πατὴρ ποῦ τεκοῦσα, τὰ τέκνα δὲ ποῦ. ποῦ οἱ γνωστοί. ποῦ οἱ φίλοι. ποῦ ἡ συγγένεια. ποῦ ἡ φαντασία τῆς τιμῆς. πάντα ἠφάνισται.

Ψ υχαὶ θρηνοῦσιν ἐκεῖ καὶ βρύχονται. τῶν συγγενῶν καὶ φίλων χωρισμὸν ὑπομένουσαι. ἀδελφοὶ γὰρ τέμνονται πατὴρ ἐξ υἱοῦ. φίλος ἀπὸ τοῦ φίλου, καὶ οἱ ὁμόκοιτοι. τόποις τῶν βασάνων, ἀπηνῶς καταμερίζονται.

Ω πόσα κλαύσονται ὥσπερ νήπια. οἱ βασιλεῖς καὶ ἀπελαθήσονται ἄρχοντες. τῆς ἐσβεμ ῥιπτόμενοι γεέννης.

Digitized by Google

πυρί. ἔνθεν καὶ ἔνθεν ὁρῶντας καὶ ἱκετεύοντας. ἀγγέλους τοὺς βάλλοντας αὐτούς. ἀλλ' οὐκ ὠφελούμεναι.

θ'. Ἰδοὺ ἠκούσατε φίλοι ἅπαντες. τῆς φοβερᾶς ἡμέρας τὴν ἀνάγκην προφθάσωμεν. τοῦ Χ͞υ τὸ πρόσωπον ψαλμοῖς καὶ εὐχαῖς. δυσωπεῖ ἡ παρθένος ἄγγελοι πρόδρομος. θείων ἀποστόλων δωδεκὰς, πάντες οἱ ἅγιοι.

ΤΕΛΟΣ.

Digitized by Google

Πασχάλιον σὺν θεῷ ἁγίῳ ἐτῶν πεντήκοντα. ἀρχόμενον ἀπὸ Χριστοῦ ἔτη. αφξβ'. πόνημα ζαχαρίου ἱερέως σκορδυλίου κρητὸς τοῦ ἐπονομαζομένου μαραφαρᾶ, καὶ ἐπιτρόπου τοῦ τῆς κωνσταντινουπόλεως οἰκουμενικοῦ πατριάρχου κυρίου ἰωάσαφ.

αφξβ'. ζο'. ἰνδικτιῶνος, ε'. ἡλίου κύκλοι, ιδ'. σελήνης κύκλοι, β'. θεμέλιον σελήνης κε'.

Ἡ παραμονὴ τῶν χριστουγέννων, ἡμέρα, δ'. κρεοφαγία ἡμέραι, λθ'. τὸ τριώδιον ἄρχεται ἰανουαρίω, ιη'. ἦχος α'. ἑωθινὸν α'. ἡ ἀποκρέα φεβρουαρίω, α'. τοῦ εὐαγγελισμοῦ τῇ ἁγίᾳ καὶ μεγάλῃ δ'. νομικὸν φάσκα μαρτίω, κβ'. χριστιανῶν πάσχα, μαρτίω, κθ'. τοῦ μεγάλου γεωργίου τῇ ε'. τοῦ παραλύτου. κυριακὴ τῶν ἁγίων πάντων μαΐω, κδ'. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, λε', καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, β'.

αφξγ'. ζοα'. ἰνδικτιῶνος, ς'. ἡλίου κύκλοι, ιε'. σελήνης κύκλοι, γ'. θεμέλιον σελήνης, ς'.

Ἡ παραμονὴ τῶν χριστουγέννων ἡμέρα, ε'. κρεοφαγία ἡμέραι, κβ'. τὸ τριώδιον ἄρχεται ἰανουαρίω, λα'. ἦχος δ', ἑωθινὸν, δ'. ἡ ἀποκρέα φεβρουαρίω, ιδ'. τοῦ εὐαγγελισμοῦ τῇ ε' τῆς ε' ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίω, ι'. χριστιανῶν πάσχα, ἀπριλλίω, ια'. τοῦ μεγάλου γεωργίου τῇ ς'. τοῦ θωμᾶ. κυριακὴ τῶν ἁγίων πάντων ἰουνίω, ς'. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, κβ', καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, γ'.

αφξδ'. ζοβ'. ἰνδικτιῶνος, ζ'. ἡλίου κύκλοι, ις'. σελήνης κύκλοι, δ'. θεμέλιον σελήνης, ιζ'.

Digitized by Google

ϛ. Η παραμονὴ τῆ χριστουγέννων, ἡμέρα, ϛ′. κρεοφαγία ἡμέραι, μδ′. τὸ τελώδιον ἄρχεται ἰαννουαρίῳ, κγ′. ἦχος α′. ἑωθινὸν α′. ἡ ἀποκρέα φευρουαρίῳ, ϛ′. τοῦ εὐαγγελισμοῦ τῷ σαββάτῳ τοῦ λαζάρου. νομικὸν φάσκα μαρτίῳ, λ′. χριστιανῶν πάσχα, ἀπριλλίῳ, ϛ′. τοῦ μεγάλου γεωργίου τῇ κυριακῇ, τοῦ παραλύτου. κυριακὴ τῶν ἁγίων πάντων, μαΐῳ κη′. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, λα′. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα πέμπτη.
αφξε. ͵ζογ. ἰνδικτιῶνος, η′. ἡλίου κύκλοι, ιζ′. σελήνης κύκλοι, ε′. θεμέλιον σελήνης, κη′.

Ἡ παραμονὴ τῆς χριστουγέννων ἡμέρα κυριακή. κρεοφαγία ἡμέραι, ξγ′. τὸ τελώδιον ἄρχεται φευρουαρίῳ, ια′. ἦχος πλαγίου α′. ἑωθινὸν ε′. ἡ ἀποκρέα φευρουαρίῳ, κε′. τοῦ εὐαγγελισμοῦ τῇ γ′ κυριακῇ τῶν νηστειῶν. νομικὸν φάσκα ἀπριλλίῳ, ιη′. χριστιανῶν πάσχα, ἀπριλλίῳ, κβ′. τοῦ μεγάλου γεωργίου, τῇ νέᾳ β′. κυριακὴ τῆς ἁγίων πάντων, ἰουνίῳ ιζ′. ἡ νηστεία τῆς ἁγίων ἀποστόλων, ἡμέραι ια′. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα ϛ′.
αφξϛ. ͵ζοδ. ἰνδικτιῶνος, θ′. ἡλίου κύκλοι, ιη′. σελήνης κύκλοι, ϛ′. θεμέλιον σελήνης, θ′.

Η παραμονὴ τῆς χριστουγέννων ἡμέρα β′. κρεοφαγία ἡμέραι, ν ε′. τὸ τελώδιον ἄρχεται φευρουαρίῳ, γ′. ἦχος α′. ἑωθινὸν α′. ἡ ἀποκρέα φευρουαρίῳ, ιζ′. τοῦ εὐαγγελισμοῦ τῇ β′, τῆς ε′, ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίῳ, ζ′. χριστιανῶν πάσχα, ἀπριλλίῳ, ιδ′. τοῦ μεγάλου γεωργίου τῇ γ′, τοῦ θωμᾶ. κυριακὴ τῆς ἁγίων πάντων ἰουνίῳ, θ′. ἡ νηστεία τῆς ἁγίων ἀποστόλων ἡμέραι, ιθ′. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, ζ′.
αφξζ. ͵ζοε. ἰνδικτιῶνος, ι′. ἡλίου κύκλοι ιθ′. σελήνης κύκλοι, ζ′. θεμέλιον σελήνης, κ′.

Η παραμονὴ τῆς χριστουγέννων ἡμέρα, γ′. κρεοφαγία ἡμέραι, μ′. τὸ τελώδιον ἄρχεται ἰαννουαρίῳ, ιθ′. ἦχος

πλαγίου δ΄. ἑωθινὸν ιά. ἡ ἀποκρέα φεβρουαρίω, β΄. τοῦ εὐαγγελισμοῦ τῇ ἁγία καὶ μεγάλη γ΄. νομικὸν φάσκα μαρτίω κζ΄. χριστιανῶν πάσχα, μαρτίω, λ΄. τοῦ μεγάλου γεωργίου. τῇ δ΄, τοῦ παραλύτου. κυριακὴ τῶν ἁγίων πάντων μαΐω, κέ. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, λδ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα κυριακῆ.

β΄ αφξη. ζος. ἰνδικτιῶνος ια΄. ἡλίου κύκλοι, κ΄. σελήνης κύκλοι, η΄. θεμέλιον σελήνης, α΄.

Η παραμονὴ τῶν χριστουγέννων, ἡμέρα δ΄. κρεοφαγία ἡμέραι, ξ΄. τὸ τελώδιον ἄρχεται φεβρουαρίω, η΄. ἦχος πλαγίου α΄. ἑωθινὸν ε΄. ἡ ἀποκρέα φεβρουαρίω, κβ΄. τοῦ εὐαγγελισμοῦ, τῇ ε΄ τῆς δ΄. ἑβδομάδος. νομικὸν φάσκα, ἀπριλλίω, ιε΄. χριστιανῶν πάσχα, ἀπριλλίω, κη΄. τοῦ μεγάλου γεωργίου, τῇ νέα ϛ΄. κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίω ιγ΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, ιέ. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, γ΄.

αφξθ. ζοζ. ἰνδικτιῶνος, ιβ΄. ἡλίου κύκλοι κα΄. σελήνης κύκλοι, θ΄. θεμέλιον σελήνης, ιβ΄.

Η παραμονὴ τῶν χριστουγέννων, ἡμέρα, ϛ΄. κρεοφαγία ἡμέραι, να΄. τὸ τελώδιον ἄρχεται ἰαννουαρίω, λ΄. ἦχος α΄. ἑωθινὸν α΄. ἡ ἀποκρέα φεβρουαρίω, ιγ΄. τοῦ εὐαγγελισμοῦ τῇ ϛ΄, τῆς ε΄ ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίω, δ΄. χριστιανῶν πάσχα, ἀπριλλίω ι΄. τοῦ μεγάλου γεωργίου τῷ σαββάτῳ τοῦ θωμᾶ. κυριακὴ τῶν ἁγίων πάντων ἰουνίω, ε΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, κγ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα δ΄.

αφο. ζοη. ἰνδικτιῶνος ιγ΄. ἡλίου κύκλοι, κβ΄. σελήνης κύκλοι, ι΄. θεμέλιον σελήνης, κγ΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα σαββάτω. κρεοφαγία ἡμέραι, λϛ΄. τὸ τελώδιον ἄρχεται ἰαννουαρίω, ιέ.

Digitized by Google

ἦχος πλαγίου δ΄. ἑωθινὸν ια΄. ἡ ἀποκρέα ἰαννουαρίω κθ, τοῦ εὐαγγελισμοῦ τῷ ἁγίω καὶ μεγάλω σαββάτω. νομικὸν φάσκα μαρτίω κδ΄. χριστιανῶν πάσχα, μαρτίω κϛ. τοῦ μεγάλου γεωργίου τῇ κυριακῇ τῆς σαμαρείτιδος. κυριακὴ τῶν ἁγίων πάντων, μαΐω κα΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, λη΄, καὶ ἡ μνήμη αὐτῶν ἡμέρα ε΄.

α, φοα΄, ζοθ. ἰνδικτιῶνος, ιδ΄. ἡλίου κύκλοι, κγ΄. σελήνης κύκλοι, ια΄. θεμέλιον σελήνης, δ΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα κυριακῇ. κρεοφαγία ἡμέραι, νϛ΄. τὸ τελώδιον ἄρχεται φευρουαρίω, δ΄. ἦχος πλαγίου α΄. ἑωθινὸν ε΄. ἡ ἀποκρέα φευρουαρίω ιη. τοῦ εὐαγγελισμοῦ τῇ δ΄, κυριακῇ τῶν νηστειῶν. νομικὸν φάσκα ἀπριλλίω, ιβ΄. χριστιανῶν πάσχα, ἀπριλλίω, ιε΄. τοῦ μεγάλου γεωργίου τῇ β, τοῦ θωμᾶ. κυριακὴ τῶν ἁγίων πάντων ἰουνίω ι. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, ιη΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, ϛ΄.

β α, φοβ΄. ζπ. ἰνδικτιῶνος, ιε΄. ἡλίου κύκλοι, κδ΄. σελήνης κύκλοι, ιβ΄. θεμέλιον σελήνης, ιε΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα β΄. κρεοφαγία ἡμέραι, μη΄. τὸ τελώδιον ἄρχεται ἰαννουαρίω, κζ΄. ἦχος α΄, ἑωθινὸν α΄. ἡ ἀποκρέα φευρουαρίω, ι. τοῦ εὐαγγελισμοῦ τῇ γ΄, τῆς ε΄, ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίω, α΄. χριστιανῶν πάσχα, ἀπριλλίω, ϛ΄. τοῦ μεγάλου γεωργίου τῇ δ΄, τῶν μυροφόρων. κυριακὴ τῶν ἁγίων πάντων ἰουνίω, α΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι κζ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα κυριακῇ.

α, φογ΄. ζπα΄. ἰνδικτιῶνος, α΄. ἡλίου κύκλοι, κε΄. σελήνης κύκλοι, ιγ΄. θεμέλιον σελήνης, κϛ΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα δ΄. κρεοφαγία ἡμέραι, λβ΄. τὸ τελώδιον ἄρχεται ἰαννουαρίω, ια΄. ἦχος πλαγίου δ.

γίου δ'. ἑωθινὸν ια'. ἡ ἀπόκρεα ἰανουαρίῳ, κε'. τοῦ εὐαγ-
γελισμοῦ τῇ νέᾳ δ'. νομικὸν φάσκα μαρτίῳ, κα'. χρι-
στιανῶν πάσχα, μαρτίῳ κϛ'. τοῦ μεγάλου γεωργίου τῇ
ε', τῆς διακαινησίμου ἑβδομάδος. κυριακὴ τῶν ἁγίων πάντων, μαΐῳ
ιζ'. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, μβ'. καὶ ἡ
μνήμη αὐτῶν ἡμέρᾳ β'.
αφοδ'. ζπβ'. ἰνδικτιῶνος, β'. ἡλίου κύκλοι, κϛ'. σελή-
νης κύκλοι, ιδ'. θεμέλιον σελήνης, ζ'.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρᾳ ε'. κρεοφαγία
ἡμέραι, νθ'. τὸ τελώνιον ἄρχεται ἰανουαρίῳ, λα'. ἦχος
πλαγίου α'. ἑωθινὸν ε'. ἡ ἀπόκρεα φεβρουαρίῳ, ιδ'.
τοῦ εὐαγγελισμοῦ τῇ ε' τῆς ε' ἑβδομάδος. νομικὸν φά-
σκα ἀπριλλίῳ, θ'. χριστιανῶν πάσχα, ἀπριλλίῳ, ι'.
τοῦ μεγάλου γεωργίου τῇ ϛ', τοῦ θωμᾶ. κυριακὴ τῶν
ἁγίων πάντων, ἰουνίῳ ϛ'. ἡ νηστεία τῶν ἁγίων ἀπο-
στόλων ἡμέραι κδ'. καὶ ἡ μνήμη αὐτῶν ἡμέρᾳ, γ'.
αφοε'. ζπγ'. ἰνδικτιῶνος, γ'. ἡλίου κύκλοι κζ'. σελή-
νης κύκλοι, ιε'. θεμέλιον σελήνης, ιη'.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρᾳ ϛ'. κρεοφαγία
ἡμέραι, μδ'. τὸ τελώνιον ἄρχεται ἰανουαρίῳ, κγ'. ἦχος
α'. ἑωθινὸν α'. ἡ ἀπόκρεα φεβρουαρίῳ, ϛ'. τοῦ εὐαγγε-
λισμοῦ τῇ ϛ', τῆς ϛ' ἑβδομάδος. νομικὸν φάσκα μαρ-
τίῳ, κθ'. χριστιανῶν πάσχα, ἀπριλλίῳ, γ'. τοῦ μεγά-
λου γεωργίου τῷ σαββάτῳ τῶν μυροφόρων. κυριακὴ
τῶν ἁγίων πάντων, μαΐῳ κθ'. ἡ νηστεία τῶν ἁγίων
ἀποστόλων ἡμέραι, λ'. καὶ ἡ μνήμη αὐτῶν, ἡμέρᾳ δ'.
ϛ. αφοϛ'. ζπδ'. ἰνδικτιῶνος, δ'. ἡλίου κύκλοι, κη'. σελή-
νης κύκλοι, ιϛ'. θεμέλιον σελήνης, κθ'.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρᾳ σαββάτῳ. κρεοφα-
γία ἡμέραι, ξδ'. τὸ τελώνιον ἄρχεται φεβρουαρίῳ, ιβ'.
ἦχος πλαγίου α'. ἑωθινὸν ε'. ἡ ἀπόκρεα φεβρουαρίῳ,
κϛ'. τοῦ εὐαγγελισμοῦ τῇ γ', κυριακῇ τῶν νηστειῶν.



Digitized by Google

νομικὸν φάσκα ἀπριλλίῳ, [illegible]. χριστιανῶν πάσχα
κβ΄. τοῦ μεγάλου γεωργίου τῇ νέα β΄. κυριακὴ τῶν
ἁγίων πάντων, ἰουνίῳ ιζ΄. ἡ νηστεία τῶν ἁγίων ἀπο-
στόλων ἡμέραι, ια΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, ς΄.

α φ ο ζ΄. ζ π ε΄. ἰνδικτιῶνος ε΄. ἡλίου κύκλος, α΄. σε-
λήνης κύκλοι, ιζ΄. θεμέλιον σελήνης, ι΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα, β΄. κρεοφαγία
ἡμέραι, μη΄. τὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ, κζ΄. ἦχος
πλαγίου δ΄. ἑωθινὸν ια΄. ἡ ἀποκρέα φεβρουαρίῳ, ι΄.
τοῦ εὐαγγελισμοῦ τῇ β΄ τῆς ἕκτης ἑβδομάδος. νομικὸν
φάσκα ἀπριλλίῳ, ε΄. χριστιανῶν πάσχα, ἀπριλλίῳ ζ΄.
τοῦ μεγάλου γεωργίου τῇ γ΄. τῶν μυροφόρων. κυριακὴ τῶν
ἁγίων πάντων, ἰουνίῳ β΄. ἡ νηστεία τῶν ἁγίων ἀποστό-
λων ἡμέραι κς΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα σαββάτῳ.

α φ ο η΄. ζ π ς΄. ἰνδικτιῶνος ς΄. ἡλίου κύκλοι, β΄.
σελήνης κύκλοι, η΄. θεμέλιον σελήνης, κα΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα γ΄. κρεοφαγία ἡ-
μέραι, μ΄. τὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ, ιθ΄. ἦχος α΄.
ἑωθινὸν α΄. ἡ ἀποκρέα φεβρουαρίῳ, β΄. τοῦ εὐαγγε-
λισμοῦ τῇ ἁγία καὶ μεγάλη, γ΄. νομικὸν φάσκα
μαρτίῳ κε΄. χριστιανῶν πάσχα, μαρτίῳ λ΄. τοῦ μεγάλου
γεωργίου τῇ δ΄. τοῦ παραλύτου. κυριακὴ τῶν ἁγίων
πάντων, μαΐῳ κε΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων
ἡμέραι, λδ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα κυριακῇ.

α φ ο θ΄. ζ π ζ΄. ἰνδικτιῶνος, ζ΄. ἡλίου κύκλοι, γ΄.
σελήνης κύκλοι, θ΄. θεμέλιον σελήνης, β΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα, δ΄. κρεοφαγία
ἡμέραι, ξ΄. τὸ τριώδιον ἄρχεται φεβρουαρίῳ η΄. ἦχος
πλαγίου α΄. ἑωθινὸν ε΄. ἡ ἀποκρέα φεβρουαρίῳ
κβ΄. τοῦ εὐαγγελισμοῦ τῇ δ, τῆς δ΄, ἑβδομάδος. νομι-
κὸν φάσκα, ἀπριλλίῳ ιγ΄. χριστιανῶν πάσχα, ἀπρι-
λλίῳ ιθ΄, τοῦ μεγάλου γεωργίου τῇ νέα ε΄, κυριακὴ

τῶ ἁγίων πάντων, ἰουνίω ιδʹ. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι ιδʹ. καὶ ἡ μνήμη αὐτῶ ἡμέρας, βʹ.

αφπʹ. ζπηʹ. ἰνδικτιῶνος, ηʹ. ἡλίου κύκλοι, δʹ. σελήνης κύκλος, αʹ. θεμέλιοι σελήνης, ιδʹ. καὶ μὴ ἀμφίβαλε.

Η παραμονὴ τῶ χριστουγέννων ἡμέρα εʹ. κρεοφαγία ἡμέραι μέ. τὸ τριώδιον ἄρχεται ἰανουαρίω, κδʹ. ἦχος πλ δʹ. ἑωθινὸν, ιαʹ. ἡ ἀποκρέα φευρουαρίω ζʹ. τοῦ εὐαγγελισμοῦ τῇ ςʹ, τῆς ςʹ, ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίω βʹ. χριστιανῶν πάσχα, ἀπριλλίω γʹ. τοῦ μεγάλου γεωργίου τῷ σαββάτῳ τῶν μυροφόρων. κυριακὴ τῶν ἁγίων πάντων, μαΐω κθʹ. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι λʹ. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, δʹ.

αφπαʹ. ζπθʹ. ἰνδικτιῶνος θʹ. ἡλίου κύκλοι, εʹ. σελήνης κύκλοι, βʹ. θεμέλιον σελήνης, κέ.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα σαββάτω. κρεοφαγία ἡμέραι λςʹ. τὸ τριώδιον ἄρχεται ἰανουαρίω ιέ. ἦχος αʹ. ἑωθινὸν αʹ. ἡ ἀποκρέα ἰανουαρίω κθʹ. τοῦ εὐαγγελισμοῦ τῷ ἁγίω καὶ μεγάλω σαββάτω. νομικὸν φάσκα, μαρτίω κβʹ. χριστιανῶν πάσχα, μαρτίω κςʹ. τοῦ μεγάλου γεωργίου τῇ κυριακῇ τῆς σαμαρείτιδος. κυριακὴ τῶν ἁγίων πάντων, μαΐω κά. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι λή. καὶ ἡ μνήμη αὐτῶ ἡμέρα εʹ.

αφπβʹ. ζϥʹ. ἰνδικτιῶνος ιʹ. ἡλίου κύκλοι ςʹ. σελήνης κύκλοι γʹ. θεμέλιον σελήνης ςʹ.

Η παραμονὴ τῶ χριστουγέννων ἡμέρα κυριακῇ. κρεοφαγία ἡμέραι, νςʹ. τὸ τριώδιον ἄρχεται φευρουαρίω, δʹ. ἦχος πλ αʹ. ἑωθινὸν εʹ. ἡ ἀποκρέα φευρουαρίω ιηʹ. τοῦ εὐαγγελισμοῦ τῇ δʹ, κυριακῇ τῶν νηστειῶν. νομικὸν φάσκα, ἀπριλλίω ιʹ. χριστιανῶν πάσχα, ἀπριλλίω ιηʹ. τοῦ μεγάλου γεωργίου τῇ βʹ τοῦ θωμᾶ. κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίω ιʹ. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι ιηʹ. καὶ ἡ μνήμη αὐτῶ, ἡμέρας ςʹ.



Digitized by Google

αφπγ΄. ζϟα. ἰνδικτιῶνος, ια΄. ἡλίου κύκλοι, ζ΄. σελήνης κύκλοι, δ΄. θεμέλιον σελήνης, ιζ΄.

Η παραμονὴ τῶν χριστουγέννων, ἡμέρα β΄. κρεοφαγία ἡμέραι, μα΄. τὸ τριώδιον ἄρχεται φευρουαρίῳ, κ΄. ἦχος πλαγίου δ΄. ἑωθινὸν ια΄. ἡ ἀποκρέα φευρουαρίῳ, γ΄. τοῦ εὐαγγελισμοῦ, τῇ ἁγίᾳ καὶ μεγάλῃ ϛ΄. νομικὸν φάσκα, μαρτίῳ λ΄. χριστιανῶν πάσχα, μαρτίῳ, λα΄. τοῦ μεγάλου γεωργίου τῇ γ΄. τοῦ παραλύτου. κυριακὴ τῶν ἁγίων πάντων, μαΐῳ κϛ΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, λγ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα σαββάτῳ.

ϛ. αφπδ΄. ζϟβ΄. ἰνδικτιῶνος, ιβ΄. ἡλίου κύκλοι, η΄. σελήνης κύκλοι, ε΄. θεμέλιον σελήνης, κη΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα γ΄. κρεοφαγία ἡμέραι, ξα΄. τὸ τριώδιον ἄρχεται φευρουαρίῳ, θ΄. ἦχος πλαγίου α΄. ἑωθινὸν ε΄. ἡ ἀποκρέα φευρουαρίῳ, κγ΄. τοῦ εὐαγγελισμοῦ τῇ δ΄, τῆς δ΄. ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίῳ, ιη΄. χριστιανῶν πάσχα, ἀπριλλίῳ, ιθ΄. τοῦ μεγάλου γεωργίου τῇ νέᾳ ε΄. κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίῳ ιδ΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, ιδ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα β΄.

αφπε΄. ζϟγ΄. ἰνδικτιῶνος, ιγ΄. ἡλίου κύκλοι, θ΄. σελήνης κύκλοι, ϛ΄. θεμέλιον σελήνης, θ΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα, ε΄. κρεοφαγία ἡμέραι, νβ΄. τὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ, λα΄. ἦχος α΄. ἑωθινὸν α΄. ἡ ἀποκρέα φευρουαρίῳ, ιδ΄. τοῦ εὐαγγελισμοῦ τῇ ε΄, τῆς ε΄, ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίῳ, ζ΄. χριστιανῶν πάσχα, ἀπριλλίῳ ια΄. τοῦ μεγάλου γεωργίου τῇ ϛ΄. τοῦ θωμᾶ. κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίῳ ϛ΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι κβ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα γ΄.

Digitized by Google

αφπέ, ζ, θ. ἰνδικτιῶνος, ιδ΄. ἡλίου κύκλοι, ι΄. σελή-
νης κύκλοι, ζ΄. θεμέλιον σελήνης, κ΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα, ς΄. κρεοφαγία
ἡμέραι μδ΄. τὸ τελώδιον ἄρχεται ἰαννουαρίω, κγ΄. ἦχος ά,
ἑωθινὸν, ά. ἡ ἀποκρέα φευρουαρίω, ς΄. τοῦ εὐαγγελι-
σμοῦ τῇ ς΄, τῆς ς΄, ἑβδομάδος. νομικὸν φάσκα μαρτίω κζ΄.
χριστιανῶν πάσχα, ἀπριλλίω, γ΄. τοῦ μεγάλου γεωργίου
τῷ σαββάτῳ τῶν μυροφόρων. κυριακὴ τῶν ἁγίων
πάντων, μαΐω κθ΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων
ἡμέραι λ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, δ΄.

α φ π ... ἰνδικτιῶνος, ιε΄. ἡλίου κύκλοι, ιά. σε-
λήνης κύκλοι ... θεμέλιον σελήνης, α΄.

παραμονὴ τῶν χριστουγέννων ἡμέρα σαββάτῳ. κρεοφα-
γία ἡμέραι, νζ΄. τὸ τελώδιον ἄρχεται ἰαννουαρίω, ε΄.
ἦχος, δ΄. ἑωθινὸν, δ΄. ἡ ἀποκρέα φευρουαρίω, ιθ΄.
τοῦ εὐαγγελισμοῦ τῷ δ΄, σαββάτῳ τῆς νηστειῶν.
νομικὸν φάσκα ἀπριλλίω, ιε΄. χριστιανῶν πάσχα
ἀπριλλίω ... τοῦ μεγάλου γεωργίου τῇ κυριακῇ
τοῦ θωμᾶ. κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίω ια΄. ἡ
νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, ιζ΄. καὶ ἡ μνήμη
αὐτῶν ἡμέρα ε΄.

β. ... ἰνδικτιῶνος, ά. ἡλίου κύκλοι, ιβ΄.
σελήνης κύκλοι, ... θεμέλιον σελήνης, ιβ΄.

παραμονὴ τῶν χριστουγέννων ἡμέρα κυριακῇ. κρεο-
φαγία ἡμέραι μθ΄. τὸ τελώδιον ἄρχεται ἰαννουα-
ρίω, κη΄. ἦχος, ά. ἑωθινὸν, ά. ἡ ἀποκρέα
φευρουαρίω, ιά. τοῦ εὐαγγελισμοῦ τῇ β΄, τῆς ς΄,
ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίω, δ΄. χρι-
στιανῶν πάσχα, ἀπριλλίω, ζ΄. τοῦ μεγάλου γεωργίου
τῇ γ΄, τῶν μυροφόρων. κυριακὴ τῶν ἁγίων πάντων,
ἰουνίω β΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι,
κς΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα σαββάτῳ.

αφπθ'. ζηζ'. ἰνδικτιῶνος β'. ἡλίου κύκλοι, γ'. σελήνης κύκλοι, ι. θεμέλιον σελήνης, κγ'.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα γ'. κρεοφαγία ἡμέραι, μ'. τὸ τελώδιον ἄρχεται ἰαννουαρίῳ, ιθ'. ἦχος α'. ἑωθινὸν α'. ἡ ἀποκρέα φευρουαρίῳ, β'. τοῦ εὐαγγελισμοῦ τῇ ἁγία καὶ μεγάλῃ γ'. νομικὸν φάσκα μαρτίῳ, κδ'. χριστιανῶν πάσχα, μαρτίῳ, λ'. τοῦ μεγάλου γεωργίου, τῇ δ'. τοῦ παραλύτου. κυριακὴ τῶν ἁγίων πάντων, μαΐῳ κέ. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι λδ'. καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα κυριακῇ.

αφϟ. ζηή. ἰνδικτιῶνος, γ'. ἡλίου κύκλοι, ιδ'. σελήνης κύκλοι, ια. θεμέλιον σελήνης, δ'.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα, δ'. κρεοφαγία ἡμέραι, ξ'. τὸ τελώδιον ἄρχεται φευρουαρίῳ, ή. ἦχος πλαγίου α. ἑωθινὸν ε. ἡ ἀποκρέα φευρουαρίῳ, κϐ'. τοῦ εὐαγγελισμοῦ τῇ δ', τῆς δ' ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίῳ, ιβ'. χριστιανῶν πάσχα, ἀπριλλίῳ ιθ'. τοῦ μεγάλου γεωργίου τῇ νέα ε. κυριακὴ τῶν ἁγίων πάντων ἰουνίῳ, ιδ'. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, ιδ'. καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα β'.

αφϟα. ζηθ'. ἰνδικτιῶνος, δ'. ἡλίου κύκλοι, ιε. σελήνης κύκλοι, ιβ'. θεμέλιον σελήνης, ιε.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα ε. κρεοφαγία ἡμέραι, με. τὸ τελώδιον ἄρχεται ἰαννουαρίῳ, κδ'. ἦχος πλαγίου δ'. ἑωθινὸν ιά. ἡ ἀποκρέα φευρουαρίῳ, ζ'. τοῦ εὐαγγελισμοῦ τῇ ε. τῆς ϛ' ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίῳ, α. χριστιανῶν πάσχα, ἀπριλλίῳ δ'. τοῦ μεγάλου γεωργίου τῇ ϛ', τῶν μυροφόρων. κυριακὴ τῶν ἁγίων πάντων, μαΐῳ λ'. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι κθ'. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα γ'.

Digitized by Google

ϐ. αφϟβ΄. ζρ΄. ἰνδικτιῶνος, ε΄. ἡλίου κύκλοι ιϛ΄. σε-
λήνης κύκλοι, ιγ΄. θεμέλιον σελήνης, κϛ΄.

Η παραμονὴ τῶν χριστουγέννων, ἡμέρα, ϛ΄. κρεοφαγία ἡμέ-
ραι, λη΄. τὸ τελώδιον ἄρχεται ἰαννουαρίω, ιϛ΄. ἦχος α΄.
ἑωθινὸν α΄. ἡ ἀποκρέα ἰαννουαρίω, λ΄. ὁ εὐαγγε-
λισμὸς τῷ ἁγίω καὶ μεγάλω σαββάτω. νομικὸν φά-
σκα μαρτίω, κα΄. χριστιανῶν πάσχα, μαρτίω, κϛ΄.
τοῦ μεγάλου γεωργίου τῇ κυριακῇ τῆς σαμαρείτιδος. κυ-
ριακὴ τῶν ἁγίων πάντων μαΐω, κα΄. ἡ νηστεία τῶν ἁ-
γίων ἀποστόλων ἡμέραι, λη΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα ε΄.
α,φϟγ΄. ζρα΄. ἰνδικτιῶνος, ϛ΄. ἡλίου κύκλοι, ιζ΄.
σελήνης κύκλοι, ιδ΄. θεμέλιον σελήνης, ζ΄.

Η παραμονὴ τῶν χριστουγέννων, ἡμέρα κυριακῇ, κρεο-
φαγία ἡμέραι, νϛ΄. τὸ τελώδιον ἄρχεται φεβρουαρίω
δ΄. ἦχος πλαγίου α΄. ἑωθινὸν ε΄. ἡ ἀποκρέα φεβρουα-
ρίω, ιη΄. ὁ εὐαγγελισμοῦ τῇ δ΄ κυριακῇ τῶν νηστειῶν.
νομικὸν φάσκα, ἀπριλλίω, θ΄. χριστιανῶν πάσχα,
ἀπριλλίω, ε΄. τοῦ μεγάλου γεωργίου, τῇ ϐ΄, τοῦ θωμᾶ.
κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίω, ι΄. ἡ νηστεία τῶν ἁγίων
ἀποστόλων ἡμέραι, ιη΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, ϛ΄.
α,φϟδ΄. ζρβ΄. ἰνδικτιῶνος, ζ΄. ἡλίου κύκλοι, ιη΄.
σελήνης κύκλοι, ιε΄. θεμέλιον σελήνης, ιη΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα ϐ΄. κρεοφαγία
ἡμέραι, μα΄. τὸ τελώδιον ἄρχεται ἰαννουαρίω, κ΄. ἦχος
πλαγίου δ΄. ἑωθινὸν ια΄. ἡ ἀποκρέα φεβρουαρίω, γ΄. ὁ
εὐαγγελισμοῦ τῇ ἁγία καὶ μεγάλη β΄. νομικὸν φάσκα
μαρτίω, κθ΄. χριστιανῶν πάσχα, μαρτίω λα΄. τοῦ μεγά-
λου γεωργίου τῇ γ΄, τοῦ παραλύτου. κυριακὴ τῶν ἁγίων
πάντων μαΐω, κϛ΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων
ἡμέραι, λγ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα σαββάτω.


Digitized by Google

α φ ξ ε΄. ζ ο γ΄. ἰνδικτιῶνος, η΄. ἡλίου κύκλοι, ιθ΄.
σελήνης κύκλοι, ζ΄. θεμέλιον σελήνης, κθ΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρᾳ, γ΄. κρεοφαγία ἡμέραι, ξα΄. τὸ τελώνιον ἄρχεται φεβρουαρίῳ, θ΄. ἦχος πλαγίου, α΄. ἑωθινόν, ε΄. ἡ ἀπόκρεα φεβρουαρίῳ, κγ΄. τοῦ εὐαγγελισμοῦ τῇ γ΄, τῆς δ΄, ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίῳ, ιζ΄. χριστιανῶν πάσχα, ἀπριλλίῳ, κ΄. τοῦ μεγάλου γεωργίου τῇ νέᾳ δ΄. κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίῳ ιε΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, ιγ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρᾳ κυριακῇ.

ϛ. α φ ξ ϛ΄. ζ ο δ΄. ἰνδικτιῶνος, θ΄. ἡλίου κύκλοι, κ΄.
σελήνης κύκλοι, ιζ΄. θεμέλιον σελήνης, ι΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρᾳ, δ΄. κρεοφαγία ἡμέραι, μγ΄. τὸ τελώνιον ἄρχεται φεβρουαρίῳ, α΄. ἦχος, α΄. ἑωθινόν, α΄. ἡ ἀπόκρεα φεβρουαρίῳ, ιε΄. τοῦ εὐαγγελισμοῦ τῇ ε΄, τῆς ε΄, ἑβδομάδος. νομικὸν φάσκα, ἀπριλλίῳ, ε΄. χριστιανῶν πάσχα, [illegible] ια΄. τοῦ μεγάλου γεωργίου τῇ, ϛ΄. τοῦ θωμᾶ. κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίῳ ϛ΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, κβ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρᾳ, γ΄.

α φ ξ ζ΄. ζ ο ε΄. ἰνδικτιῶνος, ι΄. ἡλίου κύκλοι, κα΄.
σελήνης κύκλοι, ιη΄. θεμέλιον σελήνης, κα΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρᾳ, ϛ΄. κρεοφαγία ἡμέραι, λζ΄. τὸ τελώνιον ἄρχεται ἰαννουαρίῳ, ιϛ΄. ἦχος πλαγίου δ΄. ἑωθινόν, ια΄. ἡ ἀπόκρεα, ἰαννουαρίῳ λ΄. τοῦ εὐαγγελισμοῦ τῇ ἁγίᾳ καὶ μεγάλῃ ϛ΄. νομικὸν φάσκα μαρτίῳ, κε΄. [illegible] τοῦ μεγάλου γεωργίου τῷ σαββάτῳ τοῦ παραλύτου. κυριακὴ τῶν ἁγίων πάντων, μαΐῳ κβ΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, λζ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρᾳ, δ΄.

α φ ξ η΄.

Digitized by Google

αφϟη'. ζρϛ'. ἰνδικτιῶνος, ια'. ἡλίου κύκλοι, κβ'.
σελήνης κύκλοι, θ'. θεμέλιον σελήνης, ε'.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα σαββάτῳ. κρεοφαγία ἡμέραι, μζ'. τὸ τριώδιον ἄρχεται φεβρουαρίῳ, ε'. ἦχος πλαγίου α', ἑωθινὸν ε'. ἡ ἀποκρέα φεβρουαρίῳ, ιθ'. τοῦ εὐαγγελισμοῦ τῷ δ', σαββάτῳ τῆς νηστειῶν. νομικὸν φάσκα ἀπριλλίῳ, ιγ'. χριστιανῶν πάσχα, ἀπριλλίῳ, ιϛ'. τοῦ μεγάλου γεωργίου τῇ κυριακῇ τοῦ θωμᾶ. κυριακὴ τῶν ἁγίων πάντων ἰουνίῳ, ια'. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, ιζ'. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, ε.

αφϟθ'. ζρζ'. ἰνδικτιῶνος, ιβ'. ἡλίου κύκλοι, κγ'.
σελήνης κύκλος, ι'. θεμέλιον σελήνης, ιδ'.
καὶ μὴ ἀμφίβαλε.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα κυριακῇ. κρεοφαγία ἡμέραι, μθ'. τὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ, κη'. ἦχος α', ἑωθινὸν α'. ἡ ἀποκρέα φεβρουαρίῳ, ια'. τοῦ εὐαγγελισμοῦ τῇ ε, κυριακῇ τῶν νηστειῶν. νομικὸν φάσκα ἀπριλλίῳ, β'. χριστιανῶν πάσχα, ἀπριλλίῳ, η'. τοῦ μεγάλου γεωργίου τῇ β', τῶν μυροφόρων. κυριακὴ τῶν ἁγίων πάντων ἰουνίῳ, γ'. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, κβ'. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, ϛ'.

ϛ. αχ'. ζρη'. ἰνδικτιῶνος, ιγ'. ἡλίου κύκλοι, κδ'.
σελήνης κύκλοι, β'. θεμέλιον σελήνης, κε.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα, β'. κρεοφαγία ἡμέραι, λδ'. τὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ, ιγ'. ἦχος πλαγίου δ', ἑωθινὸν ια'. ἡ ἀποκρέα ἰαννουαρίῳ, κζ'. τοῦ εὐαγγελισμοῦ τῇ νέα, γ'. νομικὸν φάσκα μαρτίῳ, κβ'. χριστιανῶν πάσχα, μαρτίῳ, κγ'. τοῦ μεγάλου γεωργίου τῇ δ', τῆς σαμαρείτιδος. κυριακὴ τῶν ἁγίων πάντων, μαΐῳ ιη'. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, μα'. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα κυριακῇ.



Digitized by Google

α χα΄. ζ ρ θ΄. ἰνδικτιῶνος, ιδ΄. ἡλίου κύκλοι, κέ. σε-
λήνης κύκλοι, γ΄. θεμέλιον σελήνης, ς΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα, δ΄. κρεο-
φαγία ἡμέραι, ν γ΄. τὸ τελώδιον ἄρχεται φευρουα-
ρίω, α΄. ἦχος πλαγίου α΄, ἑωθινὸν, ε΄. ἡ ἀπο-
κρέα φευρουαρίω, ιε΄. τοῦ εὐαγγελισμοῦ τῇ
δ΄, τῆς ε΄, ἑβδομάδος. νομικὸν φάσκα ἀπριλ-
λίω, ι΄. χριστιανῶν πάσχα, ἀπριλλίω, ιβ΄. τοῦ
μεγάλου γεωργίου τῇ ε΄, τοῦ θωμᾶ. κυριακὴ τῶν ἁγίων
πάντων, ἰουνίω ζ΄. ἡ νηστεία τῶν ἁγίων ἀποστό-
λων ἡμέραι, κα΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, β΄.

α χβ΄. ζ ρ ι΄. ἰνδικτιῶνος, ιε΄. ἡλίου κύκλοι, κ ς΄.
σελήνης κύκλοι, δ΄. θεμέλιον σελήνης, ι ζ΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα, ε΄. κρεοφα-
γία ἡμέραι, με΄. τὸ τελώδιον ἄρχεται ἰαννουαρίω, κδ΄.
ἦχος α΄, ἑωθινὸν, α΄. ἡ ἀποκρέα φευρουαρίω, ζ΄.
τοῦ εὐαγγελισμοῦ τῇ ε, τῆς ς΄, ἑβδομάδος. νομικὸν φά-
σκα, μαρτίω λ΄. χριστιανῶν πάσχα, ἀπριλλίω, δ΄.
τοῦ μεγάλου γεωργίου τῇ ς, τῶν μυροφόρων. κυρια-
κὴ τῶν ἁγίων πάντων, μαΐω λ΄. ἡ νηστεία τῶν ἁγίων
ἀποστόλων ἡμέραι, κθ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, γ΄.

α χγ΄. ζ ρ ια΄. ἰνδικτιῶνος, α΄. ἡλίου κύκλοι, κζ΄. σελή-
νης κύκλοι, ε΄. θεμέλιον σελήνης, κη΄.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα, ς΄. κρεοφα-
γία ἡμέραι, ξέ. τὸ τελώδιον ἄρχεται φευρουαρίω, ιγ΄.
ἦχος πλαγίου α΄, ἑωθινὸν, ε΄. ἡ ἀποκρέα, φευρουαρίω
κζ΄. τοῦ εὐαγγελισμοῦ τῇ ς, τῆς γ΄, ἑβδομάδος.
νομικὸν φάσκα ἀπριλλίω, ιη΄. χριστιανῶν πάσχα,
ἀπριλλίω, κδ΄. τοῦ μεγάλου γεωργίου τῷ ἁγίω καὶ
μεγάλω σαββάτω. κυριακὴ τῶν ἁγίων πάντων ἰου-
νίω ιθ΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, θ΄. καὶ
ἡ μνήμη αὐτῶν ἡμέρα, δ΄.

Digitized by Google

ϐ' αχδ'. ζϛιϐ'. ἰνδικτιῶνος, β'. ἡλίου κύκλοι, κη'. σελήνης κύκλοι, ϛ'. θεμέλιον σελήνης, θ'.

Η παράμονὴ τῶν χριστουγέννων ἡμέρα σαββάτῳ. κρεοφαγία ἡμέραι, ν'. τὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ, κθ'. ἦχος α', ἑωθινὸν α'. ἡ ἀποκρέα φεβρουαρίῳ, ιβ'. τοῦ εὐαγγελισμοῦ τῇ ε', κυριακῇ τῆς νηστειῶν. νομικὸν φάσκα ἀπριλλίῳ, ζ'. χριστιανῶν πάσχα, ἀπριλλίῳ, η'. τοῦ μεγάλου γεωργίου τῇ β', τῶν μυροφόρων. κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίῳ γ'. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, κε'. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, ϛ'.

αχε'. ζϛιγ'. ἰνδικτιῶνος, γ'. ἡλίου κύκλος, α'. σελήνης κύκλοι, ζ'. θεμέλιον σελήνης, κ'.

Η παράμονὴ τῶν χριστουγέννων ἡμέρα, β'. κρεοφαγία ἡμέραι, μα'. τὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ, κ'. ἦχος α', ἑωθινὸν, α'. ἡ ἀποκρέα φεβρουαρίῳ, γ'. τοῦ εὐαγγελισμοῦ τῇ ἁγίᾳ καὶ μεγάλῃ, β'. νομικὸν φάσκα μαρτίῳ κζ'. χριστιανῶν πάσχα, μαρτίῳ λα'. τοῦ μεγάλου γεωργίου τῇ γ', τοῦ παραλύτου. κυριακὴ τῶν ἁγίων πάντων, μαΐῳ κϛ'. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, λγ'. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα σαββάτῳ.

αχϛ'. ζϛιδ'. ἰνδικτιῶνος, δ'. ἡλίου κύκλοι, β'. σελήνης κύκλοι, η'. θεμέλιον σελήνης, α'.

Η παράμονὴ τῶν χριστουγέννων ἡμέρα, γ'. κρεοφαγία ἡμέραι, ξα'. τὸ τριώδιον ἄρχεται φεβρουαρίῳ, θ'. ἦχος πλαγίου α', ἑωθινὸν, ε'. ἡ ἀποκρέα φεβρουαρίῳ, κγ'. τοῦ εὐαγγελισμοῦ τῇ γ', τῆς δ', ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίῳ, ιε'. χριστιανῶν πάσχα, ἀπριλλίῳ κ'. τοῦ μεγάλου γεωργίου τῇ νέα, δ'. κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίῳ ιε'. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, ιγ'. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα κυριακῇ.

Digitized by Google

α, χι΄, ζριε΄. ἰνδικτιῶνος ε΄. ἡλίου κύκλοι, γ΄. σελήνης κύκλοι, θ΄. θεμέλιον σελήνης, ιβ΄.

Η προσμονὴ τῆς χριστουγέννων ἡμέραι, δ΄. κρεοφαγία ἡμέραι, μς΄. τὸ τελώνιον ἄρχεται ἰαννουαρίῳ, κε΄. ἦχος πλαγίου δ΄, ἑωθινὸν ια΄. ἡ ἀποκρέα φεβρουαρίῳ, η΄. ὁ εὐαγγελισμοῦ τῇ δ΄, τῆς ς΄, ἑβδομάδος. νομικὸν φάσκα ἀπριλλίῳ, δ΄. χριστιανῶν πάσχα, ἀπριλλίῳ ε΄. τοῦ μεγάλου γεωργίου τῇ ε΄, τῶν μυροφόρων. κυριακὴ τῶν ἁγίων πάντων μαΐῳ λα΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, κη΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, ϛ΄.

ϛ. α, χι΄. ζριϛ΄. ἰνδικτιῶνος ϛ΄. ἡλίου κύκλοι, δ΄. σελήνης κύκλοι, ι΄. θεμέλιον σελήνης, κγ΄.

Η προσμονὴ τῶν χριστουγέννων ἡμέραι, ε΄. κρεοφαγία ἡμέραι, λθ΄. τὸ τελώνιον ἄρχεται ἰαννουαρίῳ, ιζ΄. ἦχος α΄, ἑωθινὸν α΄. ἡ ἀποκρέα ἰαννουαρίῳ, λα΄. τοῦ εὐαγγελισμοῦ τῇ ἁγίᾳ καὶ μεγάλῃ, ϛ΄. νομικὸν φάσκα, μαρτίῳ κθ΄. χριστιανῶν πάσχα, μαρτίῳ κζ΄. ὁ μεγάλου γεωργίου τῷ σαββάτῳ τοῦ παραλύτου. κυριακὴ τῶν ἁγίων πάντων, μαΐῳ κϛ΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, λζ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, δ΄.

α, χι΄. ζριζ΄. ἰνδικτιῶνος ζ΄. ἡλίου κύκλοι, ε΄. σελήνης κύκλοι, ια΄. θεμέλιον σελήνης, δ΄.

Η προσμονὴ τῶν χριστουγέννων ἡμέρα σαββάτῳ. κρεοφαγία ἡμέραι, νζ΄. τὸ τελώνιον ἄρχεται φεβρουαρίῳ, ε΄. ἦχος πλαγίου α΄, ἑωθινὸν ε΄. ἡ ἀποκρέα φεβρουαρίῳ, ιθ΄. τοῦ εὐαγγελισμοῦ τῷ δ΄, σαββάτῳ τῶν νηστειῶν. νομικὸν φάσκα ἀπριλλίῳ, ιβ΄. χριστιανῶν πάσχα, ἀπριλλίῳ ιϛ΄. τοῦ μεγάλου γεωργίου τῇ κυριακῇ τοῦ θωμᾶ. κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίῳ ια΄. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, ιζ΄. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, ε΄.

α, χι΄.

Digitized by Google

αχι. ζριη. ἰνδικτιῶνος, η. ἡλίου κύκλοι, ς. σελήνης κύκλοι, β. θεμέλιον σελήνης, ιε.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα κυριακή. κρεοφαγία ἡμέραι, μθ. τὸ τελώδιον ἄρχεται ἰαννουαρίῳ, κη. ἦχος α. ἑωθινὸν α. ἡ ἀποκρέα φευρουαρίῳ ια. τοῦ εὐαγγελισμοῦ τῇ ε, κυριακῇ τῶν νηστειῶν. νομικὸν φάσκα ἀπριλλίῳ, α. χριστιανῶν πάσχα, ἀπριλλίῳ, η. τοῦ μεγάλου γεωργίου τῇ β, τῶν μυροφόρων. κυριακὴ τῶν ἁγίων πάντων, ἰουνίῳ γ. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι κε. καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, ς.

αχια. ζριθ. ἰνδικτιῶνος, θ. ἡλίου κύκλοι, ζ. σελήνης κύκλοι, ιγ. θεμέλιον σελήνης, κς.

Η παραμονὴ τῶν χριστουγέννων ἡμέρα β. κρεοφαγία ἡμέραι, λδ. τὸ τελώδιον ἄρχεται ἰαννουαρίῳ, ιγ. ἦχος πλαγίου δ, ἑωθινὸν ια. ἡ ἀποκρέα ἰαννουαρίῳ, κζ. τοῦ εὐαγγελισμοῦ τῇ νέα β. νομικὸν φάσκα, μαρτίῳ κα. χριστιανῶν πάσχα, μαρτίῳ, κδ. τοῦ μεγάλου γεωργίου τῇ γ, τῆς διακαινησίμου. κυριακὴ τῶν ἁγίων πάντων, μαΐῳ, ιγ. ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, μ. καὶ ἡ μνήμη αὐτῶν ἱερὰ σαββάτῳ.

Τέλος, καὶ τῷ θεῷ χάρις.

Σύνταγμα ἐκ τῶν θείων καὶ ἱερῶν κανόνων καὶ τῶν ἐκκλησιαστικῶν παραδόσεων τῶν ἁγίων πατέρων, περὶ τῶν τεσσαρακοστῶν καὶ νηστειῶν τοῦ ἐνιαυτοῦ, καὶ τίνα ἔννοιαν ἑκάστη ἔχει. πονηθέντε ἅμα καὶ συντεθὲν παρὰ τοῦ αὐτοῦ ζαχαρίου ἱερέως σκορδυλίου κρητὸς τοῦ ἐπο-

νομαζομένου μαρκφαρᾶ, καὶ ἐπιτρόπου τοῦ τῆς κωνσταντινουπόλεως οἰκουμενικοῦ πατριάρχου κυρίου ἰωάσαφ. εἰς βεβαίωσιν καὶ τήρησιν παντὸς τοῦ χριστωνύμου λαοῦ.

Περὶ τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς.

Ὁ ἑξηκοστὸς ἔνατος κανὼν τῶν πανευφήμων καὶ ἱερῶν ἀποστόλων φησίν. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὑποδιάκονος, ἢ ἀναγνώστης ἢ ψάλτης, τὴν ἁγίαν τεσσαρακοστὴν οὐ νηστεύει, ἢ τετράδα ἢ παρασκευήν, καθαιρείσθω. ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο. ἐὰν δὲ λαϊκὸς ᾖ, ἀφοριζέσθω. καὶ ὁ πεντηκοστὸς ἔτι τῆς ἐν λαοδικείᾳ ἁγίας συνόδου κανών, συνᾴδει τῷ ἀποστολικῷ κανόνι φάσκων οὕτω πως.

Ὅτι οὐ δεῖ ἐν τῇ τεσσαρακοστῇ τῇ ὑστέρᾳ ἑβδομάδι τὴν πέμπτην καταλύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν, ἀλλὰ δεῖ πᾶσαν τὴν τεσσαρακοστὴν νηστεύειν ξηροφαγοῦντας. ἔτι δὲ εἰς τύπον τῆς νηστείας, ἣν ὁ θεάνθρωπος ἰησοῦς ἐνήστευσεν.

Περὶ τῆς νηστείας τῶν [illegible]
τοῦ ἁγιωτάτου [illegible]
κυρίου μα[illegible]

Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων [illegible] ἄχρι τὸν [illegible]τόπον τελεῖται. ἐπειδὴ γὰρ αὐτοὶ μετ[illegible] ἁγίου πνεύματος κάθοδον ἡμέρας ἐνήστευσαν ἐ[illegible] τύπον δὲ τῇ ἐκκλησίᾳ τῆς τοιαύτης δοθε[illegible] νηστείας, ὕστερον δὲ καὶ αὐτῷ τῷ μαρτυρίῳ τελειωθέ[illegible] τὴν εἰκάδα καὶ ἐννάτην τοῦ ἰουνίου μηνὸς μετ[illegible] τῆς νηστείας, ὡρίσθη κρατεῖσθαι ταύτην ἄχρι τῆς μνήμης αὐτῶν. διὸ οὐδὲ ὁ ἀριθμὸς τῶν ἡμερῶν ὡρίσθη ὡς ἐπὶ τὰς ἄλλας, ἀλλ' ὡς ἂν φέρῃ ἡ τοῦ κύκλου φορά, ἤτοι τοῦ πάσχα. πολλάκις γὰρ εἰς ὀκτὼ ἡμέρας καὶ μόνον ὥσπερ δὴ καὶ οἱ ἅγιοι ἀπόστολοι ἐνήστευσαν παρὰ μικρὸν ἔτυχεν.

Τοῦ αὐτοῦ περὶ τῶν τριῶν νηστειῶν, τῆς θεοτόκου, τῶν ἀποστόλων, καὶ τῶν χριστουγέννων.

Η τῶν ἁγίων χριστουγέννων νηστεία, κατὰ τοῦτον ὡρίσθη τὸν τρόπον. μετὰ τὴν κοίμησιν τῆς ἁγίας δεσποίνης ἡμῶν θεοτόκου ἐτυπώθη παρὰ τῶν ἁγίων ἀποστόλων εἰς τιμὴν αὐτῆς νηστεύειν ἡμέρας τεσσαράκοντα, ἀπὸ τῆς ἕκτης καὶ αὐτῆς τοῦ ἰουλλίου μηνὸς ἀρχομένης, ἄχρι τῆς ιε, τοῦ αὐγούστου. διὸ καὶ κατὰ τὸ παλαιὸν ἔθος, ἔτι ἐν τῇ τῶν χριστουγέννων ἑορτῇ, οὔπω γὰρ ἦν φανερὰ ἡ παραδοθεῖσα ἑορτάζεσθαι, ἀλλ' ἐν τῇ κοιμήσει ὥρισθαι τοὺς ἐπιτιμίοις ὑποπίπτοντας, καὶ ὀφείλοντας ἐν διαστήξεσι ῥηταῖς μεταλαμβάνειν. ἐπεὶ δὲ ἦν προτυπωθεῖσα ἡ τῶν ἁγίων ἀποστόλων νηστεία, κατὰ ταυτὸν δὴ ἐτυπώθη καὶ ἡ τῆς ἁγίας κοιμήσεως. λοιπὸν δὲ καὶ τῆς τῶν χριστουγέννων ἑορτῆς ἀναδειχθείσης καὶ ὡς σεβασμιωτέρας κριθείσης παρὰ τῶν πατέρων, μετετέθη ἡ τεσσαρακοστὴ ἐν αὐτῇ, ἀρ[illegible] ὑη ἀπὸ τ[illegible] ιε, τοῦ νοεμβρίου, καὶ πληρουμένη [illegible] δεκεμβρίου κδ,

[illegible] τῶν [illegible] νηστειῶν, τῶν χριστουγέννων, τῶν ἁγίων ἀποστόλων, καὶ τῆς θεοτόκου.

Ερώτησις [illegible], τοῦ ἱερωτάτου μητροπολίτου πενταπόλεως κυρίου γαβριήλ. Ἡ τοῦ τεσσαρακονθημέρου,
„ καὶ τῶν ἁγίων ἀποστόλων, καὶ τῆς θεοτόκου νηστεία,
„ πόθεν καὶ τίς ὁ ἀπ' ἀρχῆς παραδούς. τινὲς γὰρ λέ-
„ γουσι νέας εἶναι.

Ἀπόκρισις εἰς τὴν αὐτὴν ἐρώτησιν, τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου θεσσαλονίκης κυρίου συμεών.

Αἱ λοιπαὶ δὲ νηστεῖαι, καὶ ἅπασαι μὲν κατὰ παράδοσιν ἀρχαίαν ὡς ἡ συνήθεια μαρτυρεῖ, καὶ αἱ ἀπ' ἀρχῆς διατάξεις, καὶ ὁ τῆς ἑνώσεως τόμος αὐτῶν

Digitized by Google

μεμνημένος, καὶ τὸ ἱεροσολυμιτικὸν τυπικὸν ὡς προέφημεν, ὅ τε θεόδοτον σάββαν, καὶ μετ' αὐτὸν τὸν δαμασκηνὸν ἰωάννην συγγραφεῖς ἔχει καὶ νομοθέτας. καὶ ὁ μὲν κατὰ τὴν τετάρτην οἰκουμενικὴν σύνοδον, ὁ δὲ μέσον τῆς ἕκτης καὶ τῆς ἑβδόμης, καὶ ἄμφω τῆς ἐκκλησίας πατέρες τε καὶ διδάσκαλοι. οἱ δύο δὲ τὸ τυπικὸν συντεθήκασιν. ὅτι [illegible] πρὰ τοῦ θείου σάββα τῇ ἐπιδρομῇ τῶν ἐθνῶν ἀπολεσθὲν, ὁ μέγας ἰωάννης ἐξ ἀρχῆς πάλιν κατὰ τὴν ἄνωθεν τάξιν συνέθηκε καὶ διετυπώσατο. ἰδίαν δὲ ἑκάστη τῶν νηστειῶν καὶ τὴν ἔννοιαν ἔχει. Καὶ ἡ μὲν τῆς τεσσαρακονθημέρου, τυποῖ τὴν τοῦ μωσέως νηστείαν, ὃς τεσσαράκοντα ἡμέρας καὶ νύκτας νηστεύσας ἐν πλαξὶ λιθίναις διὰ γραμμάτων λόγους τοῦ θεοῦ ἐδέξατο. ἡμεῖς δὲ νηστεύοντες τεσσαράκοντα, τὸν ζῶντα λόγον ἐκ τῆς παρθένου, οὐ γεγραμμένον ἐν λίθοις, ἀλλὰ σεσαρκωμένον τεχθέντα, καὶ βλέπομεν καὶ λαμβάνομεν καὶ κοινωνοῦμεν αὐτοῦ τῆς θεοφόρου σαρκός. ὁμοῦ τι ἴσον μὲν τῆς νηστείας μωσέως τε καὶ ἡμῶν, μᾶλλον δέ τι τῆς ἐγκρατείας ἡμῶν; οὐ γὰρ νηστεύομεν [illegible] καθ' [illegible] ἐσθίοντες, κατὰ πολὺ δὲ τὸ τῆς [illegible] δι[illegible] ἡμῶν καὶ τοῦ μωϋσέως. δωρεὰ [illegible] χάρις [illegible] μωϋσέως παρὰ πάντα νοοῦμεν ἡμ[illegible] [illegible]ε.

Η νηστεία δὲ τῶν ἁγίων ἀποστόλων, [illegible] τιμῶν, καὶ δικαίως, ὅτι πλείστων ἀγαθῶν [illegible]ώμεθα, καὶ ὅτι νηστείας οὗτοι καὶ [illegible] κανόνες καὶ ἐγκρατείας εἰργάσαντο [illegible] καὶ διδάσκαλοι, καὶ τινὲς πάλιν καὶ ἄλλοι τοῦτο μὲν [illegible] τῆς νηστείας ἐν ταῖς μνήμαις αὐτῶν τιμῶντες αὐτούς. ἀλλ' ἡμεῖς μὲν κατὰ τὰς διατάξεις τῶν ἀποστόλων διὰ τοῦ κλήμεντος, μετὰ τὴν ἐπιδημίαν τοῦ παναγίου πνεύματος εὐφραινόμεθα ἑβδομάδα μίαν. αὖθις δὲ νηστεύομεν ἑβδομάδα, ἵνα μὴ τῇ τρυφῇ ἐκλυθῶμεν ὡς διδασκόμεθα, καὶ σῶμα πάλιν

Digitized by Google

τῇ νηστείᾳ ἐκείνῃ καὶ τοὺς παραδεδωκότας νηστεύειν ἀπο-
στόλ[illegible] ῦ τοὺς νηστεύομεν.

Η δὲ [illegible] γούστου νηστεία, εἰς τιμὴν ὑπάρχει τῆς τοῦ θεοῦ
λόγου μητρός. ἥτις προεγνωκυῖα τὴν μετάστασιν αὐτῆς,
πάντοτε μὲν ἦν ἀγωνιζομένη ὑπὲρ ἡμῶν καὶ νηστεύου-
σα μὴ χρείαν ἔχουσα νηστείας ἡ καθαρὰ καὶ παναμώ-
μος. ὅμως δὲ ἀγγελικῶς διαπρεπομένη ὑπὲρ τοὺς ἀγγέ-
λους ζῶσά τε καὶ βιοῦσα, καὶ προσευχομένη συνεχῶς, οὖ-
σα μὲν μὲν θείῳ πνεύματι τῇ μακαρίᾳ ψυχῇ τῷ υἱῷ αὐ-
τῆς, καὶ ὑπὲρ ἡμῶν ἱκετεύουσα. τότε δὲ μᾶλλον ἐν τῷ
μέλλειν τῶν ὧδε μεταβαίνειν λιπαρουμένη πλέον ἁ-
γίῳ ὄντως [illegible] υἱοῦ. διὸ καὶ ἡμᾶς τότε νηστεύειν καὶ ἐνυμνεῖν
αὐτὴν ὀφ[illegible]ομεν, τόν τε βίον αὐτῆς ἐκμιμούμενοι, καὶ εἰς
τὰς ὑπὲρ ἡμῶν διεγείροντες ἱκεσίας. τινὲς μὲν οὖν φα-
σὶ καὶ διὰ [illegible] εἶναι ἑορτὰς τὴν τοιαύτην νηστείαν, τῆς
τε μεταμ[illegible]ώσεως, καὶ κοιμήσεως. ἐγὼ δὲ ἀναγκαῖον
νομίζω κ[illegible]ιο μεμνῆσθαι ἑορτῶν. τῆς μὲν, ὡς φω-
τισμοῦ [illegible]. τῆς δὲ, ὡς ἱλασμοῦ καὶ μεσιτείας
ὑπὲρ ἡ[illegible]μῶς χρεὼν τὴν παναγίαν ἐν πάσαις
ἐπικ[illegible] θ[illegible] τὴν θεόν, ἵνα δι' αὐτῆς ἵλεως ἡ-
μῖν [illegible] τῆς [illegible] τῆς θείας αὐγοῦ δι' αὐτῆς λαμ-
π[illegible]. τούτου οὖν χάριν αἱ νηστεῖαι, καὶ
[illegible] πάντοτε [illegible], καὶ οὐ μόνον ἐν τούτῳ τῷ και-
[illegible] καὶ διηνεκῶς, ὅτι νηστεία ἔργον
θε[illegible] χρεία. καὶ ζωὴ ἀγγέλων καὶ
βίος [illegible] καὶ νέκρωσις σώματος. ὅτι τούτου
[illegible] σοι κατέστημεν ἡμᾶς, καὶ ἀποβολὴ πα-
θῶν [illegible] ἐπὶ γαστριμαργία κινεῖ-
ται ἐπειδή, [illegible] βρώματα δέ φησι παῦλος τῇ κοιλίᾳ, καὶ
” ἡ κοιλία τοῖς βρώμασιν. ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα
” καταργήσει. διὰ τοῦτο τοίνυν καὶ τοῖς πατράσιν αὕτη ἡ
” νηστεία ἐσπούδασται, καὶ τοῖς ἀποστόλοις αὐτοῖς. καὶ τῷ

Digitized by Google

„ παύλῳ μὲν λέγοντι, ἐν νηστείαις πολλάκις, καὶ ὁ ἀγω-
„ νιζόμενος πάντα ἐγκρατεύεται. τῷ τ[illegible] δὲ ἀσα-
ρίου θερμίοις ζεφομένῳ. καὶ τῷ κυρίῳ αὐτῷ κρι-
θίνους ἄρτους ἐσθίοντι, καὶ πολλάκις νηστεύοντι.

Περὶ τῶν αὐτῶν τελείων νηστειῶν, μέρος ἐκ τοῦ τόμου τῆς ἑνώσεως τοῦ γεγονότος ἐπὶ τῆς βασιλείας κωνσταντίνου τοῦ πορφυρογεννήτου καὶ ῥωμανοῦ, τοῦ μὲν κωνσταντίνου βασιλεύοντος, τοῦ δὲ πενθεροῦ αὐτοῦ ῥωμανοῦ τῷ τοῦ βασιλεοπάτορος εὐπρέποντος ἀξιώματι, ἐν ἔτει, ςυκή, ἰνδικτιῶνος, ή. λέγοντος οὕτω.

Τρὶς τοῦ ἐνιαυτοῦ ἀξιωθήσεται τῆς ἀπολαύσεως τῶν θείων μυστηρίων. ἅπαξ μὲν, ἐν τῇ σωτηριώδει τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἀναστάσει. δεύτερον, ἐν τῇ κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου. καὶ τρίτον, ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν, διὰ τὸ καὶ ἐνταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος.

Περὶ τῶν αὐτῶν [illegible] νηστειῶν [illegible]
κοῦ τοῦ ἱεροσολυμιτικοῦ [illegible]
ἡμῶν σάββα. ἡ ἐκ τῶν ἀ[illegible]

Ἰστέον ὅτι ἀπὸ ταύτης τῆς κ' μ[illegible] ἤγου [illegible] τοῦ
αὐγούστου μηνὸς ἄχρι τῆς [illegible] ἐσθίειν νη-
στεύοντας, ὡς καὶ ἐν ταῖς λοι[illegible] πάντα
χριστοῦ γέννων δηλονότι, καὶ τὴν [illegible] κατὰ
τὴν προσκύνησιν τῶν τιμί[illegible]
μὴν καὶ δόξαν τῆς ὑπερ[illegible]
ἐπισυμβαινούσας ἀσθένεια[illegible] ἐν
αὐτῇ ἀπέχονται τυροῦ, καὶ ὠῶν [illegible] ἰχθύος
καὶ ἐλαίου, πλὴν τῆς ἑορτῆς τῆς [illegible] σεως.

Περὶ τῶν τεσσάρων νηστειῶν [illegible]
τῇ [illegible] συνεχῶς τοῦ θεοῦ κυρίου [illegible]

Κυρίως δὲ ἡ πρὸ τοῦ ἁγίου πάσχα καὶ μόνη τεσσαρακονθήμερος νηστεία νενομοθέτηται ἐξ ἀρχῆς, εἰ γὰρ

Digitized by Google

...σθαι, ἐμνήσθη ἂν κἀκείνων ὁ κανὼν, ὅτι ... ἀναξίως τῶν ἱερῶν ἀποστόλων.

... ἄλλας νηστίμους, τῶν ἁγίων ... ἀπο... ... τῆς ὑπεραγίας θεοτό... ... τῆς ... ννήσεως, οὐδεὶς εὖ φρονῶν οἶμαι τίς ... εύουσιν ἐγκαλέσειεν.

Γ ... τῶν παρακμαστῶν καὶ νηστειῶν ἐξ ὅλου ... ... τῆς ἐν γάγγρα ἁγίας συνόδου.

Ε ... (χωρὶς σωματικῆς ἀνάγκης) ὑπερφανεύ... ... παραδεδομένας νηστείας εἰς τὸ κοινὸν καὶ φυλαττομένας ὑπὸ τῆς ἐκκλησίας παραλύει ὡς ὑποι... ... αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω.

Χρὴ ... ἡμᾶς τοὺς χριστιανοὺς φυλάττειν καὶ στέρ...

Οἱ ... ... σκοντες σὺν θεῷ ἔρρωσθε, καὶ ... ἐμοῦ εὔξασθε αὐτῷ.

ΤΕΛΟΣ.

Digitized by Google

,, παύλῳ μὲν λέγοντι, ἐν νηστείαις πολλάκις, καὶ ὁ ἀγω-
,, νιζόμενος πάντα ἐγκρατεύεται. τῷ τ[illegible] δὲ ἀσα-
ρίου θέρμοις ζεφομένῳ. καὶ τῷ κυρίῳ αὐτῷ κρι-
θίνους ἄρτους ἐσθίοντι, καὶ πολλάκις νηστεύοντι.

Περὶ τῆς αὐτῆς τελείων νηστειῶν, μέρος ἐκ τοῦ τόμου τῆς ἑνώ-
σεως τοῦ γενομένου ἐπὶ τῆς βασιλείας κωνσταντίνου τοῦ πορ-
φυρογεννήτου καὶ ῥωμανοῦ, τοῦ μὲν κωνσταντίνου βασι-
λεύοντος, τοῦ δὲ πενθεροῦ αὐτοῦ ῥωμανοῦ τῷ τῆς βασι-
λεοπάτορος εὐπρέποντος ἀξιώματι, ἐν ἔτει, ςυκή,
ἰνδικτιῶνος, η. λέγοντος οὑτωσί.

Τρὶς τοῦ ἐνιαυτοῦ ἀξιωθήσεται τῆς ἀπολαύσεως τῶν θείων
μυστηρίων. ἅπαξ μὲν, ἐν τῇ σωτηριώδει τοῦ θεοῦ καὶ
σωτῆρος ἡμῶν ἀναστάσει. δεύτερον, ἐν τῇ κοιμήσει τῆς
ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου. καὶ τρίτον, ἐν τῇ
γενεθλίῳ ἡμέρᾳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν, διὰ τὸ καὶ ἐνταῦ-
θα προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος.

Περὶ τῆς αὐτῆς [illegible] νηστει[illegible] [illegible]τι-
κοῦ τοῦ ἱεροσολυμιτικο[illegible]
ἡμῶν σαββα[illegible]. ἡ ἐκ τῆς ἀρ[illegible]

Ἰστέον ὅτι ἀπὸ ταύτης τῆς ἡμ[illegible] [illegible]χου [illegible] τοῦ τῆς τοῦ
αὐγούστου μηνὸς ἄχρι τῆς [illegible] [illegible]εσθαι νη-
στεύοντας, ὡς καὶ ἐν ταῖς λοι[illegible] [illegible] [illegible]
χριστοῦ γέννων δηλονότι, καὶ τὴν [illegible] [illegible]
τὴν προσκύνησιν τῆς τιμ[illegible] [illegible]
μὴν καὶ δόξαν τῆς ὑπερ[illegible] [illegible]
ἐπισυμβαινούσας ἀσθενεία[illegible] [illegible] ἐν
αὐτῇ ἀπέχονται τυροῦ, καὶ ὠῶν, [illegible] ἰχθύος
καὶ ἐλαίου, πλὴν τῆς ἑορτῆς τῆς [illegible] σεως.

Περὶ τῆς τεσσάρων νηστειῶν [illegible]
[illegible] εὐχὰς τοῦ [illegible] κυρίου [illegible]

Κυρίως δὲ ἡ πρὸ τοῦ ἁγίου πάσχα καὶ μόνη τεσσαρακο-
νθήμερος νηστεία νενομοθέτηται ἐξ ἀρχῆς. ἔτι γὰρ

…σθαι, ἐμνήσθη ἂν κἀκείνων ὁ κανὼν, ὃν … ὁ κανὼν τῶν ἱερῶν ἀποστόλων.

… ἄλλας νηστείμους, τῶν ἁγίων ἀπο… … τῆς … μνήσεως τῆς ὑπεραγίας θεοτό… … τῆς χυ γεννήσεως, οὐδεὶς εὖ φρονῶν οἶμαι τοῖς … πεύουσιν ἐγκαλέσειεν.

Γ … τῶν τεσσαρακοστῶν καὶ νηστειῶν τοῦ ὅλου ἐνιαυτοῦ … τῆς ἐν γάγγρᾳ ἁγίας συνόδου.

Ε … (χωρὶς σωματικῆς ἀνάγκης) ὑπερηφανῶς … τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν καὶ φυλαττομένας ὑπὸ τῆς ἐκκλησίας παραλύει ὡς ὑποι… … ἐν αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω.

Χρὴ … … ἡμᾶς τοὺς χριστιανοὺς φυλάττειν καὶ στέρ…

Οἱ … … σκοντες σὺν θεῷ ἔρρωσθε, καὶ … ἐμοῦ εὔξασθε αὐτῷ.

ΤΕΛΟΣ.

Digitized by Google

,, παύλῳ μὲν λέγοντι, ἐν νηστείαις πολλάκις, καὶ ὁ ἀγω-
,, νιζόμενος πάντα ἐγκρατεύεται. τῷ τ[illegible] δὲ ἀσα-
ρίου θερμίοις ζεφομένῳ. καὶ τῷ κυρίῳ αὐτῷ κρι-
θίνους ἄρτους ἐσθίοντι, καὶ πολλάκις νηστεύοντι.

Περὶ τῆς αὐτῆς τελῶν νηστειῶν, μέρος ἐκ τοῦ τόμου τῆς ἑνώσεως τοῦ γεγονότος ἐπὶ τῆς βασιλείας κωνσταντίνου τοῦ πορφυρογεννήτου καὶ ῥωμανοῦ, τοῦ μὲν κωνσταντίνου βασιλεύοντος, τοῦ δὲ πενθεροῦ αὐτοῦ ῥωμανοῦ τῷ τῆς βασιλεοπάτορος ἐμπρέποντος ἀξιώματι, ἐν ἔτει, ςυκή, ἰνδικτιῶνος, ή. λέγοντος οὕτω ἐξ αὐτοῦ.

Τρὶς τοῦ ἐνιαυτοῦ ἀξιωθήσεται τῆς ἀπολαύσεως τῶν θείων μυστηρίων. ἅπαξ μὲν, ἐν τῇ σωτηριώδει τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἀναστάσει. δεύτερον, ἐν τῇ κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου. καὶ τρίτον, ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν, διὰ τὸ καὶ ἐνταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος.

Περὶ τῆς αὐτῆς [illegible] νηστει[illegible] τι κοῦ τοῦ ἱεροσολυμιτικο[illegible] ἡμῶν σαββα[illegible]. ἡ ἐκ τῶν ἀ[illegible]

Ἰστέον ὅτι ἀπὸ ταύτης τῆς ἡμ[illegible] ἤγου [illegible] πρώτης τοῦ αὐγούστου μηνὸς ἄχρι τῆς [illegible] εσθαι νηστεύοντας, ὡς καὶ ἐν ταῖς λοι[illegible] πάντα χριστοῦ γέννων δηλονότι, καὶ τὴν [illegible] ατε τὴν προσκύνησιν τῆς τιμ[illegible] μ. [illegible] μὴν καὶ δόξαν τῆς ὑπερ[illegible] ἐπισυμβαινούσας ἀσθένεια[illegible] ον ἐν αὐτῇ ἀπέχονται τυροῦ, καὶ ὠῶν [illegible] ἰχθύος καὶ ἐλαίου, πλὴν τῆς ἑορτῆς τῆς [illegible] σεως.

Περὶ τῆς τεσσάρων νηστειῶν [illegible] τῆς [illegible] ςοιχεῖου τοῦ θεοῦ κυρίου [illegible]

Κυρίως δὲ ἡ πρὸ τοῦ ἁγίου πάσχα καὶ μόνη τεσσαρακονθήμερος νηστεία νενομοθέτηται ἐξ ἀρχῆς. ἐν γὰρ

Digitized by Google

... πῆσαι, ἐμνήσθη ἂν κἀκείνων ὁ κανὼν, δηλ... ... ἐξηκοστὸς ἔνατος τῶν ἁγίων ἀποστόλων.
... ἄλλας νηστίμους, τῶν ἁγίων ἀπο... ... τῆς κριμήσεως τῆς ὑπεραγίας θεοτό... ... τῆς χ... ...ννήσεως, οὐδεὶς εὖ φρονῶν οἶμαι τὶς ...πεύουσιν ἐγκαλέσειεν.

Γ... τῶν παρερχομένων καὶ νηστειῶν τοῦ ὅλου ἐνιαυ... ... τῆς ἐν γάγγρᾳ ἁγίας συνόδου.

Ε... τῆς τ... ...θύων (χωρὶς σωματικῆς ἀνάγκης) ὑπερφανῶς ... καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν καὶ φυλαττομένας ὑπὸ τῆς ἐκκλησίας παραλύει ὡς ὑποι... ...ν αὐτοῦ τελείου λογισμοῦ ἀνάθεμα ἔστω.

Χρὴ ... ... ἡμᾶς τοὺς χριστιανοὺς φυλάττειν καὶ στέρ...

Οἱ ... ...σκοντες σὺν θεῷ ἔρρωσθε, καὶ ... ἐμοῦ εὔξασθε αὐτῷ.

ΤΕΛΟΣ.

Digitized by Google

„ παύλῳ μὴν λέγοντι, ἐν νηστείαις πολλάκις, καὶ ὁ ἀγω
„ νιζόμενος πάντα ἐγκρατεύεται. τῷ τ... δὲ ἀσα
ρίου ἀθρμίοις ζεφομένῳ. καὶ τῷ κυρίῳ αὐτῷ κρι
θίνους ἄρτους ἐσθίοντι, καὶ πολλάκις νηστεύοντι.

Περὶ τῶν αὐτῶν τελῶν νηστειῶν, μέρος ἐκ τοῦ τόμου τῆς ἑνώ
σεως τοῦ γεγονότος ἐπὶ τῆς βασιλείας κωνσταντίνου τοῦ πορ
φυρογεννήτου καὶ ῥωμανοῦ, τοῦ μὲν κωνσταντίνου βασι
λεύοντος, τοῦ δὲ πενθεροῦ αὐτοῦ ῥωμανοῦ τῷ τοῦ βασι
λεοπάτορος ἐμπρέποντος ἀξιώματι, ἐν ἔτει, ςυκή,
ἰνδικτιῶνος, ή. λεγομένος ὅλιω ἐξ αὐτοῦ.

Τρὶς τοῦ ἐνιαυτοῦ ἀξιωθήσεται τῆς ἀπολαύσεως τῶν θείων
μυστηρίων. ἅπαξ μὲν, ἐν τῇ σωτηριώδει τοῦ θεοῦ καὶ
σωτῆρος ἡμῶν ἀναστάσει. δεύτερον, ἐν τῇ κοιμήσει τῆς
ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου. καὶ τρίτον, ἐν τῇ
γενεθλίῳ ἡμέρᾳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν, διὰ τὸ καὶ ἐνταύ
ταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος.

Περὶ τῶν αὐτῶν ...ῶν νηστει... ...π
κοῦ τοῦ ἱεροσολυμιτικο... ...
ἡμῶν σαββ... ἡ ἐκ τῆς ἀρ...

Ιστέον ὅτι ἀπὸ ταύτης τῆς ἡμ... ...ου ...τοῦ
αὐγούστου μηνὸς ἄχρι τῆς ... ...ε θα νη
στευόντων, ὡς καὶ ἐν ταῖς λοι... ...ταν τι
χριστοῦ γέννων δηλονότι, καὶ τὴν ... ...ιου α... ...ατι
τὴν προσκυνήσιμον τῶν τιμ... ...μ. ...
μὴν καὶ δόξαν τῆς ὑπερ... ...ε ...
ἐπισυμβαινούσας ἀσθενεία... ...ὅλιω ἐν
αὐτῇ ἀπέχονται τυροῦ, καὶ ὠῶν... ...ἰχθύος
καὶ ἐλαίου, πλὴν τῆς ἑορτῆς τῆς ... ...σεως.

Περὶ τῶν τεσσάρων νηστειῶν, ...
τῆς ... ςοιχείου τοῦ ... κυρίου ...

Κυρίως δὲ ἡ πρὸ τοῦ ἁγίου πάσχα καὶ μόνη τεσσαρα
κονθήμερος νηστεία νενομοθέτηται ἐξ ἀρχῆς, ἔτι γὰρ

Digitized by Google

[illegible]τῆσαι, ἐμνήσθη αὖ κἀκείνων ὁ κανὼν, δηλ[illegible]
[illegible] ἐκείνοσις ἄναξος τῶν ἱερῶν ἀποστόλων.
[illegible] ἄλλας νηστίμους, τῶν ἁγίων ἀπο-
στ[illegible] τῆς [illegible]ριμήσεως τῆς ὑπεραγίας θεοτό-
κ[illegible] τῆς χρι[illegible]ννήσεως, οὐδεὶς εὖ φρονῶν οἶμαι
τοῖς [illegible]πεύουσιν ἐγκαλέσειεν.

Γ ὅρι τῶν τεσσαρακοστῶν καὶ νηστειῶν τοῦ ὅλου ἐνιαυ-
κα[illegible] τῆς ἐν γάγγρᾳ ἁγίας συνόδου.

Ε ἴ τις τ[illegible] [illegible]ύων (χωρὶς σωματικῆς ἀνάγκης) ὑπερη-
φαν[illegible] καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν
καὶ φυλ[illegible]ομένας ὑπὸ τῆς ἐκκλησίας παραλύει ὡς
ὑποι[illegible] αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω.

Χρὴ [illegible] [illegible] ἡμᾶς τοὺς χριστιανοὺς φυλάττειν καὶ
στέρ[illegible]

Οἱ [illegible] [illegible]όσκοντες σὺν θεῷ ἔρρωσθε, καὶ
[illegible] ἐμοῦ εὔξασθε αὐτῷ.

ΤΕΛΟΣ.

ρίου θερμίοις ζεφομένῳ. καὶ τῷ κυρίῳ [illegible] τῷ καθίνους ἄρτους ἐσθίοντι, καὶ πολλάκις νηστεύοντι.

Περὶ τῆς αὐτῆς τελῶν νηστειῶν, μέρος ἐκ τοῦ τόμου τῆς ἑνώσεως τοῦ γεγονότος ἐπὶ τῆς βασιλείας κωνσταντίνου τοῦ πορφυρογεννήτου καὶ ῥωμανοῦ, τοῦ μὲν κωνσταντίνου βασιλεύοντος, τοῦ δὲ πενθεροῦ αὐτοῦ ῥωμανοῦ τῷ τοῦ βασιλεοπάτορος ἐμπρέποντος ἀξιώματι, ἐν ἔτει, ,ςυκή, ἰνδικτιῶνος, ή. λέγοντος οὕτω τούτου.

Τρὶς τοῦ ἐνιαυτοῦ ἀξιωθήσεται τῆς ἀπολαύσεως τῶν θείων μυστηρίων. ἅπαξ μὲν, ἐν τῇ σωτηριώδει τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἀναστάσει. δεύτερον, ἐν τῇ κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου. καὶ τρίτον, ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν, διὰ τὸ καὶ ἐνταῦθα ταῖς προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος.

Περὶ τῆς αὐτῆς ἔτι νηστειῶν, κεφάλαιον [illegible] τοῦ τυπικοῦ τοῦ ἱεροσολυμητικοῦ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν σάββα. ἢ ἐκ τῶν ἀφορμῶν [illegible].

Ἰστέον ὅτι ἀπὸ ταύτης τῆς ἡμ[illegible] ἤγου[illegible] πρώτης τοῦ αὐγούστου μηνὸς ἄχρι τῆς [illegible] αὐτοῦ [illegible] ὀμεθα νηστεύοντες, ὡς καὶ ἐν ταῖς λοι[illegible] τεσσα[illegible] πῶν τε χριστοῦ γέννων δηλονότι, καὶ τῶν [illegible] ίων ἀ[illegible] τὴν προσκύνησιν τῆς τιμ[illegible] ξύλων [illegible] μὴν καὶ δόξαν τῆς ὑπεραγία[illegible] ἐπισυμβαινούσας ἀσθενεία[illegible] αὐτῇ ἀπέχονται τυροῦ, καὶ ὠῶν [illegible] ἰχθύος καὶ ἐλαίου, πλὴν τῆς ἑορτῆς τῆς [illegible]σεως.

Περὶ τῶν τεσσάρων νηστειῶν, ἐκ τοῦ τε[illegible] κεφαλαίου τοῦ ν΄ στοιχείου τοῦ σοφοῦ κυρίου ματθαίου, μέρος.

Κυρίως δὲ ἡ πρὸ τοῦ ἁγίου πάσχα καὶ μόνη τεσσαρακονθήμερος νηστεία νενομοθέτηται ἐξ ἀρχῆς, εἰ γὰρ

Digitized by Google